GREGORII NYSSENI OPERA

AUXILIO ALIORUM VIRORUM DOCTORUM
EDENDA CURAVIT

WERNERUS JAEGER

VOLUMEN I
CONTRA EUNOMIUM LIBROS I—II
CONTINENS



LEIDEN
E. J. BRILL
1960

CONTRA EUNOMIUM LIBRI

ITERATIS CURIS

EDIDIT

WERNERUS JAEGER

PARS PRIOR
LIBER I ET II (VULGO I ET XII B)



LEIDEN
E. J. BRILL
1960

PRINTED IN THE NETHERLANDS

PRAEFATIO AD GREGORII NYSSENI EDITIONEM UNIVERSAM

Dum primum et secundum volumen editionis Gregorii Nysseni iterum in lucem emitto, postquam alia nova volumina ea antecesserunt, fieri vix potest, quin totius editionis consilium et historiam in memoriam revocem, quamquam iam antea voluminis tertii partem primam praefatus lectores de hac re breviter admonui, cum post longum temporis intervallum exacto bello totius mundi altero opus intermissum rursus suscepi.

Ante hos quinquaginta annos (1908) Udalricus de Wilamowitz-Moellendorff sexagenarius stipe ab amicis et fautoribus in eius honorem conlecta ita uti constituit, ut ad studia graeca promovenda et imprimis ad colendos campos adhuc iniuria neglectos eam adhiberet. qua autem de causa litteris graecis Christianis labentis antiquitatis quarti maxime saeculi curam impendere animum induxerit, ex ipsa cognoscere licet introductione, quam primae editioni meae praemittere voluit. hanc enim in calce huius praefationis rursus imprimendam curavi, cum documento sit quo summus ille vir animo fuerit et quid de studiis futuri philologorum saeculi sub vitae finem speraverit. nam etsi ipsi, ut confitetur, alia studia magis curae fuerant, tamen quantum tribuerit ille litteris imperatoriae aetatis et sacris et profanis, ipso Gregorii Nysseni edendi consilio et conatu satis illustratur. ad hanc operam me, qui tum Platoni et Aristoteli et philosophiae graecae deditus eram, ideo incitavit, quod me a prima iuventute studium litterarum Christianarum cum litteris antiquis mea sponte coniun-

xisse sciebat, ita ut ad hunc novum laborem suscipiendum imprimis essem propensus. at tamen illo tempore, ut eram adulescentulus tenerae aetatis, totum Gregorium edere nec volebam nec poteram. immo e Gregorii libris selegi opus longe amplissimum, volumina contra Eunomium conscripta, quibus confectis cetera aliis editoribus relinquerem. unum habebam tunc socium operis mei, Georgium Pasquali Romanum, postea Universitatis Florentinae professorem illustrissimum, qui epistulas Nysseni edidit anno 1925. mea librorum contra Eunomium editio secundo decennio huius saeculi exacto lucem vidit et prodiit quidem duobus voluminibus apud Weidmannos Berolini anno 1921. praefationem meam illius editionis cum introductione Wilamowitzii coniunctam in fine huius praefationis invenies, unde cognosces Wilamowitzium eo tempore iam opibus exhaustis de consilio suo desperavisse et, ut ipse dicit, labore vix incepto destitisse. at ego operis ingentis studio semel exarso miram et tenacem propositi spem continuandae editionis incohavi, quae res vitae meae cursum postea omnino mutavit. hoc propositum quomodo peragi posset, tum plane ignorabam nec quot et quanta obstacula in itinere meo mihi superanda forent, re vera prospicere poteram. nec deerant omina sinistra, nam postquam monachi ordinis S. Mauri turbis revolutionis q.d. Francogallicae impediti sunt, quominus post Basilium et Chrysostomum Nyssenum nostrum ederent, iam bis viri docti frustra editionis completae initium fecerant, Forbesius vir Scotus et Oehlerus professor Halensis, sed neuter plus uno volumine perficere potuit. et quamquam libros dogmaticos minores post Eunomianos absque ulla dilatione adgressus sum, quos secundo loco ederem, mox omni spe amissa eos discipulo meo Frederico Mueller, iam professori Marburgensi, edendos committere coactus sum, cum in publica Germaniae

calamitate anno 1936 patriam et cathedram meam in Universitate Berolinensi reliqui, ut in Americam emigrarem.

Sed haec ipsa fata sicut illa, quae Platoni audit θεία τύχη, Gregorii editionem vindicarunt. nam cum post triennium benignissimi hospitii in Universitate Chicaginiensi ad Universitatem Harvardianam anno 1939 vocatus essem, amplissima magni operis resumendi mihi oblata est copia et summa eius academiae munificentia munitus novum denique consilium omnium Gregorii operum edendorum inii. ac grato animo confiteor sine eius auxilio me ne in America quidem temporibus incertis iterare cursus relictos potuisse. sed Harvardianis opibus instructo per duo decennia materiam ingentem libris Gregorii edendis parare et socios mei laboris integros adquirere mihi licuit. iam vero opera tot virorum doctorum consociata eo progressi sumus, ut fructus eius colligere possimus. prodierunt anno 1952 opera ascetica (vol. VIII 1), anno 1957 opera dogmatica minora a Frederico Mueller curata (vol. III 1). anno 1959 Pasqualii editio epistularum Gregorii in editionem nostram recepta iterumque impressa est (vol. VIII 2) et haec duo volumina contra Eunomium iterum in lucem eduntur (vol. I-II). eodem hoc anno magnus Gregorii liber mysticus In Canticum canticorum ab Hermanno Langerbeck, professore Francofurtensi, emissus est (vol. VI). idem discipulos suos optime instructos ad homilias recensendas advocavit, quae si uno volumine includi possunt, vol. IX prodibunt. praeterea Hilda Polack, mulier doctissima, volumen III 2 paene ad finem perduxit, quo praeter minora quaedam opera oratio catechetica et dialogus de anima et resurrectione continebuntur. aliud quoque volumen (vol. V) libros In Psalmorum inscriptionem et In Ecclesiasten continens a Paulo Alexandro, professore in

Universitate Michiganensi, et R.P. Iacobo McDonough, S.J., iam absolutum et ad typothetam missum est. finita est Vitae Moysis recensio a R.P. Musurillo, S.J. facta, quacum simul apparebunt libri De beatitudinibus et De oratione dominica a Ioanne F. Callahan, professore Washingtoniensi, recensiti (vol. VII). restat vol. IV, quod praeclara opera De opificio hominis et Apologiam in Hexaëmeron ab Hermanno Langerbeck et Hadwiga Hoerner edita complectetur. volumen ultimum indices copiosissimos continebit. nec tamen priusquam hanc metam exoptatam cursu contigerimus, satis nos sudavisse et alsisse dicere possumus, quamquam iam dimidium saeculi in hoc labore nobis consumptum est.

Tum autem iure statuet, quicumque illum diem videbit, tantae molis fuisse non umbram, sed ipsum Gregorium Nyssenum ab inferis in lucem evocare. sed fortasse etiam nunc, cum ad initia respicientes debitas Wilamowitzio sponsori gratias agimus, qui animum nostrum tanto onere imposito ad terram firmam adligavit, hoc dicere licet, de ipso Gregorio virum eximium non recte iudicasse, cum in praefatiuncula huic nostrae subiuncta eius integritatem quidem atque mores laudaret, sed mentis praestantiam atque indolem paulo condescendentius tangeret. at certe erunt qui profundius mentem summi theologi penetraturi sint, qui suam animam ecclesiae orientali et occidentali inflavit, qui omni linguae traditionis spiritualis et mysticae suam formam indelebilem impressit, qui non solum nostri saeculi sensorium et criteria longe transcendit ingenii vi speculativa et ardore cordis, sed etiam summos ecclesiae doctores suae aetatis, Basilium fratrem et Gregorium Nazianzenum, eodem nomine superat. sed ad eius magnitudinem historicam, ut nunc dicunt, recte aestimandam et cognoscendam longa erit via, cuius haec quae editio princeps vocari potest prima statio esto.

WERNERUS JAEGER

In Universitate Harvardiana,
Cantabrigiae Massachusettensium
aestate anni MCMLIX

UDALRICI DE WILAMOWITZ-MOELLENDORFF PRAEFATIO AD PRIMAM EDITIONEM

Ante hos duodecim annos stipe per orbem terrarum a graecae Musae cultoribus collecta largae opes, quibus ad promovenda studia graeca uterer, sexagenario mihi donatae sunt. manebit splendidum hoc testimonium animi paene fraterni, quo tunc viri bonis litteris studentes coniuncti erant. mihi autem, qui hoc animo et fui semper et ero, publice nunc non solum gratiae agendae sunt donatoribus, sed etiam rationes reddendae, profitendumque, pecunia collecta quid effectum sit.

Curam omnis rei agendae rogatu meo suscepit Eduardus Norden, collega amicissimus, quem spero aerumnae subinde taedio plenae non paenitere, qua exanclata non meam tantum meritus est gratiam. meum autem erat, quid faciendum esset praescribere, neque diu haesitabam. abstinendum enim esse duxi omnibus quae mihi ipsi maxime cordi essent, prospiciendum potius studiis quae iniuria adhuc neglecta iacerent, viam muniendam esse novi saeculi philologorum laboribus. quos ita incitare utinam nobis contingat. quippe persuasum habeo imprimis digna esse inquisitione vere historica ea tempora, quibus ecclesia Christiana veterem Graecorum religionem atque philosophiam eo vicit, quod multa earundem in doctrinam et vitam suam recipiebat, extirpandos esse terminos, quibus sacra et profana philologia, ecclesiae et imperii historia non sine gravissimo veritatis detrimento distinentur. quod ut perficiatur ante omnia edenda sunt ecclesiae

scripta. atque latina quidem edere dudum coepit Academia Vindobonensis, graeca Berolinensis, sed antiquissima tantum. atqui post victoriam demum summi extiterunt ecclesiae et doctores et oratores, neque admirabilem in his collocatam operam perfecerunt fratres Maurini. Gregorium Nazianzenum, mihi imprimis carum, ab Academia Cracoviensi editum iri spero; nec alienus eram ab hoc consilio capiendo. itaque Nyssenum selegi Gregorium, hominem nec mentis acumine nec civitatis aut ecclesiae regendae scientia praecellentem, sed probum, sincerum, amabilem, propterque has virtutes non mihi tantum fratre magno Basilio magis acceptum.

Huius igitur Gregorii cum editio hoc nomine digna omnino deesset, incipiendum erat ita, ut libri manu scripti per omnes bibliothecas investigarentur et examinarentur, deinde cognitu dignissimorum aut conlationes aut imagines lucis ope exceptae fierent. qua in opera etiam Basilio cura haud exigua admota est. quaecumque ita congesta sunt, Academiae Berolinensi tradita publico usui praesto sunt. nam pecunia nobis tradita non plura permittit edere quam hos in Eunomium libros et (quamquam ne hoc quidem plane certum est) epistulas. quid quod vel de his desperandum fuisset, nisi aliunde comparata essent subsidia, de quibus editor Wernerus Jaeger suo loco verba faciet.

Poteram multa addere, veniam petere, quia opere vixdum coepto desisto, laudare eos qui olim labores nostros adiuverunt, litterarum qui fuit statum cum eo qui nunc est comparare. verum dedecet in publico plorare. nec despero. divinus est veri cognoscendi cupido. quo qui inflammati sunt communionem horum sacrorum fideliumque ecclesiam aliquando restituent.

Dabam 22 XII 1920

PRAEFATIO EDITORIS
AD PRIMAM EDITIONEM

Udalricus de Wilamowitz-Moellendorff cum anno MCMXI ad Gregorii contra Eunomium dogmatis Ariani perfectorem libros recensendos me advocaret, quamvis tironem iuventa viridem tamen non improvidum, quanti laboris quamque ingrati aleam subiturus essem, ad hoc disciplinae experimentum me permovit praeceptor. iam pridem litteris Christianis studueram, adliciebat etiam philosophiae graecae interpretem angusta inter Platonicae Christianaeque religionis confessores vicissitudo spesque excitandi campos a nullo cultore adhuc tactos, nec non consilium inii scripta Eunomii haeretici olim flammis publicis tradita ex conservatis adversariorum libris, quantum id fieri posset, recuperandi. cuius laboris per decennium vitae indefessi nunc primitias offero volumen primum operum Gregorii Nysseni, alterum prolegomenis instructum intra anni spatium, si fata dabunt, sequetur.

Omnibus viris doctis, qui opera aut consilio me adiuverunt, debitas agere gratias differo in eum locum, ubi religiosius, quid cuique debeam, discribere potero. innumera iam ante bellum obstacula exsuperanda erant, ut quam firmissima et copiosissima recensionis praesidia vel ex longinquis terris pararentur. taceo hoc loco de expeditionibus iteratis in Graeciae angulos reconditos et in Orientem factis, sumptuosis sane nec semel adversis, de peregrinationibus in Italia aliisque terris per annos continuatis. belli rabies omne cum exteris gentibus et sociis commercium devoravit, in quo totius operis ratio posita

erat, ac ne prompta quidem typis tradere ob caritatem vitae in dies crescentem permisit. ipsa spes bello sedato condicionem minus iniquam nanciscendi frustra fuit, neque ullum fructum ex tantis laboribus cepissemus — nam opibus paene exhaustis quae supererant non iam sufficiebant ad prima volumina imprimenda — nisi externum auxilium apparuisset. duobus donatoribus merito gratias sinceras ago, ministerio artis, scientiae et instructionis publicae Berolinensi, quod meam editionem impendio publico adiuvit, et consistorio Universitatis litterarum Kiliensis, quod ex stipe Haeneliana largiores opes meum in usum summa munificentia contulit, sine quibus hic liber nescio an etiam nunc absconditus iaceret.

Sed hoc volumen emittere non possum, priusquam viro summo, qui praefatione sua id insignitum esse voluit, qui opum suarum fundamentum substruxit consilioque suo me fulsit, qui infinitum plagulas corrigendi laborem mecum communicavit, ex animo gratias agam. verbis autem gratiam persolvere ei non possis, cui non tantum bona externa, verum partem tui non minimam debeas. quodsi de huius editionis misera fortuna Wilamowitzius in praefatione conqueritur, hoc spero eum non rectė auguratum esse. nam quamquam in hac brevitate humanae aetatis non omnis esse possum in hoc uno opere, Gregorii Nysseni tamen editionem principem criticam, iam a compluribus temptatam, a nemine absolutam ad faustum finem perducere, si modo socii non deerunt, ego numquam desistam.

Dabam Kiliae 24 XII 1920 W. J.

PRAEFATIO AD EDITIONEM ALTERAM LIBRORUM CONTRA EUNOMIUM

Cum consilium omnium operum Gregorii edendorum in Americam profectus renovarem, id mihi a principio constabat duo volumina iam ante a me edita, libros contra Eunomium dico, fundamentum huius editionis fore. nec nihil in hac re promovenda mihi profuerunt, quae priore opere absoluto didici. sed nova quaedam volumina prius emittere malebam, quam ad parandam alteram recensionem veterum meorum laborum accingerer. quod quoniam iam mihi obtigit, ecce nunc duo illa priora volumina correctiora prodeunt, ne inter Gregorii libros diutius id opus desideretur, quo eius auctoritas inter theologos maxime nititur. primo volumine ut antea librum contra primam Eunomii orationem complexus sum addito libro contra Eunomii secundam orationem, qui illum olim secutus est, sed in omnibus editionibus impressis gravi errore liber XIII vel XII^bis^ appellatur. hunc errorem in prolegomenis ad totum opus contra Eunomium, quae volumini secundo praefixa sunt, ex ipsis libris manu scriptis explicavi, quorum magna in hac re est confusio. addidi tamen testimoniis auctorum in hac altera recensione eos locos, quibus Facundus Hermianensis, qui scripsit Iustiniani imperatoris aetate, Gregorii contra Eunomium libros adiectis citat librorum numeris, qui cum Iustiniani ipsius citatione in Confessione rectae fidei et cum citationibus in Actis Conciliorum veterum contra auctoritatem codicum mss. Byzantinorum consentiunt et priscum ordinem in nostra editione restitutum confirmant. ipsum textum

primae editionis meae non multis locis mutavi. a textu Migneanae editionis innumeris locis differt, ubi vel veram lectionem restitui vel lacunas explevi, quarum longissima undecim paginas amplectitur.

Tabellae lucis ope confectae codicis Athoi Vatopedi (C), qui nr. 118 vocabatur, at nunc est nr. 129, quondam partim in itinere a C. Jantschio, photographo Lipsiensi, perditae partim tempestate pessumdatae erant, cum primam editionem praeparabam. has collationis lacunas in apparatu critico olim a me notatas iam explevi novis tabellis cura Ioannis Politis, professoris Thessalonicensis, meum in usum subministratis, cui etiam hoc loco gratias ago pro officio reddito. lacunas codicis Vaticani graeci 1907 (S) non solum ut in prima editione notavi, sed ex eius apographo fidelissimo, codice Musei Britannici Burneiano 52 (D), talibus locis lectiones Vaticani perditas studui recuperare. sed etiam praeter lacunas lectiones utriusque codicis D et S, qui difficillimus lectu est (cf. prolegomena vol. II), diligenter inter se comparavi. cum autem oculorum acies ad accuratiorem talis libri investigationem iam non mihi satis idonea videretur, Hadwiga Hoerner, quae Cantabrigiae per annum laborum meorum socia fuit, qua est assiduitate et acumine critico, meo rogatu codicem iterum contulit. ceteros quoque libros iterum examinavi, qua in opera Virginia Woods Callahan, iam professor in Universitate Howard, quae vitam Sanctae Macrinae paucis ante annis edidit, benignissime ut solet me adiuvit. H. Hoerner etiam plagulas indefessa industria mecum perlegit et correxit, cui pro labore paene infinito maximam debeo gratiam.

W. J.

Scripsi in Universitate Harvardiana,
Cantabrigiae Massachusettensium
aestate anni MCMLIX

CONSPECTUS SIGLORUM

V codex Vaticanus graecus 447 membranaceus saec. XII

L codex Laurentianus Mediceus plut. VI 17 membranaceus saec. XI vel X exeuntis

A codex Ambrosianus C 215 inf. chartaceus saec. XII exeuntis

B codex Lesbicus Mytilenensis monasterii S. Joannis 6 membranaceus saec. XII

C codex Athous monasterii Vatopedi n. 129 (olim 118) membranaceus saec. XI vel XII ineuntis

T codex Vaticanus graecus 424 membranaceus saec. XIII

S codex Vaticanus graecus 1907 chartaceus saec. XIII vel potius XII

M codex Marcianus graecus LXIX (501) chartaceus saec. XII—XIII

v textus vulgatus editionis Parisinae anno 1638 ab Aegidio Morello emissae, quo utitur Migne in Patrologiae graecae tom. XLV pag. 248 sq.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΠΡΩΤΟΥ ΛΟΓΟΥ

α'. Προοίμιον ὅτι οὐ συμφέρει τοὺς μὴ καταδεχομένους τὴν ὠφέλειαν εὐεργετεῖν πειρᾶσθαι.

β'. Ὅτι δικαίως πρὸς τὴν ἀντίρρησιν ἤλθομεν τοῦ ἀδελφοῦ κατηγορηθέντος ὑπεραλγήσαντες.

γ'. Ὅτι οὐδὲν μέγα κατὰ τὴν τοῦ λόγου δύναμιν ἐνιδόντες τῷ βιβλίῳ τοῦ Εὐνομίου εἰκότως κατεθαρσήσαμεν τῆς ἀντιρρήσεως.

δ'. Ὅτι πολλῇ ματαιότητι καὶ περιττολογίᾳ ἐν τῷ ἰδίῳ λόγῳ ἐχρήσατο ὁ Εὐνόμιος, μὴ πάνυ σπουδάζων περὶ τὰ καίρια.

ε'. Ὅτι οὐ καλῶς ἐποίησεν Εὐστάθιον τὸν Ἀρμένιον καὶ Βασίλειον τὸν Γαλάτην τοὺς ἐπισκόπους ἐν τοῖς ἰδίοις κωμῳδήσας λόγοις.

ϛ'. Μνήμη τοῦ προστάτου τῆς ἀσεβείας Ἀετίου καὶ αὐτοῦ Εὐνομίου, δι' ὀλίγων καὶ τὰ γένη καὶ τὰ ἐπιτηδεύματα τῶν ἀνδρῶν περιέχουσα.

ζ'. Ὅτι αὐτὸς ὑφ' ἑαυτοῦ ἐλέγχεται ὁ Εὐνόμιος ἀκατηγόρητος τὴν ἀπολογίαν ποιησάμενος.

η'. Ὅτι αἱ λοιδορίαι, αἷς κατὰ Βασιλείου ἐχρήσατο,

LBT Argumentum libri primi ab ipso auctore profectum est, cetera a Byzantino librario adiecta sunt perverso quo tum ferebantur librorum ordine notabilia (cf Proleg vol II). argumenta libri I om V, exciderunt in AS, de codice C mihi non satis constat. 1 προοίμιον] litteras προοιμ om in lacuna L 4 κατηγορηθέντος LB: κακηγορηθέντος T v 6 κατεθαρσήσαμεν LB: κατεθαρρήσαμεν T v 6-7 τῆς ἀντιρρήσεως LB: τὴν ἀντίρρησιν T v 8 ἐν τῷ ἰδίῳ λόγῳ add L: om BT v 9 ὁ ante εὐνόμιος add L: om BT v 12 τοὺς BT v: τοῦ L 15 αὐτοῦ L: τοῦ BT v 17-18 ἀκατηγόρητος correxi: ἀκατηγόρητον L v εὐκατηγόρητον BT 18 ἀπολογίαν correxi: ὁμολογίαν LBT v cf p 4, 10

τούτῳ μᾶλλον ἢ ἐκείνῳ πρέπουσαι ἐκ τῶν πραγμάτων δείκνυνται.

θʹ. Ὅτι ἐγκαλῶν Βασιλείῳ τὸ μὴ προστῆναι τοῦ λόγου ἐν τῷ καιρῷ τῶν ἀγώνων οὐδὲ αὐτὸς ἐπιδείκνυται ἀλλότριος ὢν τοῦ ἐγκλήματος.

ιʹ. Ὅτι πάντα ὅσα ὠνόμασεν αὐτὸν ὑβριστικὰ ῥήματα ἀπ' αὐτῶν τῶν πραγμάτων ψευδῆ διελέγχεται.

ιαʹ. Ὅτι ψυχρῶς ἐχρήσατο τῷ κατὰ τὸ ἆθλον σοφίσματι, δι' οὗ κατασκευάζει παρ' ἡμῶν ὁμολογεῖσθαι τὸ κεκρίσθαι αὐτὸν καὶ μὴ ἀκατηγόρητον τὴν ἀπολογίαν ποιήσασθαι.

ιβʹ. Ὅτι μάτην ἐπονειδίζει τὴν δειλίαν τῷ τοσαύτην ἀνδρείαν ἐπὶ τῶν ἀγώνων πρὸς βασιλέας τε καὶ ὑπάρχους δείξαντι.

ιγʹ. Μνήμη τῶν δογματικῶς αὐτῷ εἰρημένων καὶ κατὰ διαίρεσιν πρὸς τὰ εἰρημένα μάχη.

ιδʹ. Ὅτι κακῶς ἐποίησε μνημονεύων τοῦ σωτηρίου δόγματος, μὴ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα καθὼς παραδέδοται ὀνομάζων, ἀλλὰ καὶ ἄλλοις ὀνόμασι χρησάμενος κατὰ τὸ ἴδιον βούλημα.

ιεʹ. Ὅτι κακῶς ἐποίησε μόνην τὴν τοῦ πατρὸς οὐσίαν κυριωτάτην εἰπὼν καὶ ἀνωτάτω, κατασκευάζων κατὰ τὸ σιωπώμενον ἄκυρόν τε εἶναι τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τὴν οὐσίαν καὶ κάτω.

ιςʹ. Ἐξέτασις τοῦ τῆς ὑποταγῆς σημαινομένου, καθ' ὃ λέγει ὑποτετάχθαι τῇ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ οὐσίᾳ τὴν τοῦ πνεύματος φύσιν· ἐν ᾧ κατεσκευάσθη ὅτι συντάσσεται τὸ πνεῦμα τὸ ἅγιον πατρὶ καὶ υἱῷ, οὐχ ὑποτάσσεται.

ιζʹ. Ἐξέτασις τῶν ἐνεργειῶν τίνες κατὰ τὴν φύσιν

LBT 1 ἢ add L: om BT v   ἐκείνῳ LBT v: ἐκείνου Oehler ex codd rec (om ἢ)   6 πάντα ὅσα L: ὅσα πάντα BT v   7 διελέγχεται L: ἐλέγχεται BT v   10 ἀπολογίαν L: ὁμολογίαν BT v cf 1, 18   13 βασιλέας L: βασιλέα BT v   ἐπάρχους L   15 καὶ ante κατὰ om L   19 καὶ om L   23 ἄκυρόν τε BT ἄκυρόν τι add τε L: ἀκύρως τε v   28 τὸ πνεῦμα τὸ ἅγιον om L   πατρὶ κ. υἱῷ: τῇ τοῦ πατρὸς κ. τοῦ υἱου οὐσίᾳ L (quae ex 26 irrepsere ut vid)

εἰσίν, ἃς ἕπεσθαι οὗτος λέγει τῇ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ οὐσίᾳ.

ιηʹ. Ὅτι οὐ κατὰ λόγον ποιεῖ εἰς πλῆθος οὐσιῶν τὸ δόγμα διαμερίζων, οὐδεμίαν ἀπόδειξιν τοῦ ταῦτα οὕτως ἔχειν παρεχόμενος.

ιθʹ. Ὅτι ἁπλῆν λέγων τὴν θείαν οὐσίαν μέχρις ὀνόματος συγχωρεῖ τὴν ἁπλότητα.

κʹ. Ὅτι κακῶς ποιεῖ τῆς τοῦ μονογενοῦς ὑπάρξεως ἐνέργειάν τινα προεπινοῶν ἀπεργαστικὴν τῆς τοῦ Χριστοῦ ὑποστάσεως.

καʹ. Ὅτι χαλεπωτέρα τῆς Ἰουδαϊκῆς πλάνης ἡ τούτων βλασφημία.

κβʹ. Ὅτι οὐ χρὴ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐπὶ τῆς θείας οὐσίας δογματίζειν· ἐν ᾧ καὶ ἔκθεσις τεχνικὴ τῶν ἐκκλησιαστικῶν δογμάτων.

κγʹ. Ὅτι οὐκ ἀμάρτυρός ἐστιν ἡ τῆς πίστεως διδασκαλία ταῖς γραφικαῖς μαρτυρίαις ἠσφαλισμένη.

κδʹ. Ὅτι ματαιολογεῖ μεγέθη καὶ διαφορὰς ἔργων καὶ ἐνεργειῶν ἐν τοῖς δόγμασι τῆς εὐσεβείας τεχνολογῶν.

κεʹ. Ὅτι ὁ πρεσβύτερον κατά τι διαστηματικὸν νόημα τοῦ υἱοῦ τὸν πατέρα κατασκευάζων ἀναγκασθήσεται μηδὲ τὸν πατέρα ἄναρχον λέγειν.

κςʹ. Ὅτι οὐχ ἁρμόσει καὶ τῇ κτίσει τὸ τοιοῦτον θεώρημα ὃ ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ἐξητάσθη, ὅπερ ἐκεῖνοι βιάζονται, ἀλλὰ χρὴ τὸν μὲν υἱὸν ἀϊδίως σὺν τῷ πατρὶ θεωρεῖσθαι, τὴν δὲ κτίσιν ἀπό τινος ὡρισμένου <χρόνου> τὴν ἀρχὴν ἐσχηκέναι ὁμολογεῖν.

κζʹ. Ὅτι μάτην ὑπέλαβε τὰς αὐτὰς ἐνεργείας τὰ αὐτὰ ἔργα ποιεῖν καὶ τὴν παραλλαγὴν τῶν ἔργων παρηλλαγμένας τὰς ἐνεργείας ἐνδείκνυσθαι.

LBT 8 κʹ om T   11 καʹ: Kʹ et 13 κβʹ: καʹ sed 16 κγʹ habet T (sic om κβʹ)   13 κβʹ om B, hinc 16 κβʹ habet B et deinceps sic omnia quae sequuntur numerat τὸ ante ἔλαττον om L   23 ἁρμόζει B   25 ἀϊδίως L: ἰδίως BT v   26 χρόνου supplevi

κη'. Ὅτι μάτην ὑπέλαβεν ἀπαράβατον εἱρμὸν ἐν τῇ τῶν φύσεων συμφωνίᾳ δύνασθαι συστῆναι.

κθ'. Ὅτι μάτην ᾠήθη τὴν ἐν ταῖς ἐνεργείαις ἀμφιβολίαν διαλύειν ἐκ τῶν οὐσιῶν, καὶ τὸ ἔμπαλιν.

λ'. Ὅτι οὐδείς ἐστι λόγος θεϊκὸς ὁ τὰ τοιαῦτα ζητεῖν κελεύων· ἐν ᾧ κατεσκευάσθη καὶ τὸ μάταιον τῆς ἐν τούτοις φιλοσοφίας.

λα'. Ὅτι ἱκανή ἐστιν εἰς γνῶσιν τῆς κατὰ τὴν οὐσίαν ταὐτότητος ἡ διὰ τῆς προνοίας κατανόησις.

λβ'. Ὅτι ἀδιανόητος ἡ ἀπόφασις τοῦ εἰπόντος ἀκολουθεῖν τὸν τρόπον τῆς γεννήσεως τῷ τρόπῳ τῆς ὁμοιότητος.

λγ'. Ὅτι μάτην ἀπεφήνατο τῇ φυσικῇ τοῦ γεννῶντος ἀξίᾳ διαδείκνυσθαι τὸν τῆς γεννήσεως τρόπον.

λδ'. Μνήμη τῶν ἐπὶ διαβολῇ τοῦ ὁμοουσίου παρ' αὐτοῦ ῥηθέντων καὶ πρὸς τὰ εἰρημένα μάχη.

λε'. Κατασκευὴ τοῦ πρὸς τὸν μανιχαϊσμὸν ῥέπειν τὸ δόγμα τῶν Ἀνομοίων.

λς'. Μνήμη πάλιν τοῦ ἐκκλησιαστικοῦ δόγματος ἐν παραδρομῇ.

λζ'. Συνηγορία τῶν παρὰ τοῦ μακαρίου Βασιλείου ῥηθέντων παρὰ τούτου δὲ διαβαλλομένων, ἐν οἷς φησιν ὁ ἡμέτερος τὴν <τοῦ> πατρὸς προσηγορίαν καὶ τὴν τοῦ ἀγεννήτου δύνασθαι τὴν αὐτὴν σημαίνειν διάνοιαν.

λη'. Μάχη πρὸς τοὺς σοφισματώδεις αὐτοῦ συλλογισμοὺς δι' ἐπιχειρημάτων πλειόνων.

λθ'. Ἀπόκρισις πρὸς τὸ ἐπιφερόμενον παρ' αὐτοῦ ἐρώτημα, εἰ ὁ ὢν γεννᾶται.

μ'. Ὅτι ψυχρῶς συστῆναι ἑαυτῷ ἐπεχείρησεν, ἐλεγχθεὶς παρὰ τοῦ μακαρίου Βασιλείου.

LBT 1 ὑπέλαβον T 8 τῆς post γνῶσιν om L 11 γνώσεως ex ἐνώσεως anteposito γ et eraso spiritu corr L 13 διαδείκνυσθαι BT v: δείκνυσθαι L 16 τὸν post πρὸς om v 20 numerum ante συνηγορία om B et argumenta contraxit 22 τοῦ supplevi 26 παρ' αὐτῶν L 28 ἐπεχείρησεν LB v: ἐπιχείρησιν T 26-p 7, 4 tria postrema argumenta in unum contrahit omissis numeris B

μα'. Ὅτι τὸ ἐπακολουθοῦν οὐ ταὐτόν ἐστιν ἐκείνῳ ᾧ ἐπηκολούθει.

μβ'. Ἑρμηνεία τῆς τοῦ ἀγεννήτου σημασίας καὶ τοῦ ἀϊδίου θεωρία.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΛΟΓΟΥ

α'. Ὁ δεύτερος λόγος τὴν σάρκωσιν τοῦ θεοῦ λόγου καὶ τὴν δοθεῖσαν παρὰ τοῦ κυρίου τοῖς μαθηταῖς πίστιν ἐκδιδάσκει, καὶ τοὺς ταύτην ἀνατρέποντας αἱρετικοὺς καὶ ἕτερα προσεπινοήσαντας ὀνόματα ἐκ τοῦ πατρὸς τοῦ διαβόλου εἶναι λέγει.

β'. Εἶτα τὴν τοῦ ἀϊδίου πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος διὰ πλειόνων ἑρμηνείαν διέξεισιν.

γ'. Ἔπειτα τὴν τοῦ ἀκατονομάστου τῆς ἁγίας τριάδος ὀνόματος καὶ τὴν τῶν προσώπων πρὸς ἄλληλα σχέσιν ἔτι τε τὸ τῆς οὐσίας ἄγνωστον καὶ τὴν πρὸς ἡμᾶς αὐτοῦ συγκατάβασιν καὶ τὴν ἐκ τῆς παρθένου γέννησιν καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν καὶ τὴν ἐκ νεκρῶν ἀνάστασίν τε καὶ ἀνταπόδοσιν.

δ'. Μετὰ τοῦτο τὴν κατὰ μέρος τοῦ Εὐνομίου περὶ τοῦ ὄντος κενὴν καὶ βλάσφημον ἔκθεσιν πανσόφως διελέγχει.

ε'. Εἶτα τὸ ἀδιανόητον τῶν τοῦ Εὐνομίου ῥημάτων τῶν τὴν οὐσίαν τοῦ πατρὸς μὴ χωρίζεσθαι ἢ μερίζεσθαι ἢ ἄλλο τι γίνεσθαι λεγόντων θαυμαστῶς ἀνατρέπει.

ς'. Εἶθ' οὕτως τὴν τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἑνότητα

LBT 1 μα' om LT οὐ om L 3 μα' pro μβ' LT 5 κεφάλαια τοῦ β λόγου in margine add L argumenta ad libros II—XII (vulg) qui in secundo volumine continentur hic una cum argumentis libri I Byzantinos libros secutus edidi ex LBT(V), desunt in AS et (ut videtur) in C, tituli ad singula capita margini cod S adscripti fere evanuerunt 7 τοῦ ante κυρίου add L: om BT 13 τοῦ post τὴν om v 23 τι post ἄλλο om L

καὶ τοῦ Εὐνομίου τὸ τῶν γραφῶν ἀμύητον καὶ ἀνόητον δείκνυσι.

ζ′. Πρὸς τούτοις δείκνυσιν ὅτι οὐ μόνον ἐκ τοῦ πατρὸς ὁ μονογενής, ἀλλὰ καὶ ἐκ τῆς παρθένου ἀπαθῶς ἐκ πνεύματος ἁγίου γεννηθεὶς τὴν οὐσίαν οὐκ ἐμέρισεν, ἀλλ' οὐδὲ ἡ τῶν ἀνθρώπων φύσις γεννωμένη ἀπὸ τῶν τικτόντων μερίζεται ἢ σχίζεται, καθὼς ἀπό τε τοῦ Ἀδὰμ καὶ τοῦ Ἀβραὰμ πανσόφως ἀπεδείχθη.

η′. Ἐπὶ τούτοις τὴν τοῦ μονογενοῦς καὶ τὴν τοῦ πρωτοτόκου ἑρμηνείαν τετράκις παρὰ τοῦ ἀποστόλου ῥηθεῖσαν πάνυ ἁρμοδίως διέξεισιν.

θ′. Εἶτα πάλιν τὴν τοῦ μονογενοῦς γέννησιν ἑτέρας τε διαφόρους ὑλικάς τε καὶ ἀΰλους γεννήσεις τεχνολογήσας ἀπαύγασμα δόξης καὶ οὐ κτίσμα τὸν υἱὸν μεγαλοπρεπῶς ἀποδείκνυσιν.

ι′. Ἔπειτα τὴν τοῦ Κύριος ἔκτισέ με ῥῆσιν καὶ τὸν περὶ τῆς ἀρχῆς τοῦ υἱοῦ λόγον τό τε ἀπατηλὸν τῶν τοῦ Εὐνομίου ῥημάτων καὶ τὴν λέγουσαν ῥῆσιν Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω ποικίλως διεξετάσας καλῶς διηρμήνευσεν.

ια′. Εἶτα τὴν τοῦ παντοκράτορος ἀξίαν καὶ τὴν τοῦ μονογενοῦς ἀϊδιότητα καὶ τὸ Γενόμενος ὑπήκοος διασαφήσας τὸ τοῦ Εὐνομίου ἀνόητον ἐν τῷ λέγειν οὐκ ἐκ τῆς ὑπακοῆς αὐτὸν προσλαβεῖν τὸ εἶναι υἱὸν δείκνυσιν.

ιβ′. Εἶθ' οὕτως τὴν τοῦ μεσίτου ἑρμηνείαν τοῦ τε ὁμοίου καὶ ἀγεννήτου καὶ γεννητοῦ τήν τε εἰκόνα καὶ σφραγῖδα τῆς τοῦ παντοκράτορος ἐνεργείας καὶ τῶν ἔργων παγκάλως διέξεισιν.

ιγ′. Μετὰ τοῦτο τὴν εὐαγγελικὴν διερμηνεύει ῥῆσιν Ὁ πατὴρ κρίνει οὐδένα· ἔτι τοῦ μετὰ ψυχῆς καὶ σώματος ἀναληφθέντος ἀνθρώπου παρὰ τοῦ κυρίου τήν τε παράβασιν τοῦ Ἀδὰμ καὶ τὸν θάνατον καὶ τὴν ἐκ νεκρῶν ἐξανάστασιν διεσάφησε.

ιδ′. Πρὸς τούτοις τὴν δόξαν ἣν ἡ ἐκκλησία ὅ τε

LBT 1 ἀνόητον κ. ἀμ. BT v 7 ἀπό τε L: τε om BT v 17 τοῦ alt om BT 18 τήν τε L καὶ τήν τε v ante λέγουσαν

Εὐνόμιος περὶ τοῦ ἁγίου ἔχουσι πνεύματος διεξέρχεται, καὶ ὅτι οὐ τρεῖς θεοὶ ἀλλ' εἷς, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα· πρὸς οἷς καὶ διαφόρους ὑποταγὰς ἐκτίθεται, ἐν οἷς καὶ τὴν παρὰ πάντων πρὸς τὸν υἱὸν ὑποταγὴν <καὶ τὴν> τοῦ υἱοῦ πρὸς τὸν πατέρα τὴν αὐτὴν ἀπέδειξεν.

ιε′. Εἶτα τὸ ἀδιανόητον τοῦ Εὐνομίου διὰ πολλῶν ἀποδείξας ποτὲ μὲν κτιστὸν τὸ ἅγιον λέγοντος πνεῦμα καὶ τοῦ υἱοῦ ἔργον κάλλιστον, ποτὲ δὲ ἀπὸ τῶν ἐνεργειῶν αὐτοῦ θεὸν ὁμολογοῦντος τελειοῖ τὸν λόγον.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΡΙΤΟΥ ΛΟΓΟΥ

α′. Ὁ τρίτος οὗτος λόγος τρίτην πτῶσιν τοῦ Εὐνομίου δεικνύει ὡς ἑαυτὸν διελέγχοντος καὶ ποτὲ μὲν λέγοντος ὅτι διὰ τὸ γεννηθῆναι κατὰ φύσιν δεῖ υἱὸν τὸν μονογενῆ ὀνομάζεσθαι, ὡς τῆς ἁγίας γραφῆς, φησίν, ἄνωθεν τοῦτο δηλούσης, ποτὲ δὲ ὅτι διὰ τὸ κτισθῆναι μηκέτι υἱὸν ἀλλὰ ποίημα λέγεσθαι.

β′. Εἶτα πάλιν τὴν τοῦ Κύριος ἔκτισέ με ῥῆσιν παγκάλως καὶ ἁρμοδίως καὶ ἀκριβῶς διεξετάσας ἐκτίθεται.

γ′. Ἔπειτα τὴν τοῦ γεννητοῦ καὶ ἀγεννήτου οὐκ ἀλλοτρίωσιν οὐσίας ἔκ τε τοῦ Ἀδὰμ καὶ Ἄβελ καὶ ἑτέρων ὑποδειγμάτων δείκνυσιν.

δ′. Εἶθ' οὕτως τὴν τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἑνότητα καὶ τὸ ταὐτὸν τῆς οὐσίας καὶ κοινὸν τῆς φύσεως· ἐν ᾧ καὶ φυσιολογία περὶ γεννήσεως οἴνου, καὶ ὅτι ὅ τε υἱὸς καὶ τὸ γέννημα ἐπὶ τῆς τοῦ μονογενοῦς προσηγορίας ὁμογενῆ τὴν οἰκειότητα ἔχουσιν.

ε′. Πρὸς τούτοις τὸ ἀκατάληπτον τῆς θείας οὐσίας διέξεισι καὶ τὸ πρὸς τὴν Σαμαρεῖτιν ῥηθὲν Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε ἑρμηνεύει.

LBT 3 πρὸς οὗς (sic) L 4-5 verba καὶ τὴν inserui 5 τὴν αὐτὴν correxi: ταύτην vel ταυτὴν libri v 12 διελέγχοντος et λέγοντος L: διελέγχοντα et λέγοντα BT v 22 υἱοῦ correxi: ἀϊδίου BT v ἀϊδίου υἱοῦ L conglutinans verum et falsum 28 σαμαρεῖτιν BT v sic Gregorius scribere solet: σαμαρείτιδα L

ϛ'. Μετὰ ταῦτα τὴν τοῦ υἱοῦ κλῆσιν καὶ <τὴν> τοῦ γεννήματος διαφοράς τε υἱῶν θεοῦ πλείστας καὶ ἀνθρώπων καὶ κριῶν καὶ ἀπωλείας φωτός τε καὶ ἡμέρας ἐκτίθεται.

ζ'. Πρὸς οἷς τὰς τοῦ μονογενοῦς προσηγορίας θεϊκάς τε καὶ ἀνθρωπίνας διερμηνεύσας τὸ γεννητὸν καὶ ἀγέννητον διεξετάσας τὸν λόγον πληροῖ.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΛΟΓΟΥ

α'. Ὁ τέταρτος οὗτος λόγος τὴν περὶ τοῦ γεννήματος φυσιολογίαν καὶ τὴν περὶ τῆς ἀπαθοῦς γεννήσεως τοῦ μονογενοῦς καὶ τὸ Ἐν ἀρχῇ ἦν ὁ λόγος ἔτι τε τὴν ἐκ παρθένου γέννησιν σαφῶς διερμηνεύει.

β'. Εἶθ' οὕτως τὰ ἁρμόζοντα περὶ τῆς ὑποστάσεως τῆς γη<ίνη>ς ταῦτα περὶ τοῦ μονογενοῦς τὸν Εὐνόμιον εἰρηκέναι διελέγξας τρεπτὸν αὐτὸν καὶ κτιστὸν βουλόμενον δεῖξαι ἀποδείκνυσιν.

γ'. Εἶτα τὸν περὶ τοῦ πρωτοτόκου λόγον πάλιν ὡς παρὰ τοῦ ἀποστόλου τετράκις μνημονευθέντα θαυμασίως διέξεισιν.

δ'. Μετὰ τοῦτο πάλιν τὸ ἀπαθὲς τῆς τοῦ κυρίου γεννήσεως καὶ τὸ τοῦ Εὐνομίου ἀνόητον ὡς τὴν γεννηθεῖσαν οὐσίαν τὴν τοῦ υἱοῦ προσηγορίαν ἔχειν εἰπόντος, πάλιν δὲ ἐπιλαθομένου καὶ τὴν τοῦ υἱοῦ πρὸς τὸν πατέρα σχέσιν ἀρνουμένου· ἐν οἷς καὶ τὸ κατὰ τὴν Κίρκην καὶ τὸ <τοῦ> μανδραγόρου διέξεισι φάρμακον.

ε'. Πάλιν τε τὸν Εὐνόμιον ὑπὸ τῆς ἀληθείας ἀναγκαζόμενον τῷ ὀρθῷ συνηγοροῦντα δείκνυσι δόγματι, κυριωτάτην

LBT 1 καὶ post ϛ' add BT v ligaturam vocis καὶ esse arbitrati τὴν suppl Wilamowitz 2 πλείστας θεοῦ collocat L 3 ἀπωλείας LT v: ἀπώλειαν B (cf Joh 17, 12) 5 διερμηνεύσας BT v: ἑρμηνεύσας L τὸ γεννητὸν BT v: τὸν γ. L 6 τὸν ante λόγον om L 8 οὗτος L: om BT v 13 γηίνης correxi: γῆς LBT v 14 ἄκτιστον L 17 παρὰ L v: περὶ BT 19 μετὰ τοῦτο correxi: μετὰ τούτων LBT v τὸ ἀπαθὲς πάλιν collocat L 20 ἀνόνητον prius L postea ν erasum 22 τὸν ante πατέρα om v 23 κατὰ Κίρκην v τοῦ supplevi

καὶ πρώτην οὐ μόνον τὴν τοῦ πατρός, ἀλλὰ καὶ τὴν τοῦ μονογενοῦς οὐσίαν ὁμολογοῦντα.

ϛ'. Εἶτα τὸν περὶ τοῦ γεννήματος καὶ ποιήματος καὶ κτίσματος γυμνάζει λόγον καὶ τὸ ἀμεσίτευτον καὶ ἀμέριστον τῆς οὐσίας καὶ τὴν πρὸς τὸν κτίσαντα καὶ πεποιηκότα σχέσιν ἀσεβῶς παρά τε Εὐνομίου καὶ Θεογνώστου λεγόμενα ἀποδείκνυσι.

ζ'. Πρὸς τούτοις τὸ ἀσύγκριτον τῶν μετὰ τὸν υἱὸν γενομένων, καὶ τὴν κακούργως παρὰ τοῦ Εὐνομίου ἐπινοηθεῖσαν διὰ τῆς τοῦ μονογενοῦς καὶ τοῦ υἱοῦ ὀνομασίας εἰς ἀπάτην τῶν ἀκροωμένων ἐπικεκρυμμένην εἰδωλολατρείαν σοφῶς καὶ ἐντέχνως διελέγχει.

η'. Εἶθ' οὕτως τὴν τοῦ πατρὸς καὶ υἱοῦ οὐσίαν ἀπαράλλακτον δείκνυσιν· ἐν ᾧ καὶ πολλὰς παραλλαγὰς καὶ ἁρμονίας ἐκδιδάσκει, τήν τε μορφὴν καὶ σφραγῖδα καὶ χαρακτῆρα διασαφῶν.

θ'. Ἔπειτα οὐσίαν τε καὶ γέννησιν διασαφήσας τὴν τοῦ Εὐνομίου κενολογίαν καὶ φλυαρίαν κροτάλῳ ἐοικέναι ἀποκαλεῖ.

ι'. Εἶτα τὰ περὶ τῆς τοῦ μονογενοῦς γεννήσεως παρὰ τοῦ μεγάλου Βασιλείου ῥηθέντα ὡς παρὰ Εὐνομίου κακῶς διαβληθέντα σοφῶς διελέγξας τὸν λόγον πληροῖ.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΠΕΜΠΤΟΥ ΛΟΓΟΥ

α'. Ὁ δὲ πέμπτος λόγος τὰ παρὰ τῆς τοῦ ἀποστόλου Πέτρου φωνῆς ῥηθέντα ἐπαγγέλλεται εἰπεῖν, ἀναβάλλεται δέ, καὶ πρότερον μὲν περὶ τῆς κτίσεως διαλέγεται, ὅτι μηδὲν αὐτῆς ἐστι σεβάσμιον, ἀλλ' ἀπαιδεύτῳ καὶ ἀσθενεῖ διανοίᾳ πλανηθέντες οἱ ἄνθρωποι καὶ τὸ κάλλος αὐτῆς θαυμάσαντες

LBT 3 γεννήματος correxi verba Gregorii secutus (cf etiam 10, 2): γεννητοῦ LBT v 8 τῶν υἱῶν L 9 τοῦ post παρὰ om L 11 εἰδωλολατρίαν LBT σοφῶς correxi: σαφῶς libri v cf ad 22 et 12, 26 14 καὶ ante πολλὰς om L 17 τὴν LB om T v 18 κροτάλοις L 20 ι' ante εἶτα B et in marg add T om L v 22 σοφῶς L: σαφῶς BT v cf ad 11

τὰ μέρη τοῦ κόσμου ἐθεοποίησαν· ἐν ᾧ καὶ τὴν Ἡσαΐου ῥῆσιν τὸ Ἐγὼ θεὸς πρῶτος παγκάλως διηρμήνευσεν.

β′. Εἶτα τὴν Πέτρου διέξεισι ῥῆσιν ὅτι Κύριον καὶ Χριστὸν ὁ θεὸς αὐτὸν ἐποίησεν· ἐν ᾧ καὶ τὴν παρὰ Εὐνομίου ἀντίρρησιν, ἣν κατὰ τοῦ ἁγίου Βασιλείου διὰ τὴν τοιαύτην ῥῆσιν ἐποιήσατο, τάς τε λοιδορίας καὶ ὕβρεις ὑφειμένως ἐξέθετο.

γ′. Πρὸς ἃς ἀπάντησις θαυμαστή τις καὶ ξένη καὶ ἀπόδειξις τῆς τοῦ σταυρωθέντος δυνάμεως, καὶ ὅτι τῆς ἀνθρωπίνης φύσεως, οὐ τῆς τοῦ μονογενοῦς παρὰ τοῦ πατρὸς ἡ ὕψωσις γέγονε, καὶ ἑρμηνεία τοῦ σταυρικοῦ σχήματος καὶ τῆς τοῦ Χριστοῦ προσηγορίας καὶ τὰ ἐκ τῆς ἀνακραθείσης θεότητος τῷ ἀνθρωπίνῳ χαρισθέντα ἀγαθά.

δ′. Εἶτα τὴν Εὐνομίου συκοφαντίαν, ὡς ἄνθρωπον εἰς ἄνθρωπον κεκενῶσθαι τὸν μέγαν Βασίλειον λέγοντα, ψευδῆ ἀποδείκνυσι, καὶ τὴν τοῦ μονογενοῦς κένωσιν ἐπὶ ἀνακλήσει τοῦ πεπονθότος ἀνθρώπου γεγονέναι ἀποφαίνει.

ε′. Μετὰ τοῦτο οὐ δύο Χριστοὺς οὐδὲ δύο κυρίους, ἀλλ' ἕνα Χριστὸν καὶ ἕνα κύριον ἀποδείκνυσι, καὶ ὅτι ἡ θεία φύσις τῇ ἀνθρωπίνῃ μιχθεῖσα ἀσυγχύτους ἑκατέρας φύσεως τὰς ἰδιότητας διετήρησε, καὶ διὰ τὴν συμφυΐαν κοινὰς καὶ τὰς ἐνεργείας κατονομάζεσθαι [εἴρηκε], τοῦ τε θείου εἰς ἑαυτὸν καὶ τὰ πάθη τοῦ δούλου ἀναλαμβάνοντος καὶ τοῦ ἀνθρωπίνου τῇ δεσποτικῇ τιμῇ συνδοξαζομένου καὶ τῇ δυνάμει τῆς ἀνακραθείσης θείας φύσεως εἰς ἑαυτὴν τῆς ἀνθρωπίνης ἀναποιηθείσης, διὰ πολλῶν πανσόφως ἐξέθετο.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΕΚΤΟΥ ΛΟΓΟΥ

α′. Καὶ ὁ ἕκτος δὲ λόγος οὐ ψιλὸν ἄνθρωπον τὸν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐλθόντα, ὡς ὁ Εὐνόμιος τὸν μέγαν

LBT 3 τοῦ ante Πέτρου add L 5-6 διὰ ταύτην τὴν ῥῆσιν L 6-7 ὑφειμένως LB: ὑφειμένας T v 11 ὕψωσις correxi: ὕποψις libri v 15 λέγοντος L 17 γεγονέναι ἀποφαίνει BT v: ἀπέδειξεν L 22 εἴρηκε del Wilamowitz κατονομάζεσθαι pendet a 26 ἐξέθετο 23 καὶ post ἑαυτὸν om L

Βασίλειον εἶπεν εἰρηκέναι ψευδῶς διαβάλλων, δείκνυσιν, ἀλλὰ τὸν μονογενῆ τοῦ θεοῦ υἱὸν σάρκα ἀνθρωπείαν ἐνδυσάμενον καὶ μεσίτην θεοῦ καὶ ἀνθρώπων γενόμενον, παθητὸν σαρκί, ἀπαθῆ τῇ θεότητι, πιστωσάμενος τὸν Εὐνόμιον συκοφάντην ἀπέδειξεν.

β′. Εἶτα πάλιν τῆς τοῦ Πέτρου μέμνηται φωνῆς τῆς Ἐποίησε, καὶ τῆς ἐκ τῆς πρὸς Ἑβραίους ἥ φησιν ἀπόστολον καὶ ἀρχιερέα τὸν Ἰησοῦν παρὰ θεοῦ γεγενῆσθαι, ἱκανῶς τε ὑπὲρ τῶν παρὰ Εὐνομίου ἐπαχθέντων αὐτῷ ἐγκλημάτων ἀπολογησάμενος αὐτὸν τὸν Εὐνόμιον συνηγοροῦντα τοῖς τοῦ μεγάλου ἀποδείκνυσι Βασιλείου λόγοις καὶ κύριον τὸν μονογενῆ υἱὸν σάρκα ἐνδυσάμενον γεγονέναι λέγοντα.

γ′. Ἔπειτα τὸ πρὸς τὸν Φίλιππον ῥηθὲν παρὰ τοῦ κυρίου Ὁ ἑωρακὼς ἐμέ, τὸν ἐν τῷ ἀλλοιωθέντι σώματι ὄντα, ἑώρακε τὸν πατέρα, θαυμασίως διέξεισιν· ἐν ᾧ καὶ τὸ κατὰ τὸ φιλάνθρωπον πάθος τοῦ κυρίου καὶ τὸ τοῦ πατρὸς ἀπαθὲς δημιουργικόν τε καὶ προνοητικὸν καὶ τὴν τῶν ἀνθρώπων συμφυΐαν καὶ εἰς τὰ ἐξ ὧν συνετέθησαν ἀνάλυσιν παγκάλως διελήλυθεν.

δ′. Εἶτα πάλιν τὴν παρὰ τοῦ Πέτρου ῥῆσιν ἀναλαβὼν ὅτι Κύριον καὶ Χριστὸν ὁ θεὸς αὐτὸν ἐποίησε, καὶ διὰ πολλῶν συλλογισμῶν ταύτην πανσόφως διασαφήσας ἐν ταύτῃ τὸν Εὐνόμιον τῷ ὀρθῷ συνηγοροῦντα δείκνυσι δόγματι· ἐν οἷς τά τε θεῖα καὶ ἀνθρώπινα ὀνόματα διὰ τὴν τῶν φύσεων ἀνάκρασιν ἑκατέρᾳ φύσει ἐφαρμόσας τὸν λόγον πληροῖ.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΕΒΔΟΜΟΥ ΛΟΓΟΥ

α′. Οὗτος δὲ ὁ ζ′ λόγος τὴν κύριος λέξιν οὐκ οὐσίας ὄνομα κατὰ τὴν Εὐνομίου ἔκθεσιν, ἀλλ' ἀξίας ἔκ τε τῶν πρὸς Κορινθίους διαφόρων ῥητῶν καὶ τῶν πρὸς Ἑβραίους τῆς τε τοῦ κυρίου φωνῆς ἀποδείκνυσι, πολλά τε περὶ πνεύ-

LBT 4 πιστωσάμενος LB: πιστωσάμενον T v 16 τὸ τοῦ L: τὸ om BT v 18 εἰς T v: om LB συνετέθησαν L: διετέθησαν BT v 21 αὐτὸν BT: αὐτὸς v, αὐτὸν ante ὁ θεὸς collocat L 27 οὗτος δὲ ὁ ζ′ LBT: καὶ ὁ ζ′ δὲ v κυρίου v

ματος καὶ κυρίου θαυμαστῶς φιλοσοφήσας τὸν Εὐνόμιον ἀπὸ τῶν ἰδίων ἐλέγχει ῥημάτων τοῖς ὀρθοῖς συνηγοροῦντα καὶ μὴ βουλόμενον δόγμασι καὶ τοῖς ἰδίοις βαλλόμενον βέλεσιν.

β'. Εἶτα λέγει ὅτι ἡ προσφυὴς τῶν ὀνομάτων πρὸς τὰ πράγματα σχέσις ἀμετάθετός ἐστιν, εἶθ' οὕτως τὸν περὶ <τοῦ> γεννητοῦ καὶ ἀγεννήτου λόγον ὡς κάλλιστα διέξεισι.

γ'. Μεθ' ἃ περὶ παραλλαγῆς ὀνομάτων καὶ πραγμάτων διεξιὼν περὶ τῶν ἄνευ αἰτίας ἀγεννήτων καὶ ἀνυπάρκτων, οἷον σκινδαψοῦ καὶ Μινωταύρου καὶ βλίτυρι καὶ Κύκλωπος καὶ Σκύλλης, τῶν μηδ' ὅλως γεννηθέντων, διεξελθὼν τὰ κατ' οὐσίαν ἀλλότρια φθαρτικὰ ἀλλήλων ὑπάρχοντα δείκνυσιν, ὡς πῦρ ὕδατος καὶ τὰ λοιπὰ ἀλλήλων· ἐπὶ δὲ πατρὸς καὶ υἱοῦ κοινῆς τῆς οὐσίας οὔσης καὶ ἐν ἀλλήλοις τῶν ἰδιοτήτων οὐσῶν οὐδεμία τῇ φύσει λώβη ἐπάγεται.

δ'. Ἔπειτα λέγει ὅτι πάντα τὰ ἐν τῇ κτίσει ὄντα πράγματα παρὰ ἀνθρώπων ὠνόμασται, εἰ καὶ διαφόρως παρ' ἑκάστου καλεῖται ἔθνους, ὡς καὶ ἡ τοῦ ἀγεννήτου <προσηγορία> παρ' ἡμῶν ὠνόμασται· αὐτῆς δὲ τῆς θείας οὐσίας προσηγορίαν κυρίαν τῆς θείας ἔχουσαν φύσεως ἔμφασιν ἢ καθόλου μὴ εἶναι ἢ ἡμῖν ἄγνωστον εἶναι.

ε'. Πολλά τε περὶ τοῦ ὄντος καὶ ἀγεννήτου καὶ ἀγαθοῦ διαλεχθεὶς περί τε τῆς ὁμοουσιότητος καὶ τῶν ἀνθρωπίνων ψυχῶν καὶ τῆς τῶν σωμάτων ὁμοουσιότητος ἔτι τε τῶν οὐρανίων δυνάμεων τὸ μὴ παρηλλαγμένον τῆς οὐσίας δείξας, ἀλλὰ τὴν τῶν ἀξιωμάτων διαφοράν, τὸν λόγον πληροῖ.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΟΓΔΟΟΥ ΛΟΓΟΥ

α'. Ὁ δὲ η' λόγος τὴν παρὰ τῶν αἱρετικῶν βλασφημίαν τῶν ἐξ οὐκ ὄντων τὸν μονογενῆ λεγόντων καὶ ὅτι ἦν

LBT 6 τοῦ addidi 8 διεξιὼν BT v: διεξελθὼν L περὶ τῶν LBT: π. τοῦ v ἀγεννήτου κ. ἀνυπάρκτου v 10 Σκύλλης v: σκύλλας LBT μηδ' ὅλως correxi: μὴ ὅλως libri v 12-13 τοῦ πατρὸς καὶ τοῦ υἱοῦ L 14 οὐσῶν BT: ὄντων L v 17-18 προσηγορία supplevi 22 verba inde a καὶ τῶν ἀνθρωπίνων usque ad 23 ὁμοουσιότητος addunt LBT: om v καὶ ante τῶν ἀνθρωπίνων om L 27 παρὰ L v: περὶ BT

ὅτε οὐκ ἦν πάνυ θαυμαστῶς ἀνατρέπει καὶ οὐ πρόσφατον ἀλλ' ἐξ ἀϊδίου τὸν υἱὸν ὄντα δείκνυσιν ἔκ τε τοῦ τῷ Μωϋσεῖ εἰρηκέναι Ἐγώ εἰμι ὁ ὤν, τῷ δὲ Μανωὲ Ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου καὶ τοῦτό ἐστι θαυμαστόν; πρὸς τούτοις καὶ ὁ Δαβὶδ πρὸς τὸν θεόν φησι Σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν, ἀλλὰ καὶ ὁ Ἠσαΐας Ἐγὼ θεὸς πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα, καὶ ὁ εὐαγγελιστὴς Ἐν ἀρχῇ ἦν καὶ πρὸς τὸν θεὸν καὶ θεὸς ἦν· καὶ μήτε ἀρχὴν μήτε τέλος ἔχοντα, εἰδωλολάτρας δὲ τοὺς πρόσφατον ἐξ οὐκ ὄντων αὐτὸν λέγοντας ἀποδείκνυσιν· ἐν οἷς καὶ τὸ ἀπαύγασμα τῆς δόξης καὶ τὸν χαρακτῆρα τῆς ὑποστάσεως παγκάλως διερμηνεύει.

β'. Εἶτα τὴν βούλησιν τοῦ πατρὸς περὶ τῆς τοῦ υἱοῦ γεννήσεως διεξιὼν δείκνυσι τὸ ἀγαθὸν βούλημα ἐξ ἀϊδίου ὄν, ὅπερ ἐστὶν ὁ υἱός, τῷ πατρὶ ἐνυπάρχων καθάπερ τῇ φλογὶ ἡ αὐγὴ καὶ τῷ ὀφθαλμῷ ἡ τοῦ ὁρᾶν ἐνέργεια συμφυὴς οὖσα τῇ βουλήσει.

γ'. Εἶθ' οὕτως τὰ περὶ τῆς οὐσίας τοῦ υἱοῦ ὡς προεξετασθέντα παραδραμὼν τὸ [περὶ] τῆς γεννήσεως σημαινόμενον διέξεισι διαφόρους εἰπὼν γεννήσεις ἐξ ὕλης καὶ τέχνης, ὡς οἰκοδομημάτων, καὶ ἐκ τῆς τῶν ζῴων διαδοχῆς, τῶν τε ἐξ ἀπορροίας, ὡς ἐφ' ἡλίου καὶ ἀκτῖνος, λαμπάδος καὶ αὐγῆς, ἀρωμάτων καὶ μύρων καὶ τῆς ἐξ αὐτῶν ποιότητος καὶ τῶν ἐκ τοῦ νοῦ λόγων, καὶ τῶν ἀπὸ σήψεως ξύλων καὶ πυρὸς συμπιλήσεως καὶ ἑτέρων μυρίων, πανσόφως διελήλυθεν.

δ'. Πρὸς τούτοις τὰς περὶ θεοῦ ἐνεργείας ἐκ τῶν ἀνθρωπίνων δείκνυσιν ὑποδειγμάτων· καὶ γὰρ ὃ χεῖρες καὶ

LBT 4 verba inde a πρὸς τούτοις usque ad 8 ἦν cum sententiam laedant postea addita puto cf p 18, 22 et 19, 16 7-8 καὶ θεὸς ἦν καὶ πρὸς τὸνθεὸν L 11-12 διερμηνεύῃ L 15 καὶ ante καθάπερ add BT v 19 περὶ delevi e linea superiore intrusum cf p 4, 28 et passim 21 ὡς correxi: καὶ libri v ἐκ τῆς correxi: τῆς ἐκ LBT v 22 ἐφ' correxi: ἐξ libri v 24 τῶν ἐκ τοῦ νοῦ λόγων correxi: τὸν—λόγον libri v (genitivus pendet ab ἐφ', nam etiam οἱ ἐκ τοῦ νοῦ λόγοι exemplum sunt τῶν ἐξ ἀπορροίας. καὶ τῶν correxi (cf 21-22 τῶν τε ἐξ ἀπορροίας): καὶ τὸν libri v 27 καὶ γὰρ om L

πόδες καὶ τὰ λοιπὰ μόρια τοῦ σώματος, μεθ' ὧν οἱ ἄνθρωποι δημιουργοῦσι, τοῦτο ἀντὶ πάντων ἐπὶ θεοῦ μόνον τὸ βούλημα ὑπάρχει. οὕτω δὲ καὶ τὸ περὶ τῆς γεννήσεως παρηλλαγμένον τυγχάνει· διὸ καὶ μονογενὴς προσηγόρευται, διὰ τὸ μηδεμίαν κοινωνίαν ἑτέρας γεννήσεως ἢ ἀδελφὴν ἔχειν τὴν κτίσιν, ἀλλ' ἀπαύγασμα δόξης καὶ ὀσμὴ μύρου λεγόμενος τὸ συνημμένον καὶ συναΐδιον τῆς πρὸς τὸν πατέρα σχέσεως δείκνυσιν.

ε'. Εἶτα τὴν τοῦ δημιουργοῦ καὶ μονογενοῦς ὑπόστασιν οὐκ ἀρχὴν ἔχουσαν ὥσπερ καὶ τὰ δημιουργήματα, ὡς ὁ Εὐνόμιός φησιν, ἀλλ' ἄναρχον καὶ ἀΐδιον <δείξας>, καὶ μηδεμίαν κοινωνίαν μήτε ἀπὸ τῆς οὐσίας μήτε ἀπὸ τῶν ὀνομάτων τὸν μονογενῆ πρὸς τὴν κτίσιν ἔχοντα, ἀλλ' ἐξ ἀϊδίου τῷ πατρὶ συνόντα, καθὼς ἡ πανάρετος λέγει Σοφία, ἀρχήν τε καὶ τέλος καὶ μεσότητα χρόνων ὄντα· πολλά τε περὶ τῆς τοῦ μονογενοῦς θεότητος καὶ ἀϊδιότητος, ἔτι τε περὶ ψυχῶν καὶ ἀγγέλων καὶ ζωῆς καὶ θανάτου εἰπὼν τὸν λόγον πληροῖ.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΕΝΑΤΟΥ ΛΟΓΟΥ

α'. Ὁ θ' λόγος τὴν Εὐνομίου θεολογίαν μέχρι μέν τινος καλῶς ῥηθεῖσαν λέγει. εἶτ' ἐφεξῆς ἐκ τῶν Φίλωνος λόγων τὸ Ὁ θεὸς πρὸ τῶν ἄλλων ὅσα γεννητά, διὰ τὴν συγγένειαν τοῦ φρονήματος μετὰ τῶν ἰδίων ἀναμίξας λόγων, προσθεὶς δὲ καὶ τὸ Τῆς ἰδίας κατακρατεῖ δυνάμεως, τὴν ὑπερβολὴν τῆς ἀτοπίας μυσαχθεὶς θαυμαστῶς ἐξελέγχει.

β'. Εἶτα τὴν τοῦ υἱοῦ γέννησιν οὐ κατὰ τὴν Εὐνομίου φωνὴν Τότε ἐγέννησε λέγοντος, ὅτε ἠθέλησεν ὁ πατήρ, καὶ οὐ πρότερον, ἀλλὰ πάντων ἀγαθῶν καὶ καλῶν πλήρωμα τὸν υἱὸν ὄντα ἀεὶ ἐν τῷ πατρὶ θεωρεῖσθαι πανσόφως ὑπέδειξεν,

LBT 2 μόνον L v: μόνου BT 3 καὶ om L 5 ἀδελφὴν om v 7 συνημμένον v: συμμένον LBT 8 σχέσεως emendavi: φύσεως LBT v 10 ἔχειν B v καὶ om L 11 δείξας supplevi 14 σοφία λέγει collocat L 19 ὁ δὲ θ' v

<ἀπ'> αὐτῶν τῶν Εὐνομίου λόγων συνηγορίαν ποιησάμενος τῆς τοιαύτης ἀποδείξεως.

γ'. Καὶ ὅτι οὐ κατὰ τὴν κοινὴν καὶ σαρκώδη γέννησιν ἡ προαιώνιος τοῦ μονογενοῦς τεκμαίρεται, ἀλλ' ἄναρχός ἐστι καὶ ἀτελεύτητος, καὶ οὐ καθὼς Εὐνόμιος ἀπὸ τῶν Πλάτωνι περὶ ψυχῆς ῥηθέντων καὶ τῆς παρ' Ἑβραίοις τοῦ σαββάτου ἀναπαύσεως ἀνοήτως ἀναπλάττει, μὴ εἰδὼς τὴν δύναμιν αὐτῶν.

δ'. Εἶτα τὴν κατὰ τοῦ μεγάλου Βασιλείου παρὰ τοῦ Εὐνομίου συκοφαντίαν ὡς ἀγέννητον τὸν μονογενῆ καλοῦντος ψευδῆ ἀποδείξας πάλιν περὶ τὸ ἀΐδιον καὶ ὂν καὶ ἀτελεύτητον τοῦ μονογενοῦς, δημιουργίας τε καὶ φωτὸς καὶ σκότους πανσόφως διεξελθὼν τὸν λόγον πληροῖ.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΔΕΚΑΤΟΥ ΛΟΓΟΥ

α'. Ὁ ι' δὲ λόγος τὸ ἀνέφικτον καὶ ἀκατάληπτον τῆς τῶν ὄντων εὑρέσεως διεξέρχεται. ἐν ᾧ καὶ τὰ περὶ τῆς φύσεως καὶ διαπλάσεως τοῦ μύρμηκος παραδόξως ἐκτίθεται, καὶ τὴν εὐαγγελικὴν ῥῆσιν Ἐγώ εἰμι ἡ θύρα καὶ ἡ ὁδός, τῶν τε θείων ὀνομάτων τὰς προσηγορίας καὶ ἑρμηνείας τήν τε τῶν υἱῶν Βενιαμὶν ἱστορίαν διέξεισιν.

β'. Εἶτα τὴν αἰώνιον ζωὴν τουτέστι τὸν Χριστὸν τοῖς μὴ ὁμολογοῦσι θαυμαστῶς ὑπέδειξε καὶ θρῆνον αὐτοῖς τὸν ἐπὶ τῷ Ἰεχονίᾳ τοῦ Ἰερεμίου ἐξετραγῴδησε πρὸς Μοντανὸν καὶ Σαβέλλιον οἰκείως ἔχουσιν.

γ'. Ἔπειτα τὸ ἀΐδιον τῆς τοῦ υἱοῦ γεννήσεως καὶ τὸ ταὐτὸν τῆς οὐσίας τῷ γεννήσαντι ἀχώριστον δείκνυσι, τὸ δὲ

(V)LBT 1 ἀπ' supplevi 1-2 ποιησάμενος post τοιαύτης coll L 2 ἀποδείξεως LT v: ἀποδόσεως B 3 οὐ ante 4 τεκμαίρεται collocat v 7 ἀνοήτως ante 5 ἀπὸ collocat v 8 αὐτῶν VL: αὐτοῦ BT v 10 καλοῦντα V 12 τῆς ante τοῦ μονογενοῦς add BT v: om VL 15 ὁ δὲ ι' L δὲ om BT τῆς om V 18 καὶ ante ἐγὼ addunt BT v 26 ταὐτὸ v οὐσίας LBT v: γεννήσεως V γεννήσαντι VLT v: γεννήτορι B

τοῦ Εὐνομίου ἀνόητον τοῖς κατὰ ψαμάθων παίζουσιν ἀπεικάζει νηπίοις.

δʹ. Μετὰ τοῦτο τὸν κυρίως ὄντα υἱὸν καὶ ἐν τοῖς κόλποις ὄντα τοῦ πατρὸς ἁπλοῦν τε καὶ ἀσύνθετον καὶ μὴ κυριευόμενον παρὰ τοῦ πατρὸς μήτε δουλεύοντα τὸν ἡμᾶς τῆς δουλείας ἀπαλλάξαντα δείκνυσιν· καὶ εἰ μὴ τοῦτο, οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ὁ πατὴρ ὡς ἐν τῷ υἱῷ ὢν καὶ ἓν ὢν δοῦλος ἔσται· ἀπὸ δὲ τοῦ εἶναι ἡ τοῦ ὄντος ἐπωνυμία παρεσχημάτισται. πάντα δὲ ταῦτα γενναίως καὶ θαυμαστῶς διεξετάσας τὸν λόγον πληροῖ.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΕΝΔΕΚΑΤΟΥ ΛΟΓΟΥ

αʹ. Ὁ ιαʹ λόγος οὐ τῷ πατρὶ μόνον τοῦ ἀγαθοῦ τὴν ἐπωνυμίαν ὀφείλεσθαι, ὥς φησιν ὁ Εὐνόμιος ὁ μιμητὴς Μανιχαίου καὶ Βαρδησάνου, ἀλλὰ <ὅτι> καὶ τῷ υἱῷ τῷ διὰ φιλανθρωπίαν καὶ ἀγαθότητα τὸν ἄνθρωπον πλάσαντι καὶ διὰ σταυροῦ καὶ θανάτου ἀναπλάσαντι ἡ τοῦ ἀγαθοῦ προσηγορία ὀφείλεται, δείκνυσι.

βʹ. Καὶ ὅτι οὐ διθεΐα ἀγαθοῦ καὶ κακοῦ, ὡς Μαρκίων ὁ ὁμόφρων αὐτοῦ οἴεται, πανσόφως ἐκ τῆς εὐαγγελικῆς ῥήσεως τῆς Διδάσκαλε ἀγαθὲ λεγούσης καὶ τῆς τοῦ ἀμπελῶνος παραβολῆς Ἠσαΐου τε καὶ Παύλου ἀποδείκνυσι, καὶ ὅτι οὐ τὴν ἐπωνυμίαν τοῦ ὄντος ἢ ἀγαθοῦ [ἢ τὴν τοῦ πατρὸς ἀλλοτρίωσιν] ὁ υἱὸς ἀρνεῖται· ἀλλὰ καὶ τὴν τῶν γενομένων ἐξουσίαν προσήκειν αὐτῷ φησιν.

γʹ. Εἶτα τὴν τοῦ Εὐνομίου ἀμαθίαν καὶ τὸ ἀσυνάρτητον καὶ γελοῖον τῶν λόγων αὐτοῦ ἐκτίθεται, ἄγγελον τοῦ

VLBT 3-4 τοῖς κόλποις VBT v: τῷ κόλπῳ L sed ῷ in ras ut vid 5 τὸν καὶ ἡμᾶς L 6 καὶ εἰ L: εἰ καὶ VBT v 12 καὶ ante ὁ ιαʹ add L 14 βαρδισάνου VBT v ὅτι addidi (cf 16-17) τῷ ante υἱῷ VLT: om B v 16-17 τὴν τ. ἀγ. προσηγορίαν ὀφείλεσθαι unus B ex corr ut vid cf ad 19, 6 18 διθεΐα T v: διθεΐαν VLB 22 verba ἢ τὴν τοῦ πατρὸς ἀλλοτρίωσιν delevi lectoris additamentum quo verborum structura pessumdata est (cf ad 19, 20-22; 21, 18-19) 23-24 γενομένων VL: γινομένων BT v (cf Joh 1, 3)

ὄντος τὸν υἱὸν λέγοντος καὶ κατώτερον τῆς θείας φύσεως, ὅσον τῶν ἑαυτοῦ ὁ υἱὸς ὑπερέχει κτισμάτων. πρὸς ἃ γενναία καὶ σφοδρὰ ἡ ἀντίθεσις καὶ ὁ ἔλεγχος ὀργιλώτερος, καὶ ὅτι ὁ χρηματίζων τῷ Μωϋσεῖ αὐτός ἐστιν ὁ ὤν, ὁ μονογενὴς υἱὸς ὃς τῷ Μωϋσεῖ αἰτοῦντι Εἰ μὴ αὐτὸς συμπορεύῃ ἡμῖν, μή με ἀναγάγῃς ἐντεῦθεν, εἴρηκεν ὅτι Καὶ τοῦτόν σου τὸν λόγον ποιήσω· ὃς καὶ ἄγγελος καλεῖται παρά τε Μωϋσέως καὶ Ἠσαΐου ἐν ᾧ παρήχθη ὅτι Παιδίον ἐγεννήθη ἡμῖν.

δʹ. Μετὰ τοῦτο τὸ πλῆθος τῆς ἀντιρρήσεως δεδιὼς τὰ πολλὰ τοῦ ἀντιπάλου παρέδραμεν ὡς ἤδη προανατραπέντα. τὰ δὲ λείποντα διὰ τοὺς οἰομένους κράτιστα εἶναι διὰ βραχέων ἐπιτεμὼν τὴν τοῦ Εὐνομίου βλασφημίαν διελέγχει λέγοντος, ὅπερ ἐπὶ πάσης τῆς κτίσεως ζῷά τε καὶ φυτά εἰσι πρὸ τῆς ἰδίας γεννήσεως μὴ ὄντα, τοῦτο καὶ τὸν κύριον εἶναι [καὶ ὁμοίως τῆς τῶν βατράχων γενέσεως· φεῦ τῆς βλασφημίας].

εʹ. Πάλιν τε κύριον αὐτὸν καὶ θεὸν καὶ δημιουργὸν πάσης τε νοητῆς καὶ αἰσθητῆς κτίσεως ὁ Εὐνόμιος καλεῖ [παρὰ τοῦ πατρὸς τὴν δύναμιν τῆς δημιουργίας καὶ τὴν ἐπιτροπὴν εἰληφότα, καθάπερ χειροτέχνης παρὰ τοῦ μισθουμένου τὴν δημιουργίαν ἐπιτραπείς] ἐπίκτητόν τε καὶ ἔξωθεν τῆς δημιουργίας τὴν δύναμιν εἰληφότα ἐκ τῆς ἀποκληρωθείσης αὐτῷ δυνάμεως κατὰ τὰς ποιὰς τῶν ἀστέρων ἐπιπλοκάς τε καὶ ἀποστάσεις, τῆς εἱμαρμένης ἐπικλωθούσης τοῖς τικτομένοις τὰς ἀποκληρώσεις τῶν βίων. καὶ τὰ πολλὰ παρατρέχων ἐκ τῶν παρ' αὐτοῦ γεγραμμένων τὴν βλασφημίαν ἐλέγχει, γῇ καὶ ἀγγέλοις ὁμοίως γεγονότα τὸν ποιητὴν τῶν ἁπάντων καὶ μηδὲν τῆς πάντων γενέσεως τὴν τοῦ μονογενοῦς ἀπᾴδειν ὑπόστασιν· μήτε θεῖον μυστήριον μήτε

VLBT 1 κατώτερον VLT v: κατωτέρω B τε post κατώτερον add L 5 ὃς V v: ὁ LBT 6 εἰρηκὼς solus B σου LBT v: σοι V 10 τὸ ante πλῆθος om v 16-17 verba καὶ ὁμοίως—τῆς βλασφημίας fatuus adpinxit (cf 20 et p 21, 8) 20 verba παρὰ τοῦ πατρὸς—22 ἐπιτραπείς duplex recensio cf 22 sq

ἔθος * μήτε τινὶ τῶν τῆς θεοσεβείας διδασκάλων πειθόμενον πρὸς τὴν τῆς εὐσεβείας εὕρεσιν, εἰ μὴ Μανιχαῖον Κόλουθον Ἄρειον Ἀέτιον καὶ τοὺς κατ' αὐτούς, λῆρον πάντα τὰ τῶν Χριστιανῶν * καὶ παίγνιον τὰ τῆς ἐκκλησίας ἔθη καὶ σεβάσμια ἡγούμενον μυστήρια, μηδὲν τῶν Ἑλλήνων διαφέροντα, οἳ μέγαν θεὸν ὑπερέχοντα τῶν ἄλλων ἐκ τοῦ καθ' ἡμᾶς ὑπέλαβον δόγματος. οὕτως οὖν καὶ ὁ νέος οὗτος εἰδωλολάτρης ὁμοίως κηρύσσει καὶ εἰς δημιουργὸν καὶ κτίστην τὸ βάπτισμα γίνεσθαι, μὴ δεδιὼς τὴν ἀρὰν τῶν προσθήκην ἢ ἔλλειψιν ἐν ταῖς θείαις ποιουμένων γραφαῖς· ἀντίχριστόν τε τοῦτον ἀποδεικνὺς τὸν λόγον πληροῖ.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΔΩΔΕΚΑΤΟΥ ΛΟΓΟΥ

α'. Οὗτος δὲ ὁ ιβ' λόγος τὸν πρὸς τὴν Μαρίαν παρὰ τοῦ κυρίου ῥηθέντα λόγον Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα, θαυμαστῶς ἑρμηνεύει.

β'. Εἶτα τὴν παρὰ τοῦ μεγάλου Βασιλείου ἐλεγχθεῖσαν βλασφημίαν τοῦ Εὐνομίου εἰς τὴν τοῦ σκότους μοῖραν τὸν μονογενῆ ἀφορίσαντος θεὸν καὶ τὴν τοῦ Εὐνομίου ἀπολογίαν ἤτοι ἀνάλυσιν τῆς παρ' αὐτοῦ ῥηθείσης βλασφημίας ἐκθέμενος, πλείονα ἀπὸ τῆς ἀπολογίας τὴν αὐτοῦ νῦν βλασφημίαν τῆς προτέρας ἀποδείκνυσιν· ἐν ᾧ καὶ περὶ τοῦ ἀπροσίτου καὶ ἀληθινοῦ φωτὸς πανσόφως διελήλυθεν.

γ'. Πρὸς τούτοις τὴν εὐαγγελικὴν ῥῆσιν τὴν Ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ τὴν ζωὴν καὶ τὸ φῶς καὶ τὸ Ὁ λόγος σὰρξ ἐγένετο, κακῶς παρὰ Εὐνομίου νοηθέντα, παραδόξως ἡρμήνευσεν καὶ τὴν βλασφημίαν ἀνεσκεύασεν τήν τε οἰκονομίαν

VLBT 1 ἔθος: θος in lac om L aliquid deest 2 εἰ om L 3 ἀέτιον ἄρειον coll L 4 τὰ post πάντα om V πάντας τῶν χριστιανῶν B δόγματα post Χριστιανῶν excidisse videtur 5-6 διαφέρων v 6 μέγαν LBT v: μέγα V 7 ἡμᾶς BT v: ἡμῶν VL 8 κτίστην LBT v: κτίσιν V 19-20 ἐκθέμενος correxi: ἐκθεμένου libri v 22 τοῦ post καὶ add BT v 25 παρὰ LBT : ἐπὶ V v νοηθέντα VL: om T v (lac post εὐνομίου habet T) ἐκληφθεῖσαν B

τοῦ υἱοῦ διὰ φιλανθρωπίαν, οὐκ ἀδυναμίαν, πατρός τε συνεργίᾳ γεγενημένην δείκνυσι.

δ'. Πρὸς τούτοις δὲ πάλιν τὸν Εὐνόμιον τὴν ἀγεννησίαν ἐκ τῶν ἱερογλυφικῶν γραφῶν καὶ τῆς Αἰγυπτίων μυθοποιΐας καὶ εἰδωλολατρείας μεμαθηκέναι διελέγχει, Ἄνουβιν καὶ Ὄσιριν καὶ Ἶσιν τῷ τῶν Χριστιανῶν ἐπεισάγοντα δόγματι, καὶ μὴ χάριν τῷ μονογενεῖ τὸν ἄνθρωπον ἔχειν [ὡς κατ' ἀνάγκην τὰ πάθη δεξάμενον καὶ μὴ βουλόμενον ὡς οὐδὲ τὸ πῦρ τῆς θερμότητος οὔτε τῆς ῥοῆς τὸ ὕδωρ] ὡς οὐκ εἰς δύναμιν ἐξουσιαστικήν, ἀλλ' εἰς φύσεως ἀνάγκην τὸ γεγονὸς ἀναφέροντα.

ε'. Εἶτα πάλιν περὶ ἀληθινοῦ καὶ ἀπροσίτου φωτός, πατρὸς καὶ υἱοῦ, ἰδιότητός τε καὶ κοινότητος [καὶ] οὐσίας διεξελθών, περί τε γεννητοῦ καὶ ἀγεννήτου, ὡς μηδεμίαν ἐναντιότητα κατὰ τὸ σημαινόμενον ἔχοντος, ἀλλ' ἀντίθεσίν τινα καὶ ἀντιδιαστολὴν ἀμεσίτευτον ἀποδείξας τὸν λόγον πληροῖ.

VLBT 1 υἱοῦ L: βίου V κυρίου BT v 2 συνεργείᾳ v δείκνυσι BT v: ἀποδείκνυσι VL 3-4 ἀγεννησίαν LBT v: ἀγεννῶς V 4 γραφῶν BT v: γραφὴν V γραμμάτων L verba 8 ὡς κατ' ἀνάγκην—9 ὕδωρ omnino strui nequeunt, supplementum lectoris ut vid quod in textum receptum est 9 καὶ ante ὡς οὐδὲν (sic) add BT v 10 φύσεως LT v: φύσει V φυσικὴν B 13 καὶ delevi 16 ἀποδείξαντας V 17 ἕως ᾧδε post πληροῖ add T v

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

ΤΩΝ ΕΚΔΟΘΕΝΤΩΝ ΠΑΡΑ ΕΥΝΟΜΙΟΥ ΔΥΟ ΛΟΓΩΝ ΜΕΤΑ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΠΡΩΤΟΝ ΛΟΓΟΝ

248 M. 1 Οὐκ ἦν, ὡς ἔοικε, τὸ πάντας ἐθέλειν εὐεργετεῖν καὶ
τοῖς ἐπιτυχοῦσι τῶν ἀνθρώπων τὴν παρ' ἑαυτοῦ χάριν ἀνεξε-
τάστως προΐεσθαι κατὰ πάντα καλὸν καὶ τῆς τῶν πολλῶν
κατηγορίας ἐλεύθερον, οὐδὲ τὸ τοῖς ἀνίατα νοσοῦσι τὴν τῶν
φαρμάκων προσαπολλύειν παρασκευὴν ἐπὶ τῷ τῆς ὠφελείας
σκοπῷ φέρει τι τῆς σπουδῆς ἄξιον, ἢ τοῖς δεχομένοις τὸ
κέρδος ἢ τοῖς φιλοτιμουμένοις τὸν ἔπαινον. τοὐναντίον μὲν
οὖν καὶ τοῦ χείρονος πολλάκις ἀφορμὴ τὸ τοιοῦτον καθί-
2 σταται· οἵ τε γὰρ νοσώδεις καὶ ἤδη πρὸς θάνατον ἕτοι-
μοι τοῖς δραστικωτέροις τῶν φαρμάκων εὐκόλως προσδια-

VLBCT (AS initium non habent) Tit τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν γρηγορίου ἐπισκόπου νύσσης λόγος ἀντιρητικὸς κατὰ τοῦ δυσεβοῦς εὐνομίου εἰς τοὺς ἐκδοθέντας παρ' αὐτοῦ β λόγους μετὰ τὴν κοίμησιν τοῦ ἁγίου βασιλείου BT τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν γρηγορίου ἐπισκόπου νύσσης εἰς τοὺς ἐκδοθέντας παρὰ εὐνομίου δύο λόγους μετὰ τὴν κοίμησιν τοῦ μεγάλου βασιλείου ἀντιρρητικὸς εἰς τὸν πρότερον C τῶν ἐκδοθέντων παρὰ εὐνομίου δύο λόγων μετὰ τὴν κοίμησιν τοῦ ἁγίου βασιλείου ἀντιρρητικὸς εἰς πρῶτον τοῦ ἁγίου γρηγορίου ἐπισκόπου νύσης VL (εἰς τὸν πρότερον omissis verbis sequentibus L) τοῦ νύσσης πρὸς εὐνόμιον ἀντιρρητικὸς μετὰ τὴν κοίμησιν τοῦ ἁγίου βασιλείου S κατὰ τοῦ δυσσεβοῦς εὐνομίου ἤτοι βιβλίον α'. ἀντιρρητικὸς εἰς τὸν α' λόγον τῶν ἐκδοθέντων παρὰ εὐνομίου δύο λόγων μετὰ τὴν κοίμησιν τοῦ ἁγίου βασιλείου Patmensis monast S Joann (T) 46 (saec XII). inscriptiones sic non a Gregorio profectas esse apparet, de librorum ordine et numeris cf praefationem vol II praemissam 5 καὶ post εὐεργετεῖν om L 7 καλὸν libri: κόσμον v 8 τὸ ante τοῖς om. VL 9 πολλῶν ante φαρμάκων add BCT v ἐπὶ τῷ VL ἐπεὶ τῷ BCT: ἐπεὶ μὴ τῷ v 10 οὐ γὰρ ante φέρει add V (post σκοπῷ interpunxit) 14 δυσκόλως V

φθείρονται, καὶ οἱ θηριώδεις καὶ ἄλογοι, καθώς φησί που
τὸ εὐαγγέλιον, ἐν τῇ τῶν μαργαριτῶν ἀφειδίᾳ χείρους εὐερ-
γετούμενοι γίνονται. διό μοι δοκεῖ καλῶς ἔχειν, καθὼς ὁ
θεῖος προείρηκε λόγος, ἀποκρίνειν ἐν τῇ παροχῇ τῶν τιμίων
τὰ ἄτιμα, ὡς ἂν μὴ λυποίη τοῦ φιλοτιμουμένου τὴν ἀγαθό-
τητα ὁ καταπατήσας τὸν μαργαρίτην καὶ τῇ τῶν καλῶν
ἀναισθησίᾳ τὴν εὐεργεσίαν ὑβρίσας.
3 Ταῦτα δέ μοι λέγειν ἐπῆλθεν ἐνθυμηθέντι τόν τε
249 M. πᾶσιν ἀφειδῶς κοινωνοῦντα τῶν ἰδίων καλῶν, τὸν τοῦ θεοῦ
ἄνθρωπον λέγω, τὸ τῆς εὐσεβείας στόμα Βασίλειον, τὸν ἐν
τῇ περιουσίᾳ τῶν πνευματικῶν θησαυρῶν καὶ εἰς κακοτέχνους
ψυχὰς ἀνεξετάστως πολλάκις τὴν χάριν τῆς σοφίας ἐκχέοντα,
καὶ τὸν ἀγνώμονα πρὸς τοὺς ἀγαθόν τι ποιεῖν αὐτὸν ἐσπου-
4 δακότας Εὐνόμιον. οὗτος γὰρ τῷ ὑπερβάλλοντι τῆς κατὰ
ψυχὴν ἀρρωστίας, ἣν περὶ τὴν πίστιν ἠσθένησεν, ἐλεεινὸς
μὲν ἅπασιν ἔδοξε τοῖς τῆς ἐκκλησίας μετέχουσι (τίς γὰρ
οὕτως ἀσυμπαθής, ὡς μὴ οἰκτεῖραι τὸν ἀπολλύμενον;) ἐκεῖνον
δὲ μόνον πρὸς τὴν ἐγχείρησιν τῆς θεραπείας ἐκίνησε τὸν
μόνον ἐν τῷ περιττεύοντι τῆς φιλανθρωπίας καὶ τοῖς ἀμη-
χάνοις ἐπιτολμῶντα πρὸς ἴασιν, ὃς τῇ ἀπωλείᾳ τοῦ ἀνδρὸς
περιαλγήσας διὰ τὴν φυσικὴν αὐτοῦ πρὸς τοὺς ταλαιπωροῦντας
συμπάθειαν οἷόν τι πονηρῶν δηλητηρίων ἀλεξιφάρμακον τὸν
'Ανατρεπτικὸν τῆς αἱρέσεως λόγον ἐπόνησε, σκοπὸν ἔχων ἀνα-
σῶσαι πάλιν διὰ τούτων καὶ ἀποκαταστῆσαι τῇ ἐκκλησίᾳ
τὸν ἄνθρωπον.
5 Ὁ δὲ καθάπερ ὑπὸ φρενίτιδος παραπληγεὶς τὴν διά-
νοιαν ἀγριαίνει τῷ θεραπεύοντι καὶ πολεμεῖ καὶ μάχεται καὶ

2 Matth 7, 6 11 Basilii libros adversus Eunomium respicit 23 'Ανατρεπτικός est titulus librorum Basilii contra Eunomium.

VLBCTD 2 εὐαγγελικὸν v μαργάρων V 8 λέγειν ἐπῆλθεν VLCD: ἐπῆλθε λέγειν BT τε post τόν om V 12 πολλάκις om v 17 οἰκτεῖραι VLCD: οἰκτειρῆσαι BT οἰκτείρειν v 20 ἐπιτολμῶντα LBCTD ἐπιτολμῶντας (sed ς in fine eras) V: ἐπιτολμῶν v 23 ἐπόνησε VL: ἐποίησε BCTD v (cf p 26, 2 et 5) 26 παραπλαγεὶς V 27 ἀγριαίνει libri: ἀντιτείνει v a θεραπεύοντι incipit S

ἐχθρὸν νομίζει τὸν ἐκ τοῦ βαράθρου τῆς ἀσεβείας ἀναλαβεῖν βιαζόμενον. καὶ ταῦτα οὐχ ἁπλῶς οὑτωσὶ κατὰ τὸ συμβὰν ἐπὶ τῶν προστυχόντων παραληρεῖ, ἀλλ' ἔγγραφον στήλην τῆς μελαγχολίας ταύτης καθ' ἑαυτοῦ ἀνεστήσατο.
6 καὶ ἐν μακρῷ τῷ χρόνῳ σχολῆς ἐπιτυχὼν ὁπόσης ἐβούλετο, ὑπὲρ τὰ μεγάλα καὶ πολύσαρκα τῶν θηρίων ὤδινε λόγον ἐν παντὶ τῷ διὰ μέσου χρόνῳ καὶ βαρὺς ἦν ταῖς ἀπειλαῖς ἐν ἀπορρήτοις ἔτι διαπλάσσων τὸ κύημα, ὀψὲ δέ ποτε καὶ μόγις εἰς φῶς προήγαγεν ἀμβλωθρίδιόν τι καὶ ἀτελεσφόρητον γέν-
7 νημα. ὃ πάντες μὲν οἱ τῆς αὐτῆς συμμετασχόντες διαφθορᾶς τιθηνοῦνται καὶ θάλπουσιν, ἡμεῖς δὲ διὰ τὸν ἐκ τῆς προφητείας μακαρισμόν (Μακάριος γάρ, φησίν, ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν) ἐπειδὴ καὶ εἰς ἡμετέρας ἀφίκετο χεῖρας, κρατῆσαι τὸ νήπιον τοῦτο λόγιον καὶ ἐδαφίσαι πρὸς τὴν πέτραν ὡς ἕν τι τῶν Βαβυλωνίων τέκνων προεθυμήθημεν· ἡ πέτρα δὲ ἦν ὁ Χριστός, τουτέστι τῆς ἀληθείας ὁ λόγος. μόνον ἔλθοι καὶ ἐφ' ἡμᾶς ἡ τὸ ἀσθενὲς ἐνισχύουσα δύναμις διὰ τῶν εὐχῶν τοῦ ἐν ἀσθενείᾳ
8 τοῦ σώματος τὴν δύναμιν ἑαυτοῦ τελειώσαντος. εἰ μὲν οὖν ἔτι καὶ νῦν ἡ θεοειδὴς ἐκείνη καὶ ἁγία ψυχὴ διὰ σαρκὸς ἐφεώρα τὸν ἀνθρώπινον βίον, καὶ τὸ ὑψηλὸν στόμα κατὰ τὴν ἐξ ἀρχῆς ἀποκληρωθεῖσαν χάριν αὐτῷ τὴν ἄμαχον ἐκείνην ἠφίει φωνήν, τίς ἂν εἰς τοσοῦτον πεποιθήσεως ἦλθεν, ὥστε τι περὶ τῆς ὑποθέσεως ταύτης τολμῆσαι καὶ φθέγξασθαι, πάντα λόγον καὶ πᾶσαν ἠχὴν τῆς θείας ἐκείνης σάλπιγγος
9 ὑπερηχούσης; ἐπεὶ δὲ ὁ μὲν πρὸς θεὸν ὅλος ἀνέπτατο, πρότερον μὲν ἐν ὀλίγῳ τινὶ καὶ σκιοειδεῖ τῷ λειψάνῳ τοῦ

12 Ps 136, 9   16 I Cor 10, 4   25 Hebr 12, 19   26 haec paulo post Basilium defunctum scripta sunt

VLBCTS 1-2 ἀναλαβεῖν βιαζόμενον VBCTS v: ἀναβιβαζόμενον L   7 ἦν ἐν ταῖς VL   9-10 κύημα αὐτοῦ V   μετασχόντες CT   10-11 διαφορᾶς v   11 τῆς om S   13 σου om S   16 ἡ πέτρα δὲ VLS: ἡ δὲ πέτρα BCT v   17 καὶ ἐφ' ἡμᾶς VL: καὶ om BCTS v   Basilium spectat   20 ψυχὴ καὶ ἁγία S   21 ἐφεώρα BCTS: ἐφώρα VL ἐθεώρα v   24 φθέγξασθαι: εἰπεῖν V   26 ὑπερηχούσης primum η in rasura V

σώματος τῆς γῆς ἐφαπτόμενος, τῷ δὲ πλείονι συμμετεωροπορῶν τῷ θεῷ, νυνὶ δὲ καὶ τὴν σκιὰν ἐκείνην τοῦ σώματος προσαφεὶς καὶ καταλιπὼν τῷδε τῷ βίῳ, οἱ δὲ κηφῆνες περι-
252 M. βομβοῦσι τὰ κηρία τοῦ λόγου καὶ τὸ μέλι διαλυμαίνονται, μηδεὶς ἐγκαλείτω τόλμαν ἐμοὶ ὑπὲρ τοῦ σιγῶντος στόματος
10 διαναστάντι πρὸς ἄμυναν. οὐδὲ γὰρ ὑπὲρ τοὺς ἄλλους ἰσχύν τινα λόγων ἐμαυτῷ συνεγνωκὼς κατεδεξάμην τὸν πόνον· ἀλλ' ἀκριβῶς εἰδὼς εἴπερ τις ἕτερος, ὅτι χιλιάδες εὐθηνούντων κατὰ τὸ χάρισμα τῆς σοφίας ἐν τῇ ἐκκλησίᾳ τοῦ κυρίου πληθύνουσιν, ὅμως ἐπειδὴ πάντων μάλιστα προσήκειν ἐμοί φημι τοῦ μεταστάντος τὸν κλῆρον διά τε τοὺς γεγραμμένους καὶ τοὺς τῆς φύσεως νόμους, τούτου χάριν αὐτὸς πρὸ τῶν ἄλλων οἰκειοῦμαι τὴν κληρονομίαν τοῦ λόγου, τῶν μὲν εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ συντελούντων τοῖς ἐσχάτοις συναριθμούμενος, τοῦ δὲ ἀπερρωγότος τῆς ἐκκλησίας εἰς ἀντίπαλον τάξιν οὐκ ἀσθενέστερος· ἐν γὰρ τῷ ὑγιαίνοντι σώματι καὶ τὸ ἐλάχιστον μέρος διὰ τῆς τοῦ παντὸς συμπνοίας δυνατώτερον ἂν εἴη τοῦ διεφθορότος τε καὶ τετμημένου, κἂν τὸ μὲν πλέον, τὸ δ' ἔλαττον ᾖ.

11 Μηδεὶς δὲ μεγαλορρημονεῖν με διὰ τούτων οἰέσθω τῶν λόγων, ὡς ὑπὲρ τὴν προσοῦσαν δύναμιν ἐπὶ ματαίοις κομπάζοντα. οὐ γὰρ ἀπειροκάλως εἰς λόγων ἅμιλλαν ἢ ῥημάτων ἐπίδειξιν συγκαθεῖναι τῷ ἀνθρώπῳ πρὸς μειρακιώδη
12 τινὰ φιλοτιμίαν προάγομαι· ἐφ' ὧν γὰρ τὸ πλέον ἔχειν ἀνωφελὲς καὶ ἀνόνητον, ἑτοίμως ἐκχωροῦμεν τοῖς βουλομένοις τῆς νίκης. τουτονὶ δὲ καὶ ἄλλως μὲν „τρίβωνα λόγων" εἶναι στο-

26 Eur Bacch 717

VLBCTS 1 πλείονι: πλείω L   3-4 περιβομβοῦντες B   5 στόματος: σώματος C   7 ἐμαυτῷ: ἑαυτῷ BC   8 ἥπερ C   καὶ ante ἕτερος add V   9 τοῦ κυρίου VL: om BCTS v   12-13 πρὸ τῶν ἄλλων VLBCT πρὸς τ. ἄ. v: μᾶλλον τῶν ἄλλων S   18 τε ante καὶ om V v   συντετμημένου S   19 ᾖ: ἦν V   23 τἀνθρώπῳ BCTS de usu reflexivo verbi συγκαθεῖναι non dubito   24 προάγομαι BCTS v: προσάγομαι VL   τὸ ante ἀνωφελὲς add V   25 ἐκχωροῦμεν BCTS v: ἐγχωροῦμεν VL   τοῖς μὴ βουλομένοις V   25—26 τῆς νίκης pr om sed ead man in mg add L   26 εἰ ante τουτονὶ add V   τοῦτον· εἰ L

χάζομαι, πρὸς αὐτὴν βλέπων τὴν περὶ τὸ δόγμα τριβήν, δια-
φερόντως δὲ περὶ τὸν παρόντα πεπονηκέναι λόγον, τεκμαιρό-
μενος ἔκ τε τοῦ προσαναλῶσθαι τῇ λογογραφίᾳ ταύτῃ τῆς
ζωῆς τοῦ συγγραφέως οὐκ ἐλάχιστον μέρος καὶ ἐκ τοῦ κατὰ
πᾶσαν ὑπερβολὴν τοὺς ἐραστὰς αὐτοῦ τοῖς πεπονημένοις
13 ἀγάλλεσθαι. καὶ οὐδὲν ἀπεικὸς τὸν ἐν τοσαύταις ἐτῶν ὀλυμ-
πιάσι πονήσαντα πλέον τι τῶν αὐτόθεν ἐπιβαλόντων παρα-
σκευάσασθαι. δείκνυσι δὲ μᾶλλον τὴν τοιαύτην αὐτοῦ περὶ
τὸν λόγον κατατριβὴν ἢ περὶ τὰ σχήματα κατὰ τὴν τῶν
ῥημάτων συνθήκην ἀπειροκαλία καὶ τὸ περιττόν τε καὶ μά-
14 ταιον τῆς περὶ τὰ τοιαῦτα σπουδῆς. πολὺν γάρ τινα συρ-
φετὸν λεξειδίων ἐξ ὑπογυίου παρασκευῆς ἔκ τινων βιβλίων
ἐρανισάμενος ἐπ' ὀλίγοις τοῖς νοηθεῖσιν ἀμέτρητόν τινα σω-
ρείαν ῥημάτων φιλοπόνως συμφορήσας τὸν „πολύκμητον"
τοῦτον ἐξειργάσατο πόνον, ὃν ἐπαινοῦσι μὲν καὶ τεθήπασιν
οἱ μαθηταὶ τῆς ἀπάτης, ἐκ τῆς περὶ τὰ καίρια τάχα πηρώ-
σεως συναφῃρημένοι παντὸς καλοῦ τε καὶ μὴ τοιούτου διά-
κρισιν, γελῶσι δὲ καὶ ἀντ' οὐδενὸς εἶναι κρίνουσιν οἷς τὸ
διορατικὸν τῆς καρδίας τῷ ῥύπῳ τῆς ἀπιστίας οὐκ ἐπημαύ-
15 ρωται. τίς γὰρ οὐκ ἂν εἰκότως γελάσειεν ὁρῶν τὴν μὲν
ὑπόθεσιν τῆς σπουδῆς ὑπὲρ τῶν τῆς ἀληθείας δογμάτων
ἐπηγγελμένην, αὐτὴν δὲ τὴν σπουδὴν εἰς ῥημάτων τε καὶ
σχημάτων ἀπειροκαλίαν ἠσχολημένην ἐπ' οὐδενὶ κατορθώ-
ματι; τί γὰρ ἂν καὶ μᾶλλον συναγωνίσαιτο πρὸς ἔλεγχον

5 Isocratis Panegyricum respicit, quem decem vel quindecim annos ille foverat cf Timaeum ap Anon de sublim IV 2 Dionys Hal de comp verb 25 (208 R) [Plut] vitae X orator 837 F 12 atticistarum lexica intellege 14 Homerice

VLBCTS 1 διατριβήν V) 2 πεπονηκέναι VLS v: πεποιηκέναι BCT (cf p 23, 23 et 26, 7 3 προαναλῶσθαι B de augmento cf Moeris s v ἀνηλωμένα 4 γραφέως T καὶ εκ om L 5 αὐτῶ B 6 καὶ ante οὐδὲν om BCT τοσαύταις VLS v: τοσούτοις BCT 7 ἐπιβαλλόντων BCTS 9 τῶν λόγων v 10 ῥημάτων VLBCTS: ῥηθέντων v 13-14 σωριὰν VL 14 χρημάτων T 15 μὲν ante καὶ om V 24 μᾶλλον abundat, sed non abicere licet; συναγωνίσαιτο scilicet αὐτῷ

μὲν τῶν, ὡς αὐτὸς οἴεται, κακῶς εἰρημένων, σύστασιν δὲ
τῆς ἀληθείας τῶν ζητουμένων ἐπίνοιά τις τῶν ἐν τῷ λόγῳ
σχημάτων ἀλλόκοτος καὶ σύνταξις καινοπρεπής τε καὶ ἰδιά-
ζουσα καὶ ὕβρις σπουδαζομένη καὶ σπουδῇ πάλιν
ὑβριζομένη, κατ' οὐδένα ζῆλον τῶν προειληφότων ἐκπονη-
16 θεῖσα; οὐ γὰρ ἂν ἔχοι τις ἐξευρεῖν πρὸς τίνα βλέπων τῶν
253 M. ἐπὶ λόγῳ γνωριζομένων ἑαυτὸν εἰς τοῦτο προήγαγεν, ὥσπερ
τις τῶν ἐπὶ σκηνῆς θαυματοποιούντων διὰ παραλλήλων καὶ
ἰσοκώλων ὁμοιοφώνων τε καὶ ὁμοιοκαταλήκτων ῥημάτων οἷόν
τισι κροτάλοις τῷ τῶν λεξειδίων ῥυθμῷ διακυμβαλίζων τὸν
17 λόγον. τοιαῦτα γάρ ἐστι μετὰ πολλῶν ἑτέρων καὶ τὰ ἐν
προοιμίοις αὐτοῦ τερετίσματα, τὰ βλακώδη ταῦτα καὶ παρατε-
θρυμμένα σωτάδεια, ἅ μοι δοκεῖ τάχα μηδὲ ἠρεμαίῳ διεξ-
ιέναι τῷ σχήματι, ἀλλ' ὑποκροτῶν τῷ ποδὶ καὶ ἐπιψοφῶν
τοῖς δακτύλοις λιγυρῶς ἅμα πρὸς τὸν ῥυθμὸν ἐπιφθέγγεσθαι
καὶ λέγειν τὸ καὶ μηδὲν ἔτι δεήσειν μήτε λόγων
ἑτέρων μήτε πόνων δευτέρων.
18 Ἐν τούτοις τοίνυν καὶ τοῖς τοιούτοις τὸ πλέον ἔχειν
αὐτὸν συγχωρήσας καὶ κατὰ ἐξουσίαν ἐμφορεῖσθαι τῆς νίκης
πᾶσαν τὴν περὶ ταῦτα σπουδὴν ἑκὼν ὑπερβήσομαι ὡς μόνοις
τοῖς πρὸς φιλοτιμίαν ὁρῶσι προσήκουσαν, εἴ γέ τινα φέρει
φιλοτιμίαν ὅλως τοῖς τοιούτοις τῶν λόγων ἐνδιαθρύπτεσθαι.
ἐπεὶ καὶ ὁ γνήσιος ὑπηρέτης τοῦ λόγου Βασίλειος μόνῃ τῇ
ἀληθείᾳ κοσμούμενος αὐτός τε ταῖς τοιαύταις ποικιλίαις

6 illustrium orationis comptae et ornatae exemplorum imitationem intellege 12-13 μετὰ πεπλασμένης ὑποκρίσεως sotadei versus recitabantur cf Aristid c XIII (p 21, 23 Jahn) 15-16 similia Asianae i. e. numerosae dictionis iurgia contra Epicurum iacit Theo progymn II 10 tom I p 169 Walz cf Usener, Epicurea p 135 fragm 105

VLBCTS 1 κακῶς ante εἰρημένων add VLS: om BCT v 6 ἀνεξευρεῖν BT 7 εἰς τοῦτο VLS v: εἰς τοσοῦτον BCT 9 ὁμοιοκαταλήκτων BCTS v: ὁμοιολήκτων VL 13 σωτάδεια S v: σωτάδια VLBCT 15 πρὸς om BT 16 post τὸ interpungunt TS δεήσειν BCTS v: δεήσῃ V δεήσει L 19 ἐμφορεῖσθαι τῆς νίκης: ἔχειν ἐμφορεῖσθαι νίκης V 21 πρὸς ante φιλοτιμίαν om V 23 Βασίλειος VLBCTS: Παῦλος v

αἰσχρὸν ᾤετο κατασχηματίζειν τὸν λόγον καὶ ἡμᾶς πρὸς τὴν
ἀλήθειαν μόνην ἀφορᾶν ἐξεπαίδευσε, καλῶς καὶ προσηκόντως
19 τοῦτο νομοθετῶν. τί γὰρ χρὴ τὴν κομμωτικὴν περιεργίαν
εἰς τὴν τοῦ νόθου καὶ σεσοφισμένου κάλλους συντέλειαν ἐπι-
σύρεσθαι τὸν τῷ κόσμῳ τῆς ἀληθείας ὡραϊζόμενον; οἷς μὲν
γὰρ ἄπεστιν ἡ ἀλήθεια, χρήσιμον ἴσως διὰ τῆς τῶν ῥημά-
των ἡδονῆς ὑποφαρμάττειν τὸ ψεῦδος, οἷόν τι φυκίον τὴν
τοιαύτην περιεργίαν ἐνδιατρίβοντας τῷ χαρακτῆρι τοῦ λόγου·
οὕτω γὰρ ἂν πιθανή τε καὶ εὐπαράδεκτος ἡ ἀπάτη τοῖς
ἀκούουσι γένοιτο, κατεγλωττισμένη καὶ περιηνθισμένη ταῖς
τοιαύταις τοῦ λόγου κομψείαις· ὅταν δὲ καθαρὰ καὶ ἀμιγὴς
παντὸς δολεροῦ προκαλύμματος σπουδάζηταί τισιν ἡ ἀλή-
θεια, οἴκοθεν ἐπαστράπτει τοῖς λεγομένοις τὸ κάλλος.
20 Μέλλων δὲ ἤδη τῆς ἐξετάσεως ἅπτεσθαι τῶν εἰρη-
μένων ἀμηχανεῖν μοι δοκῶ καθάπερ ἐν νηνεμίᾳ τις γεωργός,
οὐκ ἔχων ὅπως διακρίναιμι τὸν καρπὸν καὶ τὸ ἄχυρον· το-
σοῦτον ἐν τῷ θημῶνι τούτῳ τῶν λόγων τὸ περιττόν τε καὶ
ἀχυρῶδές ἐστιν, ὡς ἐγγὺς εἶναι τοῦ μηδ' ὅλως νομίζειν
ἐν πᾶσι τοῖς εἰρημένοις ὑπ' αὐτοῦ πραγμάτων εἶναί τινα καὶ
21 νοημάτων ὑπόστασιν. τὸ γὰρ πᾶσιν ἐφεξῆς τοῖς γεγραμ-
μένοις ἐπεξιέναι μάταιόν τε ἅμα πρὸς τὴν σπουδὴν καὶ ἐπί-
πονον καὶ οὐδὲ συμβαῖνον κρίνω τῷ ἡμετέρῳ σκοπῷ· οὔτε
γὰρ τοσοῦτον περίεστιν ἡμῖν τῆς σχολῆς, <ὡς> ἔχειν κατ'
ἐξουσίαν ἐνευκαιρεῖν τοῖς ματαίοις, καὶ προσήκειν οἶμαι τὸν
δόκιμον ἐργάτην μὴ περὶ τὰ μάταια κατατρίβειν τὴν δύ-
ναμιν, ἀλλ' ἐν οἷς ὁ πόνος τὸν καρπὸν ὁμολογούμενον ἔχει.
22 Ὅσα τοίνυν εὐθὺς ἐν προοιμίοις ἀποσεμνύνων ἑαυτὸν
ὡς ἀληθείας προστάτην τῷ τῆς ἀπιστίας ὀνείδει τῶν

VLBCTD 1 κατασχηματίζειν ᾤετο V 2 καὶ ante μόνην add VL ἀφορᾶν: ἐφορᾶν V 3 προεργίαν V sed προ in ras 7 φύκιον CT 8 a τῷ χαρακτῆρι deficit S usque ad 29, 17 10 κατεγλωττισμένη VLBCD: κατευγλωττισμένη T κατεγνωρισμένη v 11 τοιαύταις om BCTD 12 προκαλύμματος δολεροῦ BCT 13 ἐπαστράπη L 15 δοκῶ: δοκεῖ V 18 μὴ δὲ ὅλως VL 19-20 καὶ ante νοημάτων om v 21-22 καὶ πρὸς τῇ σπουδῇ καὶ ἐπίπονον V 23 τῆς ante σχολῆς om V ὡς addidi 26 ὁμολογούμενον om V

ἀντιτεταγμένων καθάπτεται λέγων ἔμμονόν τι καὶ δυσ-
256 M. έκνιπτον αὐτοῖς ἐντετηκέναι τὸ μῖσος, καὶ ὡς
ἐπισοβαρεύεται τοῖς ἔναγχος ἐγνωσμένοις αὐτῷ, τίνα μὲν
τὰ γνωσθέντα μὴ προστιθείς, κρίσιν δέ τινα τῶν ἀμφισβη-
τησίμων ἐν αὐτοῖς γεγενῆσθαι λέγων καί τινα δίκην ἔννομον
τὴν τοῦ σωφρονεῖν ἀνάγκην τοῖς οὐκ ἐν δίκῃ θρασυνομένοις
ἐπάγουσαν, λέγων οὑτωσὶ τῇ ἰδίᾳ φωνῇ κατὰ τὴν Λύδιον
ἁρμονίαν ἐκείνην· καὶ τῶν οὐκ ἐν δίκῃ θρασυνο-
μένων ἐννόμῳ δίκῃ σωφρονεῖν ἠναγκασμένων,
ἣν καὶ ἀπόρρησιν τῶν ἐπαναστάντων ὠνόμασεν
οὐκ οἶδ' ὅ τι νοῶν τὴν ἀπόρρησιν, καὶ πάντα τὰ τοιαῦτα
ὡς μάταιον ὄχλον καὶ εἰς οὐδὲν φέροντα χρήσιμον παρα-
23 δραμοῦμαι τῷ λόγῳ· εἰ δέ τινα τοῦ αἱρετικοῦ φρονή-
ματος συνηγορίαν πεποίηται, πρὸς τοῦτό μοι καλῶς ἔχειν
ἡγοῦμαι τὴν πλείω ποιεῖσθαι σπουδήν. οὕτω γὰρ καὶ ὁ τῶν
θείων δογμάτων ὑποφήτης ἐν τῷ καθ' ἑαυτὸν λόγῳ πεποίηκεν,
ὃς πολλῶν ὄντων τῶν δυναμένων εἰς πλάτος ἐκτεῖναι τὸν
λόγον διὰ τῶν ἀναγκαίων προϊὼν μόνων συντέμνει τὸ πλῆθος
τῆς ὑποθέσεως, τὰ κεφάλαια τῆς βλασφημίας ἐκ πάντων
τῶν εἰρημένων ἐν τῇ βίβλῳ τῆς ἀσεβείας ἀναλεξάμενος.
24 Εἰ δέ τις ἐπιζητεῖ κατὰ τὴν τοῦ λόγου τάξιν ἀκο-
λούθως ἀντιταχθῆναι καὶ τὸν ἡμέτερον, εἰπάτω τὸ κέρδος.
τί πλέον γενήσεται τοῖς ἀκούουσιν, εἰ τὸν γρῖφον καὶ τὸ
αἴνιγμα τῆς ἐπιγραφῆς διαλύσαιμι, ὃ κατὰ τὴν τραγικὴν
σφίγγα εὐθὺς ἡμῖν ἐν προοιμίοις προτείνεται, τὴν καινὴν
ἐκείνην Ὑπὲρ τῆς ἀπολογίας ἀπολογίαν καὶ τὸν

16 ὑποφήτης] Basilius: cf quae de sua ipsius via ac ratione ille fatetur c Eun I P G 29, 501 B

VLBCT(S)(D) 6 τοῖς post ἀνάγκην in rasura V θρασυνομένοις—8 δίκῃ om D 7-8 λύδιον ἁρμονίαν om T λύδι . . . ἐκείνην C decem litteris omissis, lacuna exstabat in communi exemplari codicum C et T 9 ἐννόμῳ δίκῃ BCTD v: ἐν νόμῳ δίκης VL 12 ὡς: εἰς V 13 εἰ δέ τινα postea erasum L 15 ἡγοῦμαι om BCT ποιήσασθαι τὴν πλείω σπουδήν VL 17 τῶν ante δυναμένων add VLBCTD (evanuit in S): om v abhinc rursus exstat S 18 μόνων VBCTS: μόνον L νόμων v 22 ἀντιταχθῆναι VLBCTS: ἀντεισαχθῆναι v τὸ ἡμέτερον VLS 23 τὸ γρίφον S

πολὺν ἐπὶ τούτῳ λῆρον καὶ τὴν μακρὰν τοῦ ὀνείρου κατα-
25 λέγων διήγησιν; οἶμαι γὰρ ἱκανῶς ἀποκναίειν τοὺς ἐν-
τυγχάνοντας καὶ ἐν μόνῳ τῷ λόγῳ τοῦ Εὐνομίου σῳζόμενον
τό τε γλίσχρον καὶ μάταιον τῆς ἐν τῇ ἐπιγραφῇ τοῦ λόγου
καινότητος καὶ τὸ φορτικὸν ἅμα καὶ περίαυτον τῶν οἰκείων
διηγημάτων, οἵους πόνους καὶ ἄθλους ἑαυτοῦ διεξέρ-
χεται διὰ πάσης γῆς τε καὶ θαλάττης πεφοιτη-
κότας καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ κηρυσσο-
26 μένους. εἰ δὲ ταῦτα πάλιν γράφοιτο καὶ μετὰ προσ-
θήκης, ὡς εἰκός, τῶν τῆς ψευδολογίας ἐλέγχων πλεονα-
ζόντων τὸν λόγον, τίς οὕτως στερρὸς φανεῖται καὶ ἀδαμάν-
27 τινος, ὡς μὴ προσναυτιᾶσαι τῇ ἀκαιρίᾳ τοῦ πόνου; εἰ δὲ
καὶ τὴν ἔνθεον ἐκείνην ἱστορίαν ἐπὶ λέξεως γράφοιμι, τίς
ὁ κατὰ τὸν Εὔξεινον Πόντον διὰ τῆς ὁμωνυ-
μίας αὐτὸν προλυπήσας, οἷος ὁ βίος, τίνες αἱ σπου-
δαί, πῶς διεφέρετο πρὸς τὸν Ἀρμένιον διὰ τὴν
ὁμοτροπίαν τοῦ ἤθους, εἶτα ἐπὶ τίσι συνέθεντό
τε μετ' ἀλλήλων καὶ κατηλλάγησαν, ὡς ἐπὶ
τὸν ἄμαχον ἐκεῖνον καὶ τῇ δόξῃ πολὺν Ἀέτιον,
τὸν διδάσκαλον αὐτοῦ, συμφρονῆσαι (τούτοις γὰρ αὐτὸν
ἀποσεμνύνει τοῖς ἐπαίνοις), εἶτα τίς ἡ καθ' αὐτοῦ μη-
χανὴ καὶ ἐπίνοια, δι' ἧς εἰς κρίσιν τὸν ἄνδρα κατ-

5 περίαυτον] cf περιαυτίζεσθαι, περιαυτολογεῖν „nimia commemoratio sui" 14 sq ὁ κατὰ τὸν Εὔξεινον Πόντον Basilius Ancyranus (cf Philostorg IV 8 Bidez) quem nominat p 41, 8, ὁμωνυμίαν vitat cum Basilio Caesareensi cf Philostorg IV 12 Βασίλειος ἕτερος συνασπίζων scil Basilio Ancyrano et Eustathio 16 ὁ Ἀρμένιος idem est Eustathius Sebastenus de quo cf 41, 8-9 et Philostorg l c 19 de Aetio cf infra § 37 sq 22 τὸν ἄνδρα] Eunomium cf Basil c Eunom I PG 29, 501 B

VLBCTS 1 πολὺν: πλατὺν S 5 περίαυτον BCTS περὶ αὑτὸν VL: περὶ αὑτῶν v 7 τε post γῆς add VL: om BCTS v 12 προσναυτιᾶσαι VLS: προσναυτιάσαι BCT v: πόρου L 15 τίνες: τίνος B 16-17 διὰ τὴν ὁμοτροπίαν VLS v: τῇ ὁμοτροπίᾳ BCT 17-18 συνέθεντό με V 18 μετ' ἀλλήλων coll post κατηλλάγησαν S 19 πολὺν τῇ δόξῃ ἀέτιον L 21 καθ' αὑτοῦ: κατ' αὐτοῦ V

έστησαν, ἔγκλημα ποιούμενοι τὸ εὐδοκιμεῖν
28 αὐτὸν καὶ ὑπὲρ τοὺς ἄλλους εἶναι· εἰ ταῦτα λέγοιμι
πάντα, ἆρ' οὐχὶ καθάπερ οἱ τῶν ὀφθαλμῶν τὴν νόσον ἐκ
τῆς πολλῆς ὁμιλίας τῶν προνενοσηκότων ἐφ' ἑαυτοὺς ἕλκοντες,
οὕτω καὶ αὐτὸς συμμετεσχηκέναι δόξω τοῦ περὶ τὴν ματαίαν
σπουδὴν ἀρρωστήματος, ἑπόμενος κατ' ἴχνος τῇ φλυαρίᾳ καὶ
τὰ καθ' ἕκαστον ἐξετάζων, τίνας φησὶ δούλους εἰς ἐλευ-
θερίαν ἀφιεμένους καὶ τίνα μυουμένων σχέσιν
257 M. καὶ ἀργυρωνήτων τάξιν, καὶ τί βούλονται Μόντιος
καὶ Γάλλος καὶ Δομετιανὸς ἐπεισιόντες τῷ λόγῳ
καὶ μάρτυρες ψευδεῖς καὶ βασιλεὺς ὀργιζόμενος
29 καὶ εἰς ὑπερορίαν τινὲς μεθιστάμενοι; τί γὰρ ἂν
καὶ γένοιτο τούτων ματαιότερον τῶν διηγημάτων τῷ γε μὴ
ψιλὴν ἱστορίαν διηγήσασθαι βουλομένῳ, ἀλλὰ διελέγξαι τὸν
ἀντειπόντα τῷ τῆς αἱρέσεως δόγματι; πολὺ δὲ μᾶλλον τὰ
ἐπὶ τούτοις διὰ τῆς ἱστορίας δηλούμενα πλείονα τὴν ἀχρη-
στίαν ἔχει· οἶμαι γὰρ μηδ' ἂν αὐτὸν τὸν συγγραφέα διελ-
θεῖν ἀνυστάκτως, κἂν φυσικῇ τινι στοργῇ κρατῶνται πρὸς
τοὺς ἐξ αὐτῶν οἱ πατέρες. δηλοῦται γὰρ ἐκεῖ δῆθεν τὰ πε-
πραγμένα καὶ τὰ πάθη διὰ τοῦ λόγου εἰς ὕψος αἴρεται καὶ
εἰς τραγῳδίας ὄγκον ἡ ἱστορία μετασκευάζεται.
30 Ἀλλ' ἵνα μὴ καὶ αὐτῷ τῷ παραιτεῖσθαι πλέον τοῦ
δέοντος ἐμβραδύνω τοῖς ἀνονήτοις <καὶ> καθάπερ ὁ διὰ
βορβόρου τινὸς διελαύνων τὸν ἵππον καὶ τῆς ἐκεῖθεν ἀηδίας
καταπιμπλάμενος, οὕτω κἀγὼ διὰ τῆς μνήμης τῶν γεγραμ-
μένων διεξάγων τὸν λόγον καταμολύνω τὸ σύγγραμμα, πρέ-
πειν ἡγοῦμαι πάντα τὸν τοιοῦτον συρφετόν, ὅπως ἂν ᾖ δυ-

9 de Montio Gallo Domitiano cf § 47

VLBCTS 4 τῆς πολλῆς ὁμιλίας BCTS v: τῶν πολλῶν ὁμιλίας V τῆς πολλῶν ὁμιλίας L 8 καὶ ante τίνα om v 18 κρατῶνται BCTS v: κρατοῦνται VL 19 αὑτῶν scripsi: αὐτῶν 21 μετασκευάζεται VLS: παρασκευάζεται BCT v 22 πλεῖον L ω corr, πλείων BCTS 23 καὶ ante καθάπερ add v ὁ: οἱ V sed erasum 25 καταπιμλάμενος BC(om μ prius) TS v (cf Plut Brut XLVII init): ἀναπιμπλάμενος VL (sed cf 26 καταμολύνω) verba inde ab οὕτω usque ad 26 σύγγραμμα om V

νατόν, ὑψηλῷ καὶ ταχεῖ τῷ ἅλματι τοῦ λόγου διαπηδήσας (ἱκανὸν γὰρ κέρδος ἡ ταχεῖα τῶν ἀηδῶν ἀναχώρησις) πρὸς τὸ πέρας τῆς ἱστορίας ἐπισπεῦσαι τὸν λόγον, ὡς ἂν μὴ καὶ τῷ ἐμῷ βιβλίῳ τὰ τῆς πικρίας αὐτῶν ἐνστάζοιτο ῥήματα.

31 μόνῃ γὰρ πρεπέτω τῇ Εὐνομίου φωνῇ τὰ τοιαῦτα λέγειν περὶ ἱερέων θεοῦ, ὑπασπιστὰς καὶ ῥαβδούχους καὶ δορυφόρους καταπλήσσοντας, διερευνωμένους, λαθεῖν οὐκ ἐπιτρέποντας τὸν κρυπτόμενον, καὶ ὅσα ἄλλα κατὰ πολιᾶς ἱερέων οὐκ αἰσχύνεται γράφων.

32 ὥσπερ γὰρ ἐν τοῖς παιδευτηρίοις τῶν ἔξωθεν λόγων εἰς γυμνασίαν τῆς κατὰ τὴν γλῶσσαν καὶ τὸν νοῦν ἑτοιμότητος ἀφορμαὶ καταφορᾶς τοῖς μειρακίοις προβάλλονται κατά τινος ἀορίστου προσώπου, οὕτω κατ' εὐθεῖαν ἐπεμβαίνει τοῖς μνημονευθεῖσιν ὁ συγγραφεὺς καὶ τὴν κακήγορον αὐτοῖς ἐπαφίησι γλῶσσαν καὶ τὰ ἔργα τῆς πονηρίας σιγήσας ψιλὴν αὐτῶν κατασκεδάζει τὴν ἑωλοκρασίαν τῶν ὕβρεων, πᾶν ὄνειδος κατ' αὐτῶν συμπλάσσων καὶ συντιθεὶς ἐν ταῖς λοιδορίαις τὰ ἄμικτα, φαιοτρίβωνά τινα στρατιώτην, καὶ ἅγιον καὶ ἐξάγιστον, ὑπὸ νηστείας τε

16 Gregorius Atticos oratores imitatur cf Demosth de cor 50 qui de Aeschine dicit ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας (cf Harpocr s v ἑωλοκρασία), locus ea aetate decantatus cf Luc Nigr 3, accuratius Symp 3, Plut conv VII sap 2 fin 18 φαιοτρίβων] errant editores qui Gregorium proverbio nescio quo φακὸν κόπτειν uti censent. φαιοτρίβωνας intellege clericos, qui accepta a philosophis graecis τριβώνια in satira totiens elusa induerant cf schol ad Greg Naz P G tom 36 p 906 Diels Doxographi graeci p 254-255

VLBCTS 1 διαπηδήσας VLBCS: διαπηδῆσαι T v sententiam trans 1 διαπηδήσας usque ad 4 ῥήματα produxi 4 ἐνστάζοιτο ῥήματα BCT: ἐνστίζοιτο μόρια VS ἐστίζοιτο ῥήματα L 5 τὰ ante τοιαῦτα om VLS v 13 ἐπεμβαίνει correxi collato Eur Hippol 668 M.: ὑπεμβαίνει BT v ὑπομένει VL ἐπιμένει S 14 κακήγορον VL v: κατήγορον BCTS 16 αὐτῶν correxi: αὐτοῖς LBCTS v ἑαυτοῖς V κατασκεδάζει BCS (cf infra p 49, 25): κατασκευάζει VLT v 18 φαιοτρίβωνά τινα στρατιώτην BCTS: φαιοτρίβων ἄτινα στρ. L eraso spiritu super ά, φακοτριβῶν ἅτινα στρατιώτην V φακοτρίβωνα στρατιώτην v 19 καὶ alt om v τε VLS: om BCT δὲ v

ὠχριῶντα καὶ ὑπὸ πικρίας φονῶντα, καὶ πολλὴν ἄλλην τοιαύτην βωμολοχίαν. <καὶ> καθάπερ ἐν ταῖς ἔξω πομπαῖς διαβέβληταί τις ὡς δι' ὑπερβολὴν ἀναιδείας ἄνευ προσωπείου κωμάζων, οὕτως οὐδενὶ παραπετάσματι τὴν πικρίαν ἑαυτοῦ συσκιάσας γυμνῇ καὶ ἀπηρυθριασμένῃ φωνῇ

33 τὰ ἐκ τῆς ἁμάξης προφέρει· εἶτα ὁμολογεῖ ἐφ' οἷς παροξύνεται, ὅτι σπουδὴν ἐποιοῦντο, φησίν, ἐκεῖνοι μὴ πολλοὺς τῇ ἀπάτῃ τούτων συνδιαστρέφεσθαι. καὶ διὰ τοῦτο χαλεπαίνει, ἐπὶ τῷ μὴ πᾶσιν οἷς ἐβούλοντο τόποις κατ' ἐξουσίαν ἐνδιατρίβειν, ἀλλὰ γενέσθαι κατὰ τὸ πρόσταγμα τοῦ τότε κρατοῦντος Φρυγίαν αὐτοῖς ἐνδιαίτημα, ὡς ἂν μὴ πολλοὶ βλάπτοιντο τῇ πονηρᾷ συνουσίᾳ, καὶ ὑπὲρ τούτων
260 M. ἀγανακτῶν ἐκεῖνα γράφει· καὶ ἡ πολλὴ βαρύτης τῶν ἄθλων καὶ τὰ δυσβάστακτα πάθη καὶ ἡ γενναία τῶν παθημάτων ὑπομονή, τὸ Φρυγίαν αὐτοὺς ἀντὶ τῆς ἐνεγκούσης ἀλλάξασθαι.

34 Πάνυ γε. οὐ γὰρ ὄνειδος ἦν τῷ Ὀλτισηριώτῃ τὰ συμβεβηκότα καὶ τοῦ πατρικοῦ φρονήματος καθαίρεσιν φέροντα καὶ τὴν τοῦ γένους ἀξίαν ὑβρίζοντα, ὡς μὴ ἂν ἑλέσθαι ταῦτα, ἐφ' οἷς οὗτος νῦν χαλεπαίνει, τὸν ὀνομαστὸν ἐκεῖνον καὶ διώνυμον Πρίσκον, τὸν τοῦ πατρὸς τούτου πατέρα, ὅθεν τούτῳ τὰ λαμπρὰ καὶ περίβλεπτα τοῦ γένους ἐστὶ διηγήματα, ὁ μυλὼν καὶ τὸ σκύτος καὶ τὸ οἰκετικὸν σι-

3 πομπαῖς] cf Demosth de cor 11 et 124 3-4 ἄνευ προσωπείου κωμάζων] cf Demosth de falsa legat 287 6 ἁμάξης] cf Demosth de cor 122 10 autumno anni 358 sub Constantio Augusto hoc accidisse videtur 11 Φρυγίαν] Eunomius oppidum Midaeum, Aetius Pepuzam exsilium nanciscitur (cf Philostorg IV 8 p 62, 16 Bidez) 17 Oltiseris vicus ignotus in Galatiae et Cappadociae confinio situs, Eunomii origo 21 διώνυμον] more Romano

VLBCTS 2 ἄλλην VL: om BCTS v post βωμολοχίαν sententiam finivi et καὶ supplevi 4 κομάζων V κομπάζων C 5 τῇ ante φωνῇ add VL 6 προφέρει LBCTS: προσφέρει V v 7 μὴ in lac om S 8 συνδιατρέφεσθαι V ante τ rasura unius litterae 9 χαλεπαίνειν V ἐπὶ τὸ VL 17 Ὀλτισηρίῳ v 19 μμὴ ἀνελέσθαι L 20 οὗτος VLBCTS: om v 22 τούτου VL 23 μύλων S

35 τηρέσιον καὶ ἡ λοιπὴ τοῦ Χαναὰν κληρονομία, καὶ ἐπὶ
τούτοις ἔδει κακίζεσθαι τοὺς τὴν μετάστασιν αὐτοῖς
προξενήσαντας; — συντίθεμαι τούτῳ κἀγώ· ὄντως ἄξιοι
τῆς παρ' αὐτῶν μέμψεως οἱ τούτων αὐτοῖς αἴτιοι γεγονότες,
εἴπερ ὅλως εἰσί τινες ἢ γεγόνασιν, ὅτι τῶν προβεβιω-
μένων ἡ γνῶσις διὰ τούτων συγκαλυφθεῖσα παρ-
αιρεῖται τῶν σεμνοτέρων τὴν μνήμην καὶ οὐκ ἐᾷ
πολυπραγμονεῖσθαι τὰ τῶν παρόντων πρεσβύτερα, ὁποίας
ἑκάτερος τὸ κατ' ἀρχὰς ἀξίας ὡρμήθησαν, ποίαν ἐκ πατέ-
ρων ἔχοντες ἀκολουθίαν τοῦ βίου, τί μικρὸν ἢ μεῖζον
τῶν ἐλευθέροις πρεπόντων ἑαυτοῖς συνεγνωκότες ἔπειτα
τοσοῦτον ἐγνωρίσθησάν τε καὶ ὠνομάσθησαν,
ὥστε καὶ βασιλεῦσι γενέσθαι γνώριμοι, καθὼς
μεγαλαυχεῖται νῦν τῷ συγγράμματι, καὶ πάσας τὰς ὑπερ-
εχούσας ἀρχὰς ἐπ' αὐτοῖς συγκινεῖσθαι καὶ
ἐπὶ πολὺ τῆς οἰκουμένης τὰ καθ' ἑαυτοὺς δια-
φέρεσθαι.
36 Ἆρ' οὐχὶ τῷ ὄντι τὰ μέγιστα διὰ τούτων ἠδίκηται ἢ
αὐτὸς οὗτος ὁ λογογράφος ἢ ὁ προστάτης αὐτοῦ καὶ τοῦ
ὁμοίου βίου καθηγητὴς Ἀέτιος; ὅν μοι δοκεῖ μὴ τοσοῦτον
πρὸς τὴν τῶν δογμάτων ἀπάτην βλέπων ἐζηλωκέναι, πολὺ

1 Χ. κληρον.] Num 34, 2 3 interrogative distinxi, nempe Eunomius maledixerat in libello suo τοῖς τὴν μετάστασιν (τῆς τύχης) αὐτοῖς προξενήσασιν (h. e. persecutoribus); hanc accusationem Gregorius in Eunomium ipsum vertit: ὄντως ἄξιοι τῆς παρ' αὐτῶν (Aetii et Eunomii) μέμψεως οἱ τούτων αὐτοῖς αἴτιοι γεγονότες, εἴπερ ὅλως εἰσί τινες ἢ γεγόνασιν; haec omnia inde a 33, 17 usque ad p 34, 17 ironice dicuntur, nam, ut § 36 sq ostenditur, melius erat de Eunomii vita τὰ τῶν παρόντων πρεσβύτερα tacere. de calumniarum genere tunc sane tritissimo nihil addam 12 cf § 47 18-20 ironice interrogat

VLBCTS 2 μετάστασιν VLCS v: μετανάστασιν BT 3 τοῦτο B 5-6 βεβιωμένων BCT 6-7 παραινεῖται L 10 ἀκολουθίαν: ἀπολογίαν L eadem man sscr ἀκολουθίαν 16 καθ'αὑτοὺς V καταυτοὺς S 18 τούτου V 19-20 τοῦ ante ὁμοίου om BCT 21 βλέπων om BCT

δὲ μᾶλλον πρὸς τὴν τοῦ βίου παρασκευήν τε καὶ εὐπορίαν.
λέγω δὲ ταῦτα οὐ στοχασμοῖς τισι τεκμαιρόμενος, ἀλλὰ τῶν
37 ἀκριβῶς ἐγνωκότων αὐτήκοος γεγονώς. τὰ γὰρ κατὰ τὸν
Ἀέτιον τοῦτον Ἀθανασίου ποτὲ τοῦ Γαλατῶν ἐπισκόπου
λέγοντος ἤκουσα, ἀνδρὸς οὐκ ἄν τι πρὸ τῆς ἀληθείας προ-
τιμήσαντος, ἀλλὰ καὶ εἰς μαρτυρίαν τῶν πολλῶν τοῦ λόγου
38 Γεωργίου τοῦ ἐκ Λαοδικείας ἐπιστολὴν προδεικνύντος. ἔλεγε
δὲ μὴ παρὰ τὴν πρώτην αὐτὸν ἐγκεχειρηκέναι τῇ τῶν δογ-
μάτων ἀτοπίᾳ, χρόνοις δὲ ὕστερον τέχνην βίου τὴν καινο-
τομίαν ταύτην προστήσασθαι. ἐκδύντα γὰρ αὐτὸν ἤδη τὴν
δουλείαν Ἀμπελίδος, τῆς κεκτημένης αὐτόν (τὸ δ' ὅπως
οὐδὲν δέομαι λέγειν, ὡς ἂν μὴ δόξαιμι κακοηθέστερον τοῦ
διηγήματος ἅπτεσθαι) εἶναι μὲν καμινευτὴν κατ' ἀρχάς, τὴν
ἔμπυρον ταύτην καὶ βάναυσον τέχνην διὰ χειρὸς ἔχοντα,
σφύρᾳ βραχείᾳ καὶ ἄκμονι μικρῷ προσκαθήμενον ὑπὸ τρι-
χίνῃ σκηνῇ, γλίσχρως καὶ μετὰ πόνου τὰ ἀναγκαῖα τοῦ βίου
39 διὰ τῆς ἐργασίας ταύτης συμποριζόμενον. τίς γὰρ ἂν καὶ
γένοιτο μισθὸς ἄξιος λόγου τῷ θεραπεύοντι τὰ ὑπόσαθρα
261 M. τῶν χαλκωμάτων καὶ παραβύοντι τὰς τρυμαλιὰς καὶ τὸν

2 sq iam prodit Gregorius, quae Basilius lib. I PG 29, 500 B-C de Eunomio et Aetio se non esse narraturum confitetur, ne calumniari videatur 4 Athanasius episcopus Ancyrae a. 360-369 successor Basilii Ancyrani de quo cf Basil ep 25 5 videtur Aristotelis locum celeberrimum respexisse Eth Nic I 4, 1096 a 16 ἀμφοῖν γὰρ ὄντοιν φίλοιν ὅσιον προτιμᾶν τὴν ἀλήθειαν (cf etiam Plat Resp X 595 C Phaedr 267 A) 7 Georgius Laodicenus, qui tum mortuus erat (Philostorg V 1 anno 363 Pelagium eius successorem appellat) homoeusianorum dux fuerat 8 de Aetii origine et vita cf Philostorg III 15 11 Ἀμπελίδος] Ampelis nomen proprium bene graecum, ineptissime biographi et editores de vineae cultura, quam Aetius possideret, confabulantur. Aetium apud Ampelida eodem modo, quo apud Omphalen Hercules, servientem Gregorius fingit (ἡ κεκτημένη i.e. domina)

VLBCTS 1 ἀπορίαν V 5-6 προτιμήσαντος BCT v: τιμήσαντος VLS cf πρὸ ἀρετῆς προτιμᾶν similia Plat Leg V 727 D 7 ἐπιδεικνύντος v 11 τῆς αὐτὸν κεκτημένης V

κασσίτερον ταῖς πληγαῖς ἐπιλύοντι καὶ μολιβδοχοοῦντι τῶν
λεβήτων τὰς βάσεις; γενέσθαι δὲ τῆς τοῦ βίου μεταβολῆς
40 αἰτίαν συμφοράν τινα διὰ τῆς τέχνης συμβᾶσαν αὐτῷ. λα-
βόντα γάρ ποτε παρὰ γυναικὸς στρατιώτιδος χρύσεόν τι
σκεῦος τῶν περὶ δέρην ἢ χεῖρα προκοσμημάτων, ἐφ' ᾧτε
τὴν γενομένην αὐτῷ πληγὴν διορθώσασθαι, ἀπατῆσαι δι'
ἐπινοίας τὴν ἄνθρωπον καὶ ὑφελέσθαι μὲν τὸ χρυσίον, ἀντι-
δοῦναι δὲ χάλκεον αὐτῇ τὸ σκεῦος, ἰσομέγεθες τῷ χρυσῷ
καὶ κατὰ τὴν ἐπιφάνειαν ὁμοίως ἔχον δι' ἐπιπολαίου βαφῆς,
χρυσίῳ τὸν χαλκὸν ἐπαλείψαντα· κατασοφισθεῖσαν δὲ τῷ
φαινομένῳ τὴν ἄνθρωπον (δεινὸς γὰρ ἦν καὶ τῇ χαλκευτικῇ
διὰ τῶν τῆς τέχνης σοφισμάτων τοὺς χρωμένους παραλογί-
σασθαι) χρόνῳ φωρᾶσαι τὴν περὶ τὸ χρυσίον κακουργίαν,
41 ἐξαλειφθείσης ἐκ τοῦ χαλκοῦ τῆς βαφῆς. εἶτα μετελθεῖν
ἐν δίκῃ τὸν κλέπτην, στρατιωτῶν τινων κατὰ τὸ συγγενὲς
καὶ ὁμόφυλον συγκινηθέντων εἰς ἀγανάκτησιν, τὸν δὲ παθόντα
μετὰ τὴν τόλμαν ἐκείνην ὅσα παθεῖν εἰκὸς τὸν ἀπατεῶνα
καὶ κλέπτην ὅρκῳ τῆς τέχνης ἑαυτὸν ἀποστῆσαι, ὥσπερ
οὐχὶ τῆς προαιρέσεως ἀλλὰ τοῦ ἐπιτηδεύματος τὴν ἐπιθυ-
42 μίαν αὐτῷ τῆς κλοπῆς ἐμποιήσαντος. ἀκόλουθον δὲ μετὰ
τοῦτο γενόμενον ἰατροῦ τινος τῶν ἀγυρτευόντων, ὡς ἂν μὴ
παντελῶς ἀποροίη τῆς ἀναγκαίας τροφῆς, <ἐν> οἰκίαις τε
ταῖς ἀφανεστέραις καί τισιν ἀπερριμμένοις ἀνθρώποις ἐπὶ τῷ

3-14 malevolus historiolam quasi allegoriam doctrinae et ingenii Eunomiani persequitur. de Aetio χρυσοχόῳ cf Philostorg III 15 Nicetas Thesaur V 30 Suda s v Ἀέτιος. 21 ἀγυρτευόν-των] cf iam Plat Leg IV 720 C inde Byzantini περιοδεύειν (pro θεραπεύειν) de medicis dicunt. nomen ei medico erat Sopolis Philostorg III 15 fin cf Sozom III 15

VLBCTS 1 κασίτηρον BT μολυβδοχοοῦντι C μολιβδοχοοῦντι VLBT μολιβδοοῦντι D (de S non certum) -οχοῦντι v 3-4 λαβόντα VLBTS: λαβόντος v 5 περὶ δέρην S: περὶ δέρρϊν BCT περιδερραίων VL 7 τὴν ἄνθρωπον: τὸν ἄ. L sed sscr τὴν χρυσίον VL: χρύσειον BCTS χρύσεον v 9 καὶ om T κατὰ om v 12 σοφισμάτων ὡς διὰ τούτων τοὺς χρωμένους VL (ὡς om L) 14 ἐκ τοῦ χρυσοῦ BCT 22 ἀποροίη L ἀπορροίη V: ἀπορήση BCTS v ἐν addidi

43 προσχήματι τῆς ἰατρικῆς περιφέρεσθαι. εἶτα κατ' ὀλίγον
εἰς εὐπορίαν αὐτῷ τῆς ἐπινοίας ἐλθούσης, Ἀρμενίου τινὸς
εὐεξαπατήτου διὰ τὸ βάρβαρον ὡς ἰατρῷ προσέχειν ἀναπει-
σθέντος καὶ συχνὸν αὐτῷ ὑποχορηγοῦντος ἀργύριον, μικρὸν
ἡγεῖσθαι ἤδη τὸ θητεύειν ἑτέροις ἐπὶ τῇ τέχνῃ, ἀλλ' αὐτὸν
44 ἀξιοῦν ἰατρὸν καὶ εἶναι καὶ ὀνομάζεσθαι. ἐντεῦθεν τοίνυν
συλλόγων τε μετεῖχεν ἰατρικῶν καὶ τοῖς πρὸς ἔριν λογομα-
χοῦσι καταμιγνύμενος τῶν βοώντων εἷς ἦν, καὶ ἐν τῇ τοῦ
λόγου τροπῇ τὸ καθ' ἑαυτὸν προτιθεὶς οὐ μικρῶς ἐσπου-
δάζετο παρὰ τῶν τὸ ἀναιδὲς τῆς φωνῆς πρὸς τὰς ἑαυτῶν
φιλονεικίας ἐκμισθουμένων.
45 Λιπαρωτέρας δὲ διὰ τούτων προσγενομένης αὐτῷ τῆς
μάζης οὐκ ἐπιμένειν ᾤετο δεῖν οὐδὲ τούτῳ τῷ βίῳ, ἀλλὰ
καὶ τὴν ἰατρικὴν ἐκείνην μετὰ τῆς χαλκευτικῆς κατ' ὀλίγον
ὑπαπεδύετο. Ἀρείου δὲ τοῦ θεομάχου τὰ πονηρὰ ταῦτα
σπέρματα τῶν ζιζανίων ἐνσπείραντος, ὧν ὁ καρπός ἐστι τῶν
Ἀνομοίων τὰ δόγματα, αἱ τῶν ἰατρείων σχολαὶ τηνικαῦτα
τοῖς περὶ τοῦ ζητήματος ἐκείνου θορύβοις περιηχοῦντο.
46 ἐμμελετήσας τοίνυν τῇ τοιαύτῃ διατριβῇ καί τινα συλλογι-
σμῶν ἔφοδον ἐξ Ἀριστοτελικῶν ἀπηχημάτων παρατηρήσας,
ὀνομαστὸς ἦν τὸν πατέρα τῆς αἱρέσεως Ἄρειον τῇ καινότητι
τῶν ἐφευρεθέντων ὑπερβαλλόμενος· μᾶλλον δὲ τῶν παρ'
ἐκείνου τεθέντων τὴν ἀκολουθίαν κατανοήσας ἀγχίνους τις
ἔδοξεν εἶναι καὶ τῶν κρυφίων εὑρετικός, τὸ κτιστὸν καὶ τὸ

20 Paulinus philosophus eum logicam docuit Antiochiae Philostorg III 15 Sozom III 15

VLBCTS 1 περιφέρεσθαι VLBCTS: ἐπιφέρεσθαι propter praepositionem 36, 22 perditam coniecisse vid v 2 αὐτῶ εἰς εὐπορίαν BCT 5 ἑτέροις om BCT ἀλλ': ἐνενόει καὶ μὴ V 6 καὶ ante εἶναι add VLS: om BCT v 8 καὶ post ἦν om VL 9 προτιθεὶς scripsi (τὸ καθ' ἑαυτὸν Aetii sententiam significare demonstrat 34, 16): προστιθεὶς libri v 10 ἑαυτῶν sed ἑαυ in rasura V 13 οὐ δὲ τούτω L οὐδὲ τῶδε V: οὐδ' ἐν τούτω BCTS v 14 καὶ ante τὴν add VLS: om BCT v 18 post τοῖς add τοῦ T περιηχοῦνται V 19 διατριβῇ VLS v: τριβῇ BCT 21 τῇ δεινότητι S 22 ὑποβαλλόμενος L 23 ἀγχίνους LBCTS: ἀγχίνοος V v 24 ἐφευρετικός BT

ἐξ οὐκ ὄντων ἀνόμοιον εἶναι τῷ κτίσαντι καὶ τῷ παραγα-
264 M. γόντι ἐκ τοῦ μὴ ὄντος ἀποφηνάμενος. ἐπειδὴ τοίνυν διὰ
47 τῶν τοιούτων λόγων τὰς φιλοκαίνους τῶν ταῦτα νοσούντων ἀκοὰς ἐγαργάλιζε, γινώσκει τὴν κενοφωνίαν ταύτην καὶ ὁ Βλέμμυς Θεόφιλος, ᾧ συνηθείας τινὸς περὶ τὸν Γάλλον προϋπαρχούσης καὶ ὁ Ἀέτιος εἰς τὰ βασίλεια δι' αὐτοῦ παρεδύετο. τοῦ δὲ περὶ τὸν ὕπαρχον Δομετιανὸν καὶ Μόντιον ἄγους τηνικαῦτα τολμηθέντος τῷ Γάλλῳ, πάντες οἱ κοινωνοὶ τοῦ μιάσματος συμμετεῖχον, ὡς εἰκός, τῆς ἐκείνου καταστροφῆς· ἀλλ' οὗτος ἐκδύνει τὴν τιμωρίαν, οὐδὲ τοῦ παθεῖν τι κακὸν μετὰ τῶν συναιτίων τοῦ ἄγους ἄξιος
48 εἶναι κριθείς. ἐπὶ τούτοις τοῦ μεγάλου Ἀθανασίου βασιλικῇ δυναστείᾳ τῆς Ἀλεξανδρέων ἐκκλησίας μετατεθέντος, Γεωργίου δὲ τοῦ Ταρβασθηνίτου τὸν ἐκείνου λαὸν διασπῶντος, πάλιν Ἀλεξανδρεὺς ὁ Ἀέτιος, οὐδενὸς ἔλαττον ἔχων τῶν ὑποτρεφομένων καὶ παρασιτούντων τῷ Καππαδόκῃ· οὐδὲ γὰρ τῆς κολακείας ἀμελετήτως εἶχεν, ὡς τὸν Γεώργιον (ἦν γὰρ δὴ Χαναναῖος κἀκεῖνος καὶ διὰ τοῦτο πρὸς τὸν ὁμογενῆ καὶ ὁμόφυλον ἐπιτηδείως εἶχε) χαίρειν τε τούτῳ, πάλαι τῇ

5 Theophilus Galli familiaris Philostorg IV 1 Aetium cum Gallo conciliat Philostorg III 27 Sozom l c 8 de Galli, qui Domitianum praefectum et Montium quaestorem occiderat, coniuratione Amm Marc XIV 7, 9 Philostorg III 28 Socr II 34 Sozom IV 7 Chronicon Pasch a. 355 10 Aetius coniurationis particeps Philostorg IV 8 Sozom III 15 13 Georgius Cappadox Athanasii adversarius et successor, dum ille tertium exsulatur, a. 357-358 Philostorg III 3 Socr II 14 Sozom III 7 fin

VLBCTS 2 ἐπεὶ V 3 λόγων τὰς om S ταῦτα: τοιαῦτα V 4 καινοφωνίαν VLC v 5 βλέμυς VL ᾧ: ὡς BT 6 καὶ ante ὁ Ἀέτιος om v 7 ὑπάρχοντα μετ' ἰανὸν L 10-11 οὐδὲ τὸ παθεῖν L 14 ἐκεῖνον v 15 ἀλεξανδρεὺς πάλιν V ἐλάττων L 16 ὑποστρεφομένων L παρασιτοῦντι L 17 ἀμελήτως v εἶχε πρὸς V ὡς usque ad 19 εἶχε om v 18 κἀκεῖνος VLS: ἐκεῖνος BCT ὁμοιογενῆ L 19 ὁμοιόφυλον V χαίρειν τε BCTS: χαίρει τε VL χαίρειν δὲ v τοῦτο L

διαστροφῇ κατειλημμένον τοῦ δόγματος, καὶ εὕρεμα εἶναι τῷ Ἀετίῳ κατ' ἐξουσίαν προκείμενον.
49 Οὐ τοίνυν λανθάνει ταῦτα τὸν γνήσιον αὐτοῦ ζηλωτὴν Εὐνόμιον τοῦτον, ὃς τοῦ κατὰ φύσιν ἑαυτοῦ πατρός, βελτίστου τὰ ἄλλα πλὴν γενέσθαι τοιούτου πατέρα, εὐγνώμονα μὲν καταμαθὼν καὶ νενομισμένην τὴν τοῦ βίου διαγωγήν, μοχθηρὰν δὲ διὰ πενίαν καὶ μυρίων γέμουσαν πόνων· γεωργὸς γάρ τις ἦν ἐπικεκυφὼς τῷ ἀρότρῳ καὶ πολὺν πόνον περὶ τὸ βραχὺ γήδιον ἔχων, διὰ δὲ τοῦ χειμῶνος ὅτε τῶν περὶ τὴν γῆν καμάτων εἶχε τὴν ἄδειαν, τὰ πρῶτα στοιχεῖα καὶ τὰς συλλαβὰς τοῖς παιδίοις ὑποχαράσσων εὐμηχάνως διὰ τῶν μισθωμάτων ἐκείνων τὰ πρὸς
50 τὸν βίον ἐπεσιτίζετο· ταῦτα τοίνυν περὶ τὸν ἑαυτοῦ πατέρα βλέπων ἐρρῶσθαι φράσας τῷ τε ἀρότρῳ καὶ τῇ σμινύῃ καὶ πᾶσι τοῖς πατρικοῖς ἐργαλείοις, ὡς ἂν μὴ καὶ αὐτὸς προσταλαιπωροίη τοῖς ὁμοίοις τῶν πόνων, πρῶτον μὲν τῆς Προυνίκου σοφίας γίνεται μαθητής, καὶ γράφειν εἰς τάχος ἐκμελετήσας συνῆν τὰ πρῶτα τῶν ἐκ τοῦ γένους οἶμαί τινι, μισθὸν τῆς ἐν τῷ γράφειν ὑπηρεσίας τὴν τροφὴν ἔχων, εἶτα παιδαγωγῶν τοῦ τρέφοντος αὐτὸν τὰ μειράκια κατ' ὀλίγον εἰς ῥητορικῆς ἐπιθυμίαν προέρχεται. καὶ τὰ ἐν τῷ μέσῳ παρίημι, τόν τε ἐπὶ τῆς πατρίδος αὐτοῦ βίον καὶ ἐφ' οἷς ἐν τῇ Κωνσταντινουπόλει κατελήφθη καὶ μετὰ τίνων.
51 Μετὰ δὲ ταῦτα περὶ χλανίδα καὶ ζώνην ἀσχοληθείς, ὥς φασιν, ἐπειδὴ πάντα μικρὰ καὶ οὐδὲν τῆς ἐπιθυμίας

1 εὕρεμα i. q. ἕρμαιον, ἅρπαγμα cf quae in Hermae vol L p 543 sq commentatus sum 17 Προυνίκου σοφίας] artem tachygraphicam dicit

VLBCTS 1 κατειλημμένος v 2 προκείμενον LBCTS: προκειμένω V προκείμενος v 4 verba ab ἑαυτοῦ usque ad 5 εὐγνώμον legi non possunt S 5 τἆλλα V τοῦ γενέσθαι V 7 μοχθηρίαν δὲ διὰ πενίαν ἔχουσαν καὶ V δὲ ante διὰ postea add B om CT 13 ἐπεσιτίζετο: ἐπορίζετο V 15 ἐργαλείοις: ἐπιτηδεύμασιν V 17 γίνεται : γένηται V 22 ἐπὶ ante τῆς om V 23 κατελείφθη V μετά τινων L

ἄξιον ἐκ τῆς περὶ ταῦτα σπουδῆς ἑώρα συναγειρόμενον,
καταλιπὼν τὰ λοιπὰ τοῦ βίου ἐπιτηδεύματα μόνον ἐξ ἁπάν-
των ἐθαύμασε τὸν Ἀέτιον, οὐκ ἀσυνέτως οἶμαι, πρός γε
52 τὸν ἑαυτοῦ σκοπόν, εἰς ἐπίνοιαν βίου τοῦτο ἐπιλεξάμενος. ἀφ'
οὗ γὰρ μετέσχε τῆς ἀπορρήτου ταύτης σοφίας, ἐξ ἐκείνου
„πάντα ἄσπαρτα αὐτῷ καὶ ἀνήροτα φύεται." σοφὸς γάρ τίς
265 M. ἐστι περὶ ἃ τὴν σπουδὴν ἔχει, καὶ ἔγνω πῶς ἄν τις μάλιστα
53 τοὺς ἐμπαθεστέρους τῶν ἀνθρώπων προσοικειώσαιτο. ἐπειδὴ
γὰρ εὐάλωτόν ἐστιν ὡς τὰ πολλὰ δι' ἡδονῆς τὸ ἀνθρώπινον,
καὶ πολλὴ πρὸς τὸ πάθος τοῦτο τῆς φύσεώς ἐστιν ἡ εὐκολία,
ἐκ τῶν τραχυτέρων ἐπιτηδευμάτων πρὸς τὸ τῆς ἡδονῆς λεῖον
ἑτοίμως καταπιπτούσης, ὡς ἂν μάλιστα κοινωνοὺς ἑαυτῷ
πολλοὺς τῆς νόσου τῶν δογμάτων προσεταιρίσαιτο. τούτου
χάριν ἡδὺς γίνεται τοῖς ὑπ' αὐτοῦ τελουμένοις, τὸ πρόσαντες
καὶ ἐπίπονον τῆς ἀρετῆς ὡς ἀπίθανον εἰς τὴν τοῦ μυστη-
54 ρίου παραδοχὴν ἀποβάλλων. καὶ οἷα μὲν διδάσκουσιν ἐν
ἀπορρήτοις καὶ ὅσα ἐκλαλοῦσιν καὶ εἰς τὸ ἐμφανὲς ἄγουσιν
οἱ δι' ἀπάτης παραδεδεγμένοι τὸ μίασμα, τήν τε ἀπόρρητον
ἐκείνην μυσταγωγίαν καὶ οἷα παρὰ τοῦ σεμνοῦ τῶν μυστη-
ρίων ἱεροφάντου διδάσκονται, βαπτισμῶν τε τρόπον καὶ φύ-
σεως συνηγορίαν καὶ πάντα τὰ τοιαῦτα, εἴ τινι σχολὴ δι'
ἀκριβείας μαθεῖν, ἐκείνους διερωτάτω οἷς ἀνεύθυνον φέρειν
τι τῶν ἀπρεπῶν διὰ στόματος· ἡμεῖς δὲ σιγήσομεν. οὐδὲ
γὰρ κατηγοροῦντας μεμνῆσθαι τῶν τοιούτων εὐαγὲς τοὺς καὶ
λόγῳ τιμᾶν μαθόντας τὴν καθαρότητα οὐδὲ τοῖς ἐκμελε-

6 Hom Od ι 109   9 cf Plut Sert 10 οὔτε ὑφ' ἡδονῆς . . . εὐάλωτος

VLBCTS 1 συνεγειρόμενον L   4 ἀπολεξάμενος V   verba ἀφ' οὗ usque ad 8 προσοικειώσαιτο om BCT   6 πάντα traiecit ante φύεται S   τίς post γάρ om S   12 μεταπιπτούσης BT   12-13 πολλοὺς ἑαυτῷ κοινωνοὺς VL   16 παραδοχὴν: ἀποδοχὴν V   ἀποβάλλων BCTS v: ἀποβαλὼν VL   διδάσκουσιν ἐν BCTS v: διδάσκει ἐν V διδάσκειν L   17 τὸ om L   20 διδάσκωνται L   τρόπων C   21 συνηγορίας v   σχολῇ V   24 κατηγορούντων VL   εὐαγὲς τοὺς VS (τοῖς V): εὐάγιστον LBCT v   καὶ om V   25 μαθοῦσι V μαθόντα L   οὐδὲ: οὐδὲ γὰρ V   25-p 41, 1 ἐμμελεστέροις v

στέροις τῶν διηγημάτων καταρρυπαίνειν τὴν συγγραφήν, κἂν
ἡ ἀλήθεια τοῖς λεγομένοις προσῇ.
55 Πλὴν οὗ χάριν τῶν εἰρημένων ἐμνήσθημεν, ὅτι καθά-
περ τῷ Ἀετίῳ πορισμὸς ἦν ἡ ἀσέβεια [ἡ Ἀριστοτέλους
κακοτεχνία], τὸν αὐτὸν τρόπον καὶ τῷ κατηρτισμένῳ μαθητῇ
κατὰ τὸ ἴσον τῷ διδασκάλῳ λιπαρῶς ἐμβιοτεύειν τῇ ἁπλό-
τητι τῶν ἀπατηθέντων ὑπῆρξε. τί οὖν τοσοῦτον ἠδίκηκεν ὁ
κατὰ τὸν Εὔξεινον Πόντον Βασίλειος ἢ ὁ κατὰ τὴν Ἀρ-
μενίαν Εὐστάθιος, περὶ ὧν ἡ μακρὰ παρενθήκη τῆς ἱστο-
ρίας ἐξυπτιάζεται; | τί τὸν τοῦ βίου σκοπὸν αὐτῶν λελυπή-
κασι; τί δὲ οὐχὶ μᾶλλον τὴν καινὴν αὐτῶν δόξαν ἐπὶ τὸ
μεῖζον ἔθρεψαν; πόθεν γὰρ αὐτοῖς τὸ γνωσθῆναι καὶ εἰς
τοσοῦτον ὀνομασθῆναι ἢ οὐχὶ διὰ τῶν ἀνδρῶν ἐκείνων προσ-
56 γέγονεν, εἴπερ ἀληθεύει κατ' αὐτῶν ὁ κατήγορος; τὸ γὰρ
εὐδοκίμους ὄντας ἐκείνους, καθὼς ὁ συγγραφεὺς μαρ-
τυρεῖ, ἀξιομάχους ἑαυτοῖς κρῖναι τοὺς μηδαμόθεν ἔχοντας τὸ
γινώσκεσθαι ἀφορμὴ τοῦ μέγα φρονεῖν εἰκότως καθίσταται
τοῖς ἀντιταχθεῖσι πρὸς τοὺς πλέον ἔχειν ὑπειλημμένους τῶν
ἄλλων· ἐκ δὲ τούτου περιῆν τὸ συσκιάζεσθαι μὲν τοῦ προ-
τέρου βίου τὸ ταπεινὸν καὶ ἀνώνυμον, ἀπὸ δὲ τῶν μετὰ
ταῦτα γνωρίμους εἶναι, ἃ φευκτὰ μὲν ἄλλως ἐστὶν τοῖς γε
νοῦν ἔχουσιν (οὐ γὰρ ἄν τις εὔξαιτο τῶν εὖ φρονούντων
μέγας ἐν κακῷ νομισθῆναι), τοῖς δὲ τοιούτοις ὁ ἀκρότατος
ὅρος τῆς εὐκληρίας δοκεῖ· καθάπερ φασὶ τῶν ἀδόξων τινὰ

8 cf Philostorg III 16 Basilius Ancyranus et Eustathius Sebastenus Aetium impugnaverant eumque cum Eunomio in synodo Ancyrana a. 358 condemnaverant

VLBCTS 3 ἐπεμνήσθημεν v   4 ἡ ἀσέβεια: ἀσεβείας v   ἡ ἀριστοτέλους κακοτεχνία v: om VLBCTS interpretamentum seclusi cf p 37, 20   7 ἠπατημένων VS   ἠδίκησεν v   10 ἐξυπνιάζεται L αὐτῶν S: αὐτῷ ceteri v (cf 11)   11 αὐτῶν-ῶν ex corr V   12 ἔθρεψαν VS v: ἔθρεψε LBCT   16 ἑαυτοῖς S v: ἑαυτοὺς VLBCT 17 μεγάλα φρονεῖν S   καθίσταται VS: καθίστατο LBCT v   21 γινομένων ante γνωρίμους add VS   23 ἐν κακῷ VLBCTS (velut Herostratus in arte destruendi): ἐπὶ κακῷ v

καὶ ταπεινῶν κατὰ τὴν Ἀσίαν ὀνομαστὸν γενέσθαι παρ'
Ἐφεσίοις ἐπιθυμήσαντα μέγα μέν τι καὶ λαμπρὸν ἔργον
μηδὲ εἰς νοῦν βαλέσθαι (μηδὲ γὰρ δύνασθαι), γενέσθαι δὲ
τῶν ἐπὶ τοῖς μεγίστοις γνωρισθέντων διασημότερον, ὑπερ-
βολήν τινα βλάβης ἐξευρόντα κατὰ τῶν Ἐφεσίων. εἶναι μὲν
57 γάρ τι τῶν δημοσίων παρ' αὐτοῖς λαμπρότητι πάσῃ καὶ πο-
λυτελείᾳ περίβλεπτον, τὸν δὲ ἄνθρωπον πυρὶ τὴν μεγαλουρ-
γίαν ἐκείνην ἐξαφανίσαντα ὁμολογῆσαι τὸ τῆς ψυχῆς πάθος
268 M. ἐπὶ τῇ τόλμῃ κρινόμενον, ὅτι τὸ παρὰ πολλῶν γνωσθῆναι
μέγα ποιούμενος ἐπενόησε τῷ μεγέθει τοῦ κακοῦ τὸ ὄνομα
58 τοῦ τετολμηκότος συμμνημονεύεσθαι. τοιαύτη καὶ τούτοις ἡ
τῆς περιφανείας ὑπόθεσις, πλὴν ὅσον πρὸς τὸ μεῖζον ἐν τῷ
κακῷ τὴν παραλλαγὴν ἔχει. οὐ γὰρ ἀψύχοις οἰκοδομήμασιν,
ἀλλ' αὐτῇ τῇ ζώσῃ οἰκοδομίᾳ τῆς ἐκκλησίας διαλυμαίνονται,
οἷόν τι πῦρ τὴν τοῦ δόγματος ἐνέντες παραφοράν.
59 Ἀλλὰ τὸν μὲν περὶ τοῦ δόγματος λόγον εἰς τὸν ἴδιον
καιρὸν ὑπερθήσομαι. τέως δὲ νῦν ὁ διὰ τὸ ἀληθεύειν
μισεῖσθαι παρὰ τῶν ἀπίστων ἐν προοιμίοις αἰτιασάμενος οἵᾳ
κέχρηται τῇ ἀληθείᾳ σκοπήσωμεν· οὐδὲ γὰρ ἴσως ἀπὸ
καιροῦ καὶ διὰ τῶν ἔξω τοῦ δόγματος λόγων ὅπως ἔχει περὶ
τὴν ἀλήθειαν μαθόντας τεκμηρίῳ τούτῳ καὶ πρὸς τὰ δόγ-
ματα χρήσασθαι. Ὁ γὰρ πιστός, φησίν, ἐν ἐλαχίστῳ καὶ ἐν
πολλῷ πιστός ἐστι, καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος καὶ ἐν πολλῷ
60 ἄδικός ἐστι. μέλλων γὰρ τὴν Ὑπὲρ τῆς ἀπολογίας

10 Gregorius ut plerique auctores nomen eius consulto tacet cf Val Max VIII 14 ext 5 22 Luc 16, 10

VLBCTS 1 γενέσθαι: γίνεσθαι L 3 μηδὲ alt scripsi: μήτε libri v 10 ἐπενόη L omisit σε ut vid in fine versus verba disiungens 11 μνημονεύεσθαι VS 12-13 ἐν τῷ κακῷ πρὸς τὸ μεῖζον VS 14 οἰκονομία V 15 ἐνέντες VLBCT v: ἐνθέντες S παραφοράν v: παραφθοράν LBCT διαφθοράν VS 16 τοῦ ante δόγματος om v λόγον post 17 καιρὸν traiecit V 19 σκοπήσομεν C οὐδὲ VS: οὐδὲν LBCT v 21 τὴν ante ἀλήθειαν om B v καὶ ante πρὸς add VLS: om BCT v 22-23 verba a καὶ ἐν πολλῷ usque ad 23 ἐλαχίστῳ om V

ἀπολογίαν συγγράφειν, τὴν καινὴν καὶ παράλογον ταύτην
τοῦ λόγου καὶ ἐπιγραφὴν καὶ ὑπόθεσιν, τὴν αἰτίαν λέγει τῆς
τοιαύτης παραδοξολογίας οὐχ ἑτέρωθεν ἀλλ' ἐκ τοῦ ἀντει-
61 πόντος αὐτῷ πρὸς τὸν πρότερον γεγενῆσθαι λόγον. ἐκείνῳ
μὲν γὰρ ἦν τῷ λόγῳ Ἀπολογία τὸ ὄνομα· λαβομένου
δὲ τοῦ διδασκάλου ἡμῶν, ὡς μόνοις τοῖς κατηγορουμένοις
τῆς ἀπολογίας πρεπούσης, εἰ δέ τις ἐφ' ἑαυτοῦ κατ' ἐξου-
σίαν γεγράφοι, ἄλλο τι καὶ οὐκ ἀπολογίαν εἶναι τὸ συγγρα-
φόμενον, τὸ μὲν μὴ δεῖν ἐπὶ προλαβούσῃ κατηγορίᾳ τὴν
ἀπολογίαν ποιεῖσθαι διὰ τὸ περιφανὲς τῆς ἀτοπίας οὐκ ἀντι-
λέγει, ὡς δὲ κατηγορηθεὶς ἐπὶ τοῖς μεγίστοις πρὸς τὴν
ἐπενεχθεῖσαν κρίσιν ἀπολογήσασθαί φησιν. ὅσον δὲ τὸ ψεῦ-
δός ἐστιν ἐν τούτοις, πρόδηλον ἐξ αὐτῶν οἶμαι τῶν εἰρη-
μένων γενήσεσθαι.
62 Πολλὰ καὶ δυσβάστακτα πάθη παρὰ τῶν κατα-
κρινάντων αὐτοῦ γεγενῆσθαι κατητιάσατο· καὶ ταῦτα ἔξεστιν
ἐξ αὐτῶν τῶν παρ' αὐτοῦ γεγραμμένων μαθεῖν. πῶς οὖν
ταῦτα πέπονθεν, εἴπερ ἐπὶ ταῖς αἰτίαις ἀπολελόγηται; εἰ
μὲν γὰρ ἐχρήσατο πρὸς ἀποφυγὴν τῶν ἐγκλημάτων τῇ ἀπο-
λογίᾳ, ψευδὴς ἡ τραγῳδία πάντως ἐκείνη καὶ μάτην συμ-
πέπλασται· εἰ δὲ πέπονθεν ἅπερ εἴρηκε, δηλονότι μὴ ἀπο-
63 λογησάμενος πέπονθε. πάσης γὰρ ἀπολογίας οὗτός ἐστιν
ὁ σκοπός, τὸ μὴ ἐᾶσαι παρακρουσθῆναι διὰ συκοφαντίας
τοὺς κυρίους τῆς ψήφου· εἰ μὴ ἄρα τοῦτο λέγειν ἐπιχειρή-
σει, ὅτι τὴν μὲν ἀπολογίαν ἐπὶ τῆς κρίσεως προεβάλετο,
προσαγαγέσθαι δὲ τοὺς δικάζειν λαχόντας οὐ δυνηθεὶς τῶν

5 Bas c Eun I p 501 B sq

VLBCTS 3 τοιαύτης LBCTS: τοσαύτης V v 5 λαβομένου VLS: λαβόμενος BCT v 7 ἐφ': ἀφ' B 8 γεγράφοι BCTS v: ἐγεγράφει V γεγράφει L ἄλλό τι vel ἄλλο τι VLCS v: ἀλλ' ὅτι BT 9 τὸ μὲν: τῷ μὲν v 11 τοῖς ante μεγίστοις om v 15-16 τῶν ante κατακρινάντων om L κατακρινάντων αὐτοῦ LBCT v: κρινάντων αὐτὸν VS 18 ἀπολελόγητο v 21 μὴ post δηλονότι om BCT 21-22 ἀπολογησόμενος B 22 οὗτος γὰρ πάσης ἀπολογίας V 25 προεβάλλετο T 26 προσάγεσθαι VL

ἀντιδικούντων ἡλαττώθη. ἀλλ' οὐδὲ εἶπεν ἐπὶ τῆς κρίσεως
τοιοῦτον οὐδὲν οὐδ' ἐμέλλησε. πῶς γάρ; ὅς γε ὁμολογεῖ
διὰ τοῦ συγγράμματός που τοῖς ἐχθροῖς τε καὶ πολεμίοις δι-
κασταῖς χρήσασθαι μὴ ἐθελῆσαι· ἡμεῖς γάρ, φησίν, ὅτι
σιωπῶντες ἑάλωμεν, ὁμολογοῦμεν, κακούργων
καὶ πονηρῶν εἰς τὴν τῶν δικαζόντων χώραν
64 εἰσφρησάντων. ἔνθα καὶ σφόδρα σφαδάζων, ὡς οἶμαι,
καὶ τῷ λογισμῷ πρὸς ἑτέροις ὤν, ἐμπλακέντα τῷ λόγῳ τὸν
269 M. σολοικισμὸν εὐπαρύφως οὐ κατενόησε, πάνυ σοβαρῶς τῇ λέξει
τῶν εἰσφρησάντων ὑπαττικίσας· ὡς ἡ χρῆσις ἄλλη μὲν
παρὰ τοῖς κατωρθωκόσι τὸν λόγον, ἣν ἴσασιν οἱ τοῖς τοῦ
ῥήτορος λόγοις καθομιλήσαντες, ἄλλη δὲ παρὰ τῷ νέῳ ἀττι-
κιστῇ ἐνομίσθη. ἀλλ' οὐδὲν τοῦτο πρὸς τὸν σκοπὸν τὸν
ἡμέτερον.

65 Μικρὸν δὲ προελθὼν καὶ τοῦτο προστίθησιν· εἰ γὰρ
ὅτι μὴ τοῖς κατηγόροις δικασταῖς ἐχρησάμην,
διὰ τοῦτο ἀναιρεῖν οἴεται τὴν ἀπολογίαν, λέ-
ληθεν αὑτὸν λίαν ὢν ἀκέραιος. πότε οὖν ὁ δριμὺς
καὶ ἐπὶ τίνων ἀπολελόγηται ὁ τοὺς μὲν δικαστὰς διὰ τὴν
ἔχθραν παραγραψάμενος, παρὰ δὲ τὴν κρίσιν, ὡς αὐτὸς
διαβεβαιοῦται, σιγήσας; ὁρᾶτε τὸν σφοδρὸν τῆς ἀληθείας
ἀγωνιστήν, ὡς δι' ὀλίγου μεταβαλλόμενος αὐτομολεῖ πρὸς τὸ
ψεῦδος καὶ τῷ ῥήματι τιμῶν τὴν ἀλήθειαν ἐπὶ τῶν ἔργων

9 cf Harpocrat p 67,6 (Bekker) Demosth 20,53

VLBCTS 1 ἡλαττώθη BCTS v: ἡττήθη VL (sed θη om L) οὐδὲ VLCTS: οὐδὲν B οὐκ v 2 οὐδ' BCT v: οὔτε VLS ἐμέλησε VLCS ὅς γε om VL 3 που Wilamowitz: τὸ ποῦ VL τὸ BCTS v var lect (cf 49, 4 al) 6-7 χώραν εἰσφρησάντων L (ras ante φ) BCT v: εἰσφρησάντων χώραν VS 7 σφαδάζων CT v: σπουδάζων VLS θαυμάζων B 9 σολοικισμὸν: συλλογισμὸν V οὐ παρύφως L 10 εἰσφορησάντων L 10-11 ἄλλη μὲν παρὰ BCTS v: ἀλλὰ μὲν π. L ἀλλὰ παρὰ μὲν V 12 τῷ νέῳ: τῶν ἕω V 16 δικασταῖς κατηγόροις VS 18 αὐτὸν BCS ἑαυτὸν T v: αὑτὸν VL 19 ἐπὶ τίνων: περὶ τίνων T inter ὁ et τοὺς rasura duarum litterarum L 20 παρὰ VBTS: περὶ LC v 21 βεβαιοῦται VS 22 μεταβαλόμενος v

66 ἀντικαθίσταται. ἀλλ' ἐκεῖνο χαρίεν, ὅτι καὶ πρὸς αὐτὴν
ἀτονεῖ τὴν συνηγορίαν τοῦ ψεύδους. πῶς γὰρ ὁ αὐτὸς καὶ
δικαίως πρὸς τὴν ἐπενεχθεῖσαν κρίσιν ἀπολελόγηται καὶ
φρονίμως πάλιν διὰ τὸ ἐν ἐχθροῖς εἶναι τὴν κρίσιν ἀπεσιώ-
πησε; καίτοι καὶ δι' αὐτοῦ τοῦ λόγου, ᾧ τὴν Ἀπολο-
γίαν ἐπέγραψε, φανερῶς δείκνυται τὸ μηδαμῶς συστῆναι
67 αὐτῷ δικαστήριον. οὐ γὰρ πρὸς δικαστὰς ὡρισμένους τὸ
προοίμιον τοῦ λόγου προτείνεται, ἀλλὰ πρός τινας ἀορί-
στους ἀνθρώπους, τούς τε κατὰ τὸν καιρὸν ἐκεῖνον ὄντας
καὶ τοὺς ὕστερον γενησομένους· ἐφ' οἷς ἔγωγε καὶ αὐτὸς
συντίθεμαι μεγάλης αὐτῷ δεῖν τῆς ἀπολογίας, οὐ κατὰ τὴν
νῦν συγγραφεῖσαν ἑτέρας πάλιν ἀπολογίας εἰς συνηγορίαν
προσδεομένην, ἀλλά τινος γεννικῆς τε καὶ ἔμφρονος πεῖσαι
τοὺς ἀκούοντας δυναμένης, ὅτι μὴ ἐν τοῖς ἑαυτοῦ λογισμοῖς
ἦν ὅτε ταῦτα συνέγραφεν, ὃς δικαστήριον ἑαυτῷ συνεκρότει
τῶν μήτε παρόντων, τάχα δὲ μηδὲ γενηθέντων ἀνθρώπων,
καὶ τοῖς οὐκ οὖσιν ἀπελογεῖτο καὶ παρῃτεῖτο τοὺς μὴ γεγο-
νότας μήπω τῷ πλήθει διακρίνειν τῆς ἀληθείας
τὸ ψεῦδος, τῇ πλείονι μοίρᾳ τὸ κρεῖττον συνά-
68 πτοντας. πρέπει γὰρ ὄντως πρὸς τοὺς τοιούτους δικαστὰς
τοὺς ἔτι ἐν τῇ ὀσφύϊ τῶν πατέρων ὄντας τὴν τοιαύτην
ἀπολογίαν προτείνεσθαι καὶ οἴεσθαι δίκαια λέγειν, ὅτι ταῖς
πάντων δόξαις μόνος ἀντιβαίνειν ἔγνωκε καὶ τῶν κατὰ πᾶσαν
τὴν οἰκουμένην τὸ ὄνομα τοῦ Χριστοῦ δοξαζόντων ἀξιοπιστο-
τέραν οἴεται τὴν πεπλανημένην ἑαυτοῦ τῆς ψυχῆς φαντασίαν.
69 Γραφέτω, εἰ δοκεῖ, καὶ τῆς δευτέρας ἀπολογίας ἀπολο-
γίαν ἄλλην· ἡ γὰρ νῦν οὐ διόρθωσις τῶν ἡμαρτημένων,

18 Eun apol 2 21 cf Hebr 7, 10

VLBCTS 2 τὴν ante συνηγορίαν om v τοῦ ψεύδους VLS v: τὸ ψεῦδος BCT 3 ἐπενεχθεῖσαν BCTS: ὑπενεχθεῖσαν VL v 10 γενησομένους VLS v: γενομένους BCT 13 γεννικῆς L: γενικῆς ceteri v 14 verba μὴ ἐν usque ad 15 ὅτε ταῦτα om v 16 μηδὲ correxi: μήτε libri v γεννηθέντων TS 18 μήπω: μὴ v 21 ἔτι om V 24-25 ἀξιοπρεπεστέραν B

κατασκευὴ δὲ μᾶλλον τῶν ἐγκλημάτων ἐστί. τίς γὰρ οὐκ οἶδεν ὅτι πᾶσα νόμιμος ἀπολογία πρὸς τὴν τοῦ ἐπενεχθέντος ἐγκλήματος ἀναίρεσιν βλέπει; οἷον ὁ κλοπῆς ἢ φόνου ἤ τινος ἑτέρου πλημμελήματος αἰτίαν ἔχων ἢ ἀρνεῖται καθόλου τὴν πρᾶξιν ἢ εἰς ἕτερον μετατίθησι τοῦ κακοῦ τὴν αἰτίαν ἢ εἰ μηδὲν δύναιτο τούτων, συγγνώμην καὶ ἔλεον αἰτήσει παρὰ τῶν κυρίων τῆς ψήφου. ἐνταῦθα δὲ οὔτε ἄρνησιν ὁ λόγος τῶν ἐπενεχθέντων ἔχει οὔτε τὴν εἰς ἑτέρους μετάστασιν οὔτε καταφεύγει πρὸς ἔλεον οὔτε τὴν πρὸς τὸ μέλλον
272 M. εὐγνωμοσύνην κατεπαγγέλλεται, ἀλλ' αὐτὸ τὸ κατηγορούμενον ἔγκλημα διὰ φιλοπονωτέρας κατασκευῆς ἰσχυροποιεῖται. τὸ μὲν γὰρ προφερόμενον, καθὼς αὐτὸς οὗτός φησιν, ἀσεβείας ἐστὶ γραφή, οὐκ ἀόριστον αὐτῷ τὴν αἰτίαν ἐπάγουσα, ἀλλ' αὐτὸ προφέρουσα τῆς ἀσεβείας τὸ εἶδος· ἡ δὲ ἀπολογία τὸ δεῖν ἀσεβεῖν κατασκευάζει, οὐκ ἀναιροῦσα τὴν αἰτίαν, ἀλλὰ
70 βεβαιοῦσα τὸ ἔγκλημα. ἀδήλων μὲν γὰρ ὄντων τῶν τῆς εὐσεβείας δογμάτων ἧττον ἴσως ἦν ἐπικίνδυνον τὸ κατατολμᾶν τῆς καινότητος· πάσαις δὲ τῶν εὐσεβούντων ψυχαῖς παγίας τῆς τοῦ ὀρθοῦ λόγου διδασκαλίας ἐνυπαρχούσης ὁ τὰ ἐναντία τοῖς κοινῇ παρὰ πάντων ἐγνωσμένοις βοῶν ἆρα ἀπολογεῖται ὑπὲρ ὧν ἐγκαλεῖται, ἢ μᾶλλον ἐφέλκεται καθ' ἑαυτοῦ τὴν τῶν ἀκουόντων ὀργὴν καὶ πικρότερος ἑαυτοῦ κατήγορος
71 ἵσταται; ἐγὼ μὲν τοῦτό φημι. ὥστε εἴπερ εἰσὶ κατὰ τὸν λόγον τοῦ συγγραφέως ἢ ἀκροαταὶ τῶν ἀπολογηθέντων ἢ κατήγοροι τῶν κατὰ τῆς εὐσεβείας αὐτῷ τολμηθέντων, αὐτὸς εἰπάτω ἢ πῶς οἱ κατήγοροι καθυφήσουσιν ἢ τίνα οἱ δικασταὶ

2 ex rhetorum scholis sumpta

VLBCTS 5 τὴν ante αἰτίαν add VLS sscr T 7 δὲ post ἐνταῦθα om v 8 ἀπενεχθέντων V οὔτε τὴν BCTS v: οὐδὲ τὴν VL 9 τὴν ante πρὸς add VLCS: om BT v 10 κατεπαγγέλεται V 12 αὐτὸς om BCTS v 13-15 verba ἀλλ' usque ad αἰτίαν om V 17 τὸ ante κατατολμᾶν om BCTS v 19 ὀρθοῦ λόγου libri: θεολόγου v τῆς ante διδασκαλίας iterat L 25 κατήγοροι sed κατ in rasura T 26 πῶς om BCTS(?) καθυφήσουσιν libri: καθυβρίσουσιν v ἢ τινὰ T

περὶ αὐτοῦ τὴν ψῆφον ἐξοίσουσι, προκατασκευαζομένου διὰ τῆς ἀπολογίας τοῦ πλημμελήματος.
72 Ἀλλὰ ταῦτα μὲν οὐκ οἶδα πῶς παρενέπεσεν ἐκ τῆς ἀκολουθίας τοῦ λόγου τῷ μὴ καλῶς προῆχθαι τὴν ἀπολογίαν. οὐδὲ γὰρ περὶ τοῦ πῶς ἐχρῆν ἀπολογήσασθαι πρόκειται νῦν ἐξετάζειν, ἀλλ' εἰ ἀπολελόγηται ὅλως. πρὸς δὲ τὸ προτεθὲν ἐπανέλθωμεν, ὅτι τοῖς ἰδίοις ἁλίσκεται φανερῶς οὕτως ὁ δυσχεραίνων τὸ ψεῦδος· κεκρίσθαι λέγει καὶ παρανόμων ἐπιτυχεῖν δικαστῶν καὶ διὰ γῆς καὶ θαλάσσης ἀγόμενος πρὸς ἡλίου τε φλογμὸν καὶ κόνιν κακοπαθῆσαι· εἶτα πάλιν περιστέλλων τὸ ψεῦδος ἥλῳ τὸν ἧλον κατὰ τὴν παροιμίαν ἐκκρούει, ἄλλῳ ψεύδει
73 τοῦτο τὸ ψεῦδος ἐπανορθούμενος. πάντων γὰρ αὐτῷ συνεπισταμένων ὅτι οὐδεμίαν ἔρρηξεν ἐν δικαστηρίῳ φωνήν, παρῃτῆσθαί φησι τὸ τῶν ἐχθρῶν δικαστήριον καὶ σιγῶν ἁλῶναι. πῶς ἄν τις μᾶλλον ἐξελεγχθείη καὶ πρὸς τὴν ἀλήθειαν καὶ πρὸς ἑαυτὸν ἐναντίως ἔχων; ὅταν ἐγκαλῆται περὶ τῆς ἐπιγραφῆς τοῦ λόγου, τῇ κρίσει τὴν ἀνάγκην τῆς ἀπολογίας προστίθησιν· ὅταν ἐλέγχηται μηδὲν ἐπὶ τῶν δικαζόντων εἰπών, ἀρνεῖται τὴν κρίσιν καὶ ἀπαξιοῖ τοὺς δικάζοντας.
74 ὁρᾶτε τὸν σφοδρὸν τοῦτον πρόμαχον τῆς ἀληθείας, ὡς ἐρρωμένως πρὸς τὸ ψεῦδος ἀντικαθίσταται. εἶτα τοιοῦτος ὢν πονηρὸν καὶ κακοήθη καὶ ψεύστην τὸν μέγαν Βασίλειον ὀνομάζειν τολμᾷ, καὶ ἔτι πρὸς τούτοις θρασύν, ἀμαθῆ, παρέγγραπτον, τῶν θείων ἀμύητον, προστίθησι δὲ τῷ καταλόγῳ τῆς λοιδορίας καὶ παραπληξίαν καὶ μανίαν καὶ μυρία τοιαῦτα σποράδην παντὶ κατα-

7 τοῖς ἰδίοις ἁλίσκεται <πτεροῖς>? cf Aesch frg 139 N.[2] 12 cf Paroemiogr Graeci ed Schneidewin-Leutsch tom I p 253.

VLBCTS 1 περὶ ἑαυτοῦ V προσκατασκευαζομένου CT 3 παρενέπεσον v 4 τὸ μὴ L 4-5 ἀπολογίαν BT: ἀκολουθίαν VLCS v 5 οὐδὲ BCTS v: αὐτῶ L αὐτὸ V 6 πρόσκειται VL νῦν: τοί νῦν L ἀλλ': καὶ V 7 προστεθὲν VL 14 ἔρρηξεν: ἔδειξεν V 16 μᾶλλον post ἐξελεγχθείη coll BT 17 ἐγκαλεῖται v 19 προτίθησιν v 21 τοῦτον post σφοδρὸν add VL: om BCTS v 25 παράγραπτον v

μιγνύων τῷ λόγῳ, ὥσπερ ἐξαρκεῖν οἰόμενος τὴν ἑαυτοῦ πικρίαν ἀντίρροπον ταῖς πάντων ἀνθρώπων μαρτυρίαις γενήσεσθαι, οἳ καὶ τὸ ὄνομα τοῦ μεγάλου καθάπερ τινὸς τῶν ἀρχαίων ἁγίων τεθήπασι, καὶ νομίζει τὸν ἄτρωτον τῷ μώμῳ δύνασθαι μόνον διὰ τῆς λοιδορίας λυμήνασθαι. οὐχ οὕτω ταπεινὸς ὁ ἥλιος, ὡς μέχρις ἐκείνου φθάσαι τὸν κατ' αὐτοῦ
75 λίθους ἢ ἄλλο τι βάλλοντα· πάλιν γὰρ ἐπαναστρέφει τὰ βληθέντα κατὰ τοῦ πέμψαντος, ὁ δὲ σκοπὸς μένει τῆς βολῆς
273 M. ὑψηλότερος. κἂν τις ὡς ἀλαμπῆ διαβάλλῃ τὸν ἥλιον, οὐ τὸ φῶς τῆς ἀκτῖνος ἐκ τῶν σκωμμάτων ἠμαύρωσεν, ἀλλ' ὁ μὲν ἥλιος ἔσται καὶ σκωπτόμενος ἥλιος, τοῦ δὲ λοιδοροῦντος ὡς ἀφεγγῆ τὴν ἀκτῖνα ἡ πήρωσις τῶν ὁρατικῶν αἰσθητηρίων ἀπελεγχθήσεται· κἂν ὅτι μάλιστα τούς τε ἀκουσομένους καὶ τοὺς ἐντευξομένους πείθειν ἐθέλῃ καθ' ὁμοιότητα τῆς ἀπολογίας ἐκείνης μὴ ταῖς πάντων περὶ τοῦ ἡλίου δόξαις προστίθεσθαι μηδὲ τὴν τῶν πολλῶν πεῖραν τῆς ἰδίας ὑπολήψεως ποιεῖσθαι κυριωτέραν, *τῇ πλείονι μοίρᾳ τὸ κρεῖττον προσάπτοντας*, μάτην ἐπὶ τῶν βλεπόντων παραληρήσει καὶ εἰς οὐδὲν πλέον ταῖς κοιναῖς δόξαις ἑαυτὸν ἀντιστήσει.

76 Εἴ τις οὖν εὔνους τῷ Εὐνομίῳ, πεισάτω χαλινὸν αὐτὸν ἐπιθεῖναι τῷ στόματι μηδὲ ἀφηνιάζειν τῇ ἀταξίᾳ τοῦ λόγου μηδὲ πρὸς κέντρα λακτίζειν μηδὲ θρασυστομεῖν κατὰ τοῦ τιμίου ὀνόματος, ἀλλὰ καὶ τῇ μνήμῃ λαμβάνοντα μόνον τὸν μέγαν Βασίλειον εὐλαβείας καὶ δέους τὴν ψυχὴν ἀναπίμ-
77 πλασθαι. τί γὰρ αὐτῷ καὶ πλέον ἐκ τῆς ἀμέτρου πομπείας

23 Act 26,14 θρασυστομεῖν Aesch Suppl 203 26 Demosth cor 11

VLBCTS 1 τῶ λόγω καταμιγνύων VBT 2 ἀντίρροπον post μαρτυρίαις coll S 4 νομίζειν prius L sed ν expunxit 6 μέχρι v 9 διαβάλλει V 11 ἔσται BCTS v: ἔστω VL καὶ ante σκωπτόμενος om BCT 14 ἐθέλει L 16 τὴν ante τῶν om v 19 παραληρήσει BCT: ληρήσει VLS v verba καὶ εἰς οὐδὲν πλέον usque ad 20 ἀντιστήσει om v κοιναῖς VLS: κεναῖς BCT 21 εἴ S: om cett ἐν τῶ εὐνομίω V αὐτὸν VCS v: αὐτῶ L om BT

ταύτης γενήσεται, ὅταν ὁ μὲν τοιοῦτος δοκῇ παρὰ πᾶσιν οἷον αὐτὸν ἀνακηρύττει ὁ βίος, ὁ λόγος, ἡ κοινὴ τῆς οἰκουμένης περὶ αὐτοῦ μαρτυρία, ὁ δὲ κακίζειν ἐπιχειρῶν τὸν ἑαυτοῦ δεικνύῃ τρόπον, ὡς μὴ δυνάμενος, καθώς φησί που τὸ εὐαγγέλιον, ἀγαθὰ λαλεῖν τῷ πονηρὸς εἶναι, ἀλλ' ἐκ τοῦ περισσεύματος τῆς καρδίας φθέγγεσθαι καὶ ἐκ τοῦ πονηροῦ θησαυροῦ προχειρίζεσθαι; ὅτι γὰρ ψιλὰ τῆς λοιδορίας ἐστὶ τὰ ῥήματα τῆς τῶν πραγμάτων ἀληθείας οὐ προσαπτόμενα, ἐξ
78 αὐτῶν ἐστι τῶν γεγραμμένων ὁ ἔλεγχος. ὑπέθετό τινα τόπον ἐν ᾧ τὸν περὶ τῶν δογμάτων ἀγῶνα συστῆναί φησιν, ἀνώνυμον δὲ τοῦτον καὶ οὐδενὶ γνωρίμῳ σημείῳ δηλούμενον, ὥστε ἀνάγκην εἶναι τῷ ἀκροατῇ πεπλανημένως τῶν ἀδήλων καταστοχάζεσθαι· ἐν τούτῳ φησὶ *σύλλογον* γεγενῆσθαι *τῶν πανταχόθεν λογάδων* καὶ ἐνακμάζει τῷ λόγῳ νεανικῶς, ,,ὑπ' ὄψιν ἄγων'' δῆθεν τὴν τῶν πραγμάτων διασκευήν.
79 εἶτα *διδασκάλοις τισὶ* λέγει, μηδὲ τούτων ὀνομαστὶ μεμνημένος, *τὸν περὶ τῶν ἐσχάτων προκεῖσθαι δρόμον*, *ὑποφωνεῖν* δὲ παρόντα τὸν ἡμέτερον καθηγητὴν καὶ πατέρα, *τῆς δὲ κρίσεως πρὸς τοὺς ἐναντίους τὸ κράτος μετατιθείσης* φεύγειν αὐτὸν τοὺς *τόπους*, *καταλιπόντα τὴν τάξιν*, καί τινα *καπνὸν τῆς πατρίδος μεταδιώκειν*, καὶ πολύς ἐστι διασύρων ἐν τῇ ὑπογραφῇ τῆς δειλίας τὸν ἄνδρα· ἅπερ ἔξεστιν ἐκ τῶν ἐκεῖ γεγραμμένων τῷ βουλομένῳ μαθεῖν. οὐ γὰρ ἐμοὶ σχολὴ πάντα τὸν ἔμετον τῆς ἐκείνου χολῆς τῶν ἐμῶν λόγων κατασκεδάζειν,

4 Matth 12,34-5 15 ,,ὑπ' ὄψιν ἄγων'' δῆθεν] rhetorum praeceptum est admodum decantatum cf Anon de sublim XV 1, Anon Seguer 96. 111. 533 al. id igitur vult νεανικῶς 25 cf Demosth cor 50

VLBCTS 4 δεικνύῃ BCTS: δεικνύει VL editores, qui a verbis 3 ὁ δὲ κακίζειν novam enuntiationem incipiunt τρόπον: βίον S 5 τῷ: διὰ τὸ VL 9 τόπον VLS v: τρόπον CT et B prius, sed postea effecit τόπον 14 λογάδων: λόγων V 15 κατασκευὴν V 16 διδασκάλοις: δικασταῖς v 17 τῶν περὶ L 23 ἐκεῖ VLS: om BCT v ἐκείνῳ malim 24 τῶ μὴ βουλομένω V sed exp μὴ παθεῖν V 25 σχολῆς L de verbo κατασκεδάζειν cf ad 32, 16

ἀλλ' οὗ χάριν ἐπεμνήσθην τῶν εἰρημένων, πρὸς τοῦτο καὶ
μεταβήσομαι.
80 Τίς ἐκεῖνος ὁ ἀνώνυμος χῶρος ἐν ᾧ ὁ περὶ τῶν δογ-
μάτων ἐξετάζεται λόγος; τίς ὁ καιρὸς ὁ τοὺς ἀρί-
στους ἐπὶ τὸν ἀγῶνα καλῶν; τίνες οἱ ἄνθρωποι
οἱ διὰ γῆς καὶ θαλάττης πρὸς τὴν κοινωνίαν
τῶν πόνων ἑαυτοὺς κατεπείξαντες; τίνα λέγει κόσ-
μον ἐπὶ τοῖς ἐκβησομένοις μετέωρον, ἀναμέ-
276 M. νοντα τῆς ψήφου τὴν κρίσιν; ἢ τίς ὁ διατιθεὶς
81 τοὺς ἀγῶνας; ἢ ταῦτα μὲν ἐάσθω κατὰ τὴν τῶν παίδων
ἐν τοῖς διδασκαλείοις συνήθειαν τοῖς τοιούτοις παρευρέ-
μασιν ὄγκον τινὰ καὶ μέγεθος ἐπιμηχανᾶσθαι τῷ λόγῳ,
ἐκεῖνο δὲ μόνον εἰπάτω, τίς ὁ ἄμαχος ἐκεῖνος ἀγωνι-
στής ᾧ συμπλακῆναί φησι δειλιᾶσαι τὸν διδάσκαλον
ἡμῶν. εἰ μὲν γὰρ καὶ τοῦτο συμπέπλασται, νικάτω πάλιν καὶ
τὸ πλέον ἐχέτω τῆς ματαιότητος, ἡμεῖς δὲ σιγήσομεν· ἐν
γὰρ τῷ σκιαμαχεῖν ἐπ' οὐδενὶ χρησίμῳ ἡ ἀληθής ἐστι νίκη
82 τὸ τῆς τοιαύτης νίκης ἑκουσίως ὑφίεσθαι· εἰ δὲ περὶ τῶν
ἐν Κωνσταντινουπόλει γεγονότων φησὶ κἀκεῖνο τὸ συνέδριον
λέγει καὶ ταῖς ἐκεῖ τραγῳδίαις ἐμφλεγμαίνει τῷ λόγῳ καὶ
τὸν μέγαν καὶ δυσανταγώνιστον ἀθλητὴν ἑαυτὸν ὀνομάζει, δε-
ξαίμεθα <ἂν> τὰς αἰτίας, ὅτι παρόντες τῷ καιρῷ τῶν ἀγώνων
τοῖς ἀγωνιζομένοις οὐ συνεπλάκημεν.
83 Δειξάτω τοίνυν ὁ ἐκείνῳ τὴν δειλίαν ἐπονειδίζων, εἰ κατ-
ῆλθεν εἰς μέσους αὐτός, εἴ τινα ἔρρηξεν ὑπὲρ τῆς καθ'
ἑαυτὸν εὐσεβείας φωνήν, εἰ κατέτεινε λόγον νεανικῶς, εἰ λαμ-
πρῶς πρὸς τοὺς ἀντιτεταγμένους διηγωνίσατο· ἀλλ' οὐκ ἂν
εἰπεῖν ἔχοι ἢ ἑαυτῷ μάχεται περιφανῶς. ὡμολόγησε γὰρ

4 sq cf etiam Bas c Eun I p 504 C

VLBCTS 3 ὁ post ᾧ om v 5 ἐπὶ τοὺς ἀγῶνας VL 6 θαλάσσης S 7 κατεπείξοντες L 8-9 ἄνω μένοντα V 11 ἐν ante τοῖς τοιούτοις add v 13 ἐκεῖνα V 14 δειλιᾶται VS 16 πλεῖον V 17 σκιαμαχεῖν BL v: σκιομαχεῖν VCTS 18 τῶ τῆς L 21 τὸν om S 22 ἂν supplevi 24 ὀνειδίζων V 25 εἴ τινα: ἤ τινα L 26 ἢ pro εἰ ante λαμπρῶς V, effecit L 26-27 λαμπρῶς: κακῶς V sed suprascripsit λαμπρῶς

σιωπῇ δεδέχθαι τὴν παρὰ τῶν δικαστῶν ἐπενεχθεῖσαν ψῆφον.
84 εἰ τοίνυν ἔδει παρὰ τοὺς ἀγῶνας λέγειν (τοῦτο γὰρ νομο-
θετεῖ νῦν τῷ συγγράμματι), διὰ τί τότε σιωπῶν κατακρίνεται;
εἰ δὲ καλῶς ἐποίησεν ἐπὶ τῶν δικαζόντων τὴν ἡσυχίαν τι-
μήσας, τίς ἡ ἀποκλήρωσις τὸν μὲν ἐπαινεῖσθαι σιγῶντα,
ἡμῖν δὲ πρὸς διαβολῆς εἶναι τὴν ἡσυχίαν; τί ἄν τις ἀδικώ-
τερον τῆς ἀτοπίας ταύτης ἐπινοήσειεν, εἰ τῶν δύο μετὰ τοὺς
ἀγῶνας πεποιημένων τὸν λόγον ἑαυτὸν μὲν κατὰ καιρὸν ἀπο-
λελογῆσθαι λέγει, τοσοῦτον τοῦ καιροῦ κατόπιν γενόμενον, τὸν
δὲ ἀντειπόντα τῷ λόγῳ κακίζει ὡς τοῦ καιροῦ τῶν ἀγώνων
καθυστερήσαντα; ἢ τάχα προδιαβαλεῖν ἔδει τῇ ἀντιρρήσει
τὸν μέλλοντα ῥηθήσεσθαι λόγον· τοῦτο γάρ, ὡς ἔοικε, τῷ
85 ἐγκλήματι λείπεται. τί δήποτε προγνούς, ἃ γράφειν ἔμελλε,
παρὰ τὸν τῆς κρίσεως ἐκείνης καιρὸν οὐ διήλεγξεν; ὅτι γὰρ
οὐκ ἐν τῇ κρίσει τὴν ἀπολογίαν ταύτην πεποίηται, φανερόν
ἐστι, δι' ὧν ὡμολόγησε. πάλιν γὰρ τῶν αὐτῶν ῥημάτων ἐπι-
μνησθήσομαι. ἡμεῖς γάρ, φησίν, ὅτι σιωπῶντες ἑάλω-
μεν, ὁμολογοῦμεν, καὶ τὴν αἰτίαν προστίθησι· πονη-
ρῶν, φησίν, ἀνθρώπων τὴν τοῦ δικάζειν ἀξίαν λαχόν-
των, μᾶλλον δέ, ὡς αὐτὸς λέγει, εἰς τὴν τῶν δικα-
86 ζόντων χώραν εἰσφρησάντων. ὅτι δὲ πάλιν τὸν προσ-
ήκοντα καιρὸν τῇ ἀπολογίᾳ προσμαρτυρεῖ, ἐξ ἑτέρων ὧν
εἶπε δῆλόν ἐστιν. οὕτω γὰρ ἡ λέξις ἔχει· ἀλλ' ὅτι μέν,
φησίν, οὐ πλασάμενος, ὑπὸ δὲ τῶν μεσιτῶν ἀναγ-
καζόμενος κατὰ τὸν προσήκοντα καιρὸν καὶ τρό-
πον ἐπὶ τὴν ἀπολογίαν προήχθην, ἔκ τε τῶν
πραγμάτων αὐτῶν καὶ τῶν τούτου λόγων γέγονε
δῆλον. τί οὖν ἐρεῖ ὁ πανταχοῦ ῥᾳδίως ἐπιστρέφων τὸν

17 cf Bas c Eun I p 504 C

VLBCTS 1 παρὰ: περὶ T ἐξενεχθεῖσαν VL 2 λέγειν: λόγων V 3 νῦν om V 4 δικαζόντων: ἀκμαζόντων V 6 πρὸς: διὰ V διαβολὴν S 10 κακίζειν v 11 προδιαβαλλεῖν L (sic) 12 τοῦτο: τούτω V 13 ἤμελλε VL 16 αὐτῶν: αὐτοῦ V 17-18 ἑαλώκαμεν VL 24 ὑπὸ correxi: ὑπὲρ libri v 27 αὐτῶν: αὐτοῦ V 28 περιστρέφων S

λόγον; οὐκ ἔδει σιωπᾶν ἐπὶ τῶν ἀγώνων Βασίλειον;
διὰ τί οὖν ἄφωνος ἐπὶ τῶν αὐτῶν ἀγώνων Εὐνόμιος; ἀλλ'
εὔκαιρος ἡ μετὰ τοὺς ἀγῶνας ἀπολογία τούτῳ· πῶς οὖν
ἄκαιρος ἡ πρὸς τὰ εἰρημένα μάχη ἐκείνῳ;
277 M. Ἀλλὰ πάντων μᾶλλον, ὡς ἔοικεν, ἀληθὴς τοῦ ὁσίου ὁ
87 λόγος, ὅτι ἐν προσποιήσει δὴ τῆς ἀπολογίας κατασκευὴν τῶν
δογμάτων ἑαυτοῦ πρὸς τὸ δοκοῦν ἐποιήσατο, καὶ ὁ κατ' ἀλή-
θειαν τοῦ Φινεὲς ζηλωτής, ὁ ἐξολοθρεύων ἐν τῇ ῥομφαίᾳ
τοῦ λόγου πάντα τὸν ἀπὸ τοῦ κυρίου πορνεύσαντα, τὴν ἰατικὴν
μὲν τῆς ψυχῆς, ἀναιρετικὴν δὲ τῆς ἀσεβείας ἐπήγαγε μάχαι-
88 ραν, τὴν ἀντίρρησιν λέγω τῆς βλασφημίας. εἰ δὲ ἀντιτύπως
οὗτος ἔχει καὶ τὴν θεραπείαν οὐ δέχεται ὁ τὴν ψυχὴν
ἑαυτοῦ διὰ τῆς ἀποστασίας νεκρώσας, τοῦ ἑλομένου τὸ κακὸν
ἡ αἰτία· φησὶ τοῦτο καὶ ὁ ἔξωθεν λόγος. τοιοῦτος μὲν οὖν
κατά τε τῆς ἀληθείας καὶ καθ' ἡμῶν ὁ Εὐνόμιος. ἡμῖν
δὲ ἐξῆν μὲν κατὰ τὸν ἀρχαιότερον νόμον τὸν συγχωροῦντα
τοῖς ἴσοις ἀμύνεσθαι τοὺς ὑπάρξαντας ἀφθόνως αὐτὸν ἀντι-
βάλλειν τοῖς ὀνείδεσι καὶ ἐν πολλῇ τῇ ῥᾳστώνῃ πρὸς τὸν
λελυπηκότα φιλοτίμως ταῖς λοιδορίαις ἐνδαψιλεύεσθαι· εἰ
γὰρ τοσοῦτον ἐκεῖνος εἰς ὕβριν καὶ λοιδορίαν εὐπόρησε
κατὰ τοῦ μηδεμίαν εἴσοδον δεδωκότος τῷ μώμῳ, πόσους
εἰκὸς εὑρεθῆναι τοιούτους λόγους τοῖς τὸν σεμνὸν αὐτοῦ δια-
89 κωμῳδοῦσι βίον; ἀλλ' ἐπειδὴ τῷ εὐαγγελίῳ μαθητεύειν ὑπὸ
τοῦ μαθητοῦ τῆς ἀληθείας ἐξ ἀρχῆς ἐπαιδεύθημεν, οὔτε

5-7 Bas c Eun I p 501 B 8 Num 25, 7 praeterea Gregorio fortasse Naum 3, 15 ob oculos versatur 13-14 Plat Resp X 617 E 16 Levit 24, 19-20 23 Matth 5, 38-39

VLBCTS 1 Βασίλειον om v 3 τούτῳ: τούτων VL sed ν in fine eras L 8 τοῦ φινεὲς λόγου ζηλωτὴς V 9 τοῦ ante κυρίου om VS ἰατικὴν VL: ἰατρικὴν BCTS v 9-10 τῆς ψυχῆς μὲν τὴν ἰατικὴν V 10 ἀπήγαγε v 11 ante λέγω rasura unius ut vid litt L 12 οὗτος VBCTS v: οὕτως L 17 πράρξαντας L (sed πρα in rasura L[2]) primo extitisse videtur ὑπάρξαντας 19 ἐνδαψιλεύεσθαι S v: ἐνδαψιλεύσασθαι VLBCT 20 τοσοῦτον: τοσούτων BCT v displicet supplere λόγων ex iis quae sequuntur ηὐπόρησε VS 21 κατὰ τοῦ: κατὰ τοῦτο V ἴσως post μηδεμίαν add V ex coniectura δεδωκότα εἴσοδον V 24 τοῦ ante μαθητοῦ LC (sscr manus altera): om VBTS v

ὀφθαλμὸν ἀντεκκόπτομεν οὔτε ὀδόντα ὀδόντος ἀνταλλασσό-
μεθα, εἰδότες ὅτι τὰ πονηρὰ τῶν γινομένων τοῖς ἐναντίοις
λύεσθαι πέφυκε καὶ οὐκ ἄν τι τῶν κακῶς λεγομένων ἢ
πραττομένων εἰς τὸ ἀνήκεστον προχωρήσειεν, εἴ τι τῶν χρη-
στοτέρων διὰ μέσου παρεμπεσὸν τὸ συνεχὲς τῆς τῶν κακῶν
90 ἀκολουθίας ἐκκόψειεν. οὐκοῦν καὶ ἡ τοῦ λοιδορεῖσθαι καὶ
ὑβρίζειν ἀκολουθία διὰ μακροθυμίας ἵσταται τῆς ἐπὶ τὰ
πρόσω φορᾶς· ὡς εἴ γέ τις ὕβρει τὴν ὕβριν καὶ λοιδορίᾳ τὴν
λοιδορίαν ἀμύνοιτο, πλεονάσει πάντως τρέφων διὰ τῶν ὁμοίων
τὸ ἄτοπον.
91 Διὰ τοῦτο πάντα τὸν ἐν τῷ μέσῳ λόγον καταλιπών,
ὕβριν ὄντα καὶ χλευασμὸν καὶ λοιδορίαν καὶ σκώμματα, πρὸς
τὴν τοῦ δόγματος ἐξέτασιν κατεπείξω τὸν λόγον. εἰ δέ τις
παραιτεῖσθαί με τὸ λοιδορεῖν δι' ἀπειρίαν τῆς τῶν ὁμοίων
ἀντιδόσεως λέγοι, σκεψάσθω ἑαυτόν, ὅση πρὸς τὸ χεῖρόν
ἐστιν ἡ εὐκολία δίχα τινὸς πραγματείας αὐτομάτως πρὸς
92 τὴν ἁμαρτίαν κατολισθαίνουσα. τὸ γὰρ γίνεσθαι κακὸν ἐν
τῷ προελέσθαι μόνον ἀπόκειται καὶ ἤρκεσε πολλάκις πρὸς
τελείωσιν κακίας ἡ βούλησις. πολὺ δὲ πλέον τὸ εὔκολον ἐν
τοῖς κατὰ τὴν γλῶσσάν ἐστι πλημμελήμασι. τὰ μὲν γὰρ
λοιπὰ τῶν ἁμαρτημάτων καὶ χρόνου καὶ πραγμάτων καὶ
τῆς ἔξωθεν συνεργίας εἰς τὸ γενέσθαι προσδέεται, ἡ δὲ τοῦ
93 λόγου πρόσφυσις κατ' ἐξουσίαν ἔχει τὸ πλημμελεῖν. ἀπό-
δειξις δὲ τῶν λεγομένων αὐτὸς ὁ ἐν χερσὶν ἡμῶν τοῦ Εὐνο-
μίου λόγος, ὃν ὁ μὴ παρέργως κατανοήσας εὑρήσει τὸ κάτ-
αντες τῆς ἐν τοῖς ῥήμασιν ἁμαρτίας, ἣν μιμεῖσθαι πάντως
τῶν εὐπορωτάτων ἐστί, κἂν παντελῶς τις ἀμελετήτως ἔχῃ

VLBCTS 4 ἀνήκεστον BCTS v: ἀνηκὲς L μὴ ὂν V εἴ τι: εἰ μή τι V 5 post παρεμπεσὸν rasura unius ut vid litterae L 6 καὶ post οὐκοῦν om L v 11 τῷ ante μέσῳ om V κατέλιπον V 12-13 καὶ ante πρὸς τὴν add V 13 κατεπείγω V 14-15 τῆς τῶν ὁμοίων ἀντιδόσεως VLS: τῆς om BCT sed add postea B[2] τῶν ὁμοίων ἀντιδόσεων v 16 αὐτομάτως om BCTS 17 γενέσθαι V 19 πλεῖον V 20 τὴν ante γλῶσσαν om BT 27 ἔχῃ V: ἔχοι LBCTS v

τῆς τοῦ βλασφημεῖν ἐμπειρίας. τί γὰρ δεῖ κάμνειν ὀνοματο-
ποιοῦντα τὰς ὕβρεις, ἐξὸν τοῖς ῥηθεῖσιν αὐτοῖς ἐπὶ τὸν ὑβρί-
280 M. σαντα χρήσασθαι; πάντα γὰρ ἐν τῷ μέρει τούτῳ τοῦ λόγου
ψευδῆ καὶ βλάσφημα πρὸς τὰ ἐν αὐτῷ παραδείγματα συμ-
πεπλασμένα διερραψῴδησε, καὶ οὐκ ἔστιν ὅ τι οὐκ ἐγγέ-
94 γραπται τῶν ἀτόπων. δεινός, φησίν, ἐριστικός, ἀλη-
θείας ἐχθρός, σοφιστής, ἀπατεών, ταῖς τῶν
πολλῶν δόξαις καὶ μνήμαις ἀντιταττόμενος, τὸν
ἐκ τῶν πραγμάτων οὐκ αἰσχυνόμενος ἔλεγχον,
οὐ φόβον ἐκ τῶν νόμων, οὐ ψόγον ἐξ ἀνθρώπων
διευλαβούμενος, ἀλήθειαν δεινότητος διακρί-
νειν οὐκ ἐπιστάμενος· προστίθησι τούτοις καὶ ἀν-
αίδειαν καὶ πρὸς τὸ λοιδορεῖν ἑτοιμότητα·
εἶτα ἐκμελῆ φησι καὶ μαχομένων ὑπονοιῶν πλήρη
καὶ ἐξ ἀναρμόστων τὸν λόγον ἁρμόζοντα καὶ
ταῖς ἰδίαις φωναῖς μαχόμενον καὶ τὰ ἐναντία
95 φθεγγόμενον. καὶ πολλὰ εἰπεῖν περὶ αὐτοῦ κακὰ θέ-
λων, εἶτα τὴν πικρίαν τῆς ψυχῆς ἐμπλῆσαι ἐν τῇ καινό-
τητι τῶν ὕβρεων οὐ δυνάμενος, ἐπειδὴ οὐκ ἔχει ὅ τι καὶ
εἴπῃ, πολλάκις ἐπὶ τὰ αὐτὰ ἐπανέρχεται καὶ ἅπαξ εἰπὼν
ἐπανακυκλοῖ πάλιν καὶ ἐκ τρίτου τὰ αὐτὰ καὶ ἐκ τετάρτου
καὶ ὑπὲρ τοῦτο, ὥσπερ τινὰ δίαυλον ἀνακάμπτων τῷ λόγῳ
διὰ τῶν αὐτῶν ὕβρεων καὶ τῆς λοιδορίας ληρημάτων, ἄνω
καὶ κάτω διὰ τῶν ὁμοίων περιχωρῶν· ὥστε μηκέτι χαλεπαί-
νειν αὐτοῦ τῇ ἀναισχυντίᾳ τῶν ὕβρεων, ἐν τῷ προσκορεῖ τῶν
96 λεγομένων τὸν θυμὸν ὑπεκλύοντα. βδελύξαιτο γὰρ ἄν τις

21 ἐπανακυκλοῖ] color satiricus cf Lucian Nigr 6 (etiam p 55, 2 sq)

VLBCTS 1 δεῖ: δὴ V qui post κάμνειν addit πρέπει 3 μέρει: μέμψεως v 5 ἐρραψῴδησε BCT 7-8 ἀντιτασσόμενος ταῖς τῶν π. δ. καὶ μν. V 8-9 τὸν ἐκ usque ad 9 αἰσχυνόμενος om L 10 τὸν post φόβον addunt v τὸν ἐξ ἀνθρώπων ψόγον VL 11 εὐλαβούμενος v 13 ἑτοιμότατα L sed η sscr ead man 18 ἐμπλῆσαι τὴν πικρίαν τ. ψ. VL 20 εἴπῃ VLS: εἴπει C εἴποι BT v 21 ἐπανακυκλεῖ VL 22 ἀνακόπτων B 23 αὐτῶν om V καὶ τῶν τῆς VS ληρημάτων: ῥημάτων V 25 προσκορεῖ: post ι una litt eras L 26 βδελλύξαιτο V γὰρ om v

μᾶλλον ἢ εἰς ὀργὴν ἔλθοι· οὕτως ἀνδραποδώδη καὶ χαρίτων
ἄμοιρα καὶ ἀπὸ τῆς τριόδου τὰ σκώμματα, γραός τινος δια-
κωθωνιζομένης καὶ ὑπ' ὀδόντα γρυζούσης οὐδ' ὁτιοῦν διαφέ-
ροντα.
97 Τί οὖν; ἆρα ἐπεξελθεῖν δεῖ τοῖς καθ' ἕκαστον καὶ περὶ
πάντων τῶν ἐφ' ὕβρει ῥηθέντων φιλοπόνως ἀπολογήσασθαι,
ὅτι οὐκ ἦν τοιοῦτος καθ' οὗ ταῦτα συμπέπλασται; ἀλλ'
οὕτω γ' ἂν καὶ ἡμεῖς συγκαθυβρίζειν δοκοίημεν τὸν ἀντὶ
φωστῆρος τῇ γενεᾷ διαλάμψαντα, ἀγαπητῶς τὸ μὴ κακοῦργον
καὶ κατεγνωσμένον εἶναι διὰ τῶν λόγων ἀποδεικνύοντες.
98 ἀλλὰ μέμνημαι τῆς θείας ἐκείνης φωνῆς, ὡς προφητικῶς
περὶ αὐτοῦ τὰ ἐκ τῆς προφητείας ἐφθέγξατο, ὅπου ταῖς
ἀναισχύντοις αὐτὸν τῶν γυναικῶν παρεικάζει, αἳ τὰ ἴδια
ὀνείδη ταῖς σωφρονούσαις προφέρουσι. τίνα γὰρ ἐχθρὸν τῆς
ἀληθείας οἱ λόγοι κηρύσσουσι; τίνα ταῖς τῶν πολλῶν δόξαις
ἀντιτασσόμενον; τίς αἰτεῖται παρὰ τῶν ἐντυγχανόντων αὐτοῦ
τῷ συγγράμματι μὴ πρὸς τὸ πλῆθος τῶν μαρτυρούντων
ὁρᾶν μηδὲ πρὸς τὴν ἀρχαιότητα βλέπειν μηδὲ πρὸς τὸ
ἀξιόπιστον τῶν πρὸς τὸ κρεῖττον ὑπειλημμένων ῥέπειν ταῖς
99 γνώμαις; ἆρα τοῦ αὐτοῦ ἐστι καὶ ταῦτα γράφειν καὶ ἐκεῖνα
προφέρειν, καὶ ταῖς μὲν ἑαυτοῦ καινοτομίαις ζητεῖν τοὺς
ἀκούοντας ἕπεσθαι, φαυλίζειν δὲ πάλιν ἑτέρους ὡς ταῖς
κοιναῖς ὑπολήψεσιν ἀντιβαίνοντας; τὸ δὲ μὴ αἰσχύνε-
σθαι τὸν ἐκ τῶν πραγμάτων ἔλεγχον καὶ τὸν
ἀνθρώπινον ψόγον καὶ ὅσα τοιαῦτα κατὰ ταὐτὸ διεξ-
έρχεται, ταῖς τῶν ἀκουόντων γνώμαις καταλείπω σκοπεῖν
ἐπὶ τίνος ἀληθές ἐστι λέγειν, ἆρα τοῦ σωφροσύνην καὶ

9 Phil 2, 15 12 unde? 23 cf p 56, 19

VLBCTS 3 ὑποδόντα L 5 ὑπεξελθεῖν V τῷ καθέκαστον V 6 λεχθέντων BT 7 καθὸ V 8 δοκήσαιμεν T v 13 ἀπεικάζει V 14 ταῖς σωφρονούσαις VL v: τοῖς σωφρονοῦσι BCT ταῖς σωφρονοῦσι S προσφέρουσι V (sed cf Demosth cor 252 et Androt 62) 15 κηρύττουσι BCTS v 16 αἰτεῖ LV παρὰ VLB: περὶ CTS v 20 συγγράφειν S 22 ἔπεσθαι: ἔσεσθαι V δὲ iterat L 25 κατ αὐτὸ L τὸ αὐτὸ S 26 καταλίπω BT καταλιπὼν L

281 M. κοσμιότητα καὶ πᾶσαν καθαρότητα ψυχῆς τε καὶ σώματος
διὰ τῆς ἀκριβεστάτης ἐγκρατείας νομοθετοῦντος ὁμοίως
ἑαυτῷ τε καὶ τοῖς πλησιάζουσιν, ἢ τοῦ κελεύοντος μὴ παρέ-
χειν πράγματα τῇ φύσει πρὸς τὸ δοκοῦν διὰ τῶν τοῦ σώ-
ματος ὀρέξεων προϊούσῃ μηδὲ ἀντιβαίνειν ταῖς ἡδοναῖς
μηδὲ ἀκριβολογεῖσθαι περὶ τὴν τοιαύτην τοῦ βίου σπουδήν;
οὐδὲ γὰρ εἶναί τινα βλάβην ψυχῆς διὰ τῶν τοιούτων συνι-
σταμένην, ἀλλὰ μόνην ἀρκεῖν τῷ ἀνθρώπῳ τὴν αἱρετικὴν
100 πίστιν πρὸς τελειότητα. εἰ δὲ ἀρνεῖται τὸ μὴ οὕτως ἔχειν
αὐτοῖς τὰ διδάγματα, εὐξαίμην ἂν ἔγωγε καὶ τῶν εὖ φρο-
νούντων ἕκαστος ἀληθεύειν αὐτὸν ἐν τοῖς τοιούτοις ἀρνού-
μενον· ἀλλ' οὐκ ἐάσουσιν αὐτῷ προχωρῆσαι τὴν ἄρνησιν
οἱ γνήσιοι μαθηταί, ἢ τὸ μέγιστον αὐτοῦ θεώρημα πεσεῖται
καὶ καταλυθήσεται ἡ συσκευὴ τῶν διὰ τοῦτο μάλιστα προσ-
101 εδρευόντων τῷ δόγματι. ἀναιδὴς δὲ τίς καὶ τὸν ἀν-
θρώπινον ψόγον οὐκ εὐλαβούμενος, ἐκ τῶν ἐν
νεότητι βεβιωμένων ἢ ἐκ τῶν μετὰ ταῦτα βούλει σκοπή-
σωμεν; ἀλλὰ δι' ἀμφοτέρων ἐπ' αὐτὸν ἂν εὕροις ἐπανιοῦ-
σαν τῆς ἀναιδείας τὴν μέμψιν. οὐ τὰ αὐτὰ γὰρ ἑκατέροις
102 οὔτε ἡ νεότης οὔτε ὁ μετὰ ταῦτα μαρτυρεῖ βίος. ὑπο-
μνησάτω ἑαυτὸν ὁ λογογράφος τῶν τε ἐπὶ τῆς πατρίδος
κατὰ τὸν τῆς νεότητος καιρὸν καὶ τῶν ἐν Κωνσταντινου-
πόλει βεβιωμένων αὐτῷ, καὶ ἀκουσάτω παρὰ τῶν εἰδότων
103 οἷα τῷ συκοφαντουμένῳ συνίσασιν. εἰ δὲ ἐκ τῶν ἐφεξῆς
ἐπιτηδευμάτων τις ἐθέλοι σκοπεῖν, αὐτὸς εἰπάτω, τίς ἄξιος

20 meliora de Eunomio narrat Philostorg X 6

VLBCTS 1 τῆς ante ψυχῆς add BT 3 ἑαυτῷ τε καὶ τοῖς VL: ἑαυτῷ καὶ τοῖς BCTS ἑ. ἢ τοῖς v 6 σπουδὴν τοῦ βίου BCT 12 ἐάσουσιν sed ου in rasura L 13 ἢ τὸ: ἤτοι V ἢ τὸ ex ἤτοι effecit L μέγιστα V αὐτοῖς S 14 καταλυθήσεται BCT: λυθήσεται VLS v συσκευὴ S: σκηνὴ VLBCT v glossema scilicet quod in textum irrepsit nam συσκευὴ ad scenam pertinet 15 δὲ τις sed man alt post δὲ interpunx et τίς exar L 17-18 σκοπήσομεν VBC 18 εὕρῃς BT 20 βίος μαρτυρεῖ V 22 καιρὸν τῆς νεότητος VL 22-23 κωνσταντίνου πόλει BCT v 24 συνίσασιν ί in ras L 25 ἐθέλει σκοπεῖν τις S

τοιούτου ὀνόματος, ὁ τὴν πατρῴαν οὐσίαν καὶ πρὸ τῆς ἱερω-
σύνης ἀφειδῶς ἀναλώσας τοῖς πένησι καὶ μάλιστα ἐν τῷ
τῆς σιτοδείας καιρῷ, καθ' ὃν ἐπεστάτει τῆς ἐκκλησίας, ἔτι
ἐν τῷ κλήρῳ τῶν πρεσβυτέρων ἱερατεύων, καὶ μετὰ ταῦτα
μηδὲ τῶν ὑπολειφθέντων φεισάμενος, ὡς ἂν καὶ αὐτὸς τὸ
τοῦ ἀποστόλου καυχήσαιτο ὅτι Δωρεὰν ἄρτον οὐκ ἔφαγον,
ἢ ὁ προσόδων ἀφορμὴν τὴν τοῦ δόγματος προστασίαν πε-
ποιημένος, ὁ εἰσδύνων εἰς τὰς οἰκίας αὐτόκλητος οὐδὲ τὴν
ἐκ τοῦ πάθους ἀηδίαν τῇ καθ' ἑαυτὸν διαγωγῇ περιστέλ-
λων οὐδὲ τὴν φυσικὴν τῶν ὑγιαινόντων πρὸς τοὺς τοιούτους
ἀποστροφὴν λογιζόμενος, ὁ κατὰ τὸν παλαιὸν νόμον διὰ
τὴν ἀφὴν τῆς σημασίας ἔξω τῆς παρεμβολῆς τῶν οἰκούν-
των ἀφοριζόμενος.
104 Προπετὴς δὲ πάλιν καὶ ὑβριστὴς καὶ καθ' ἑκά-
τερον ψεύστης ὀνομάζεται παρὰ τοῦ μακροθύμως ἐν
πραΰτητι τοὺς ἀντιδιατιθεμένους παιδεύοντος.
οὕτω γὰρ ἐν τῷ συγγράμματι τοῖς περὶ αὐτοῦ λόγοις ἐνδια-
θρύπτεται ὁ μηδεμίαν πικρίας ὑπερβολὴν ἀφιεὶς ἐν οἷς ἄν τι
προενεγκεῖν ἐξισχύσῃ. πόθεν τοίνυν καὶ ἐκ ποίων πραγμάτων
105 τὴν ὕβριν αὐτοῦ καὶ τὸ προπετὲς διελέγχει; ὅτι, φησί, καὶ
Καππαδόκην ὄντα με Γαλάτην ὠνόμασεν. εἶτα τὸν
ἐν τῷ μεθορίῳ τῶν πατρίδων τὴν οἴκησιν ἔχοντα ἐν ἀνω-
νύμῳ τινὶ τῆς Κορνιασπινῆς ἐσχατιᾷ εἰ ἀντὶ τοῦ Ὀλτισηρέως

1 cf Greg Nyss or in Bas fratr P G 46,805 D sq de caritate annonae et fame cf Bas hom in fam et sicc praeterea Greg Naz or 20 6 II Thess 3,8 11-12 Levit 13,46 Num 5, 3
23 Corniaspa oppidum in confinio Ponti, Cappadociae, Galatiae situm. Basilius Eunomium Galatam appellat c Eun I

VLBCTS 1 ὁ om pr L sscr L^2 2 ἀφειδῶς om BT καὶ μάλιστα post 3 σιτοδείας tri V 5 καὶ αὐτὸ V 6 ἔφαγον: ἔλαβον S 7-8 ποιησάμενος v 8 οἰκίας: post κ rasura unius litt L 10 οὐδὲ: οὐ BCT 16 πραότητι VS 17 περὶ ἑαυτοῦ LS (ε sscr) 18 post ὑπερ L -βολὴν add in marg L^2 19 προσενεγκεῖν BT v ἐξισχύσει S 20 καὶ ante καππαδόκην om BCT v 21-22 τὸν ἐν om v 22 τῷ ante μεθορίῳ om VLTS 23 τινὶ τῆς Κορνιασπινῆς BCT v (τῆς om T v): τινὶ τῆς κορπηνῆς V τινὶ τῆς κορνιασπηνῆς L (sed ι eras et accent add L^2) τινὶ τῆς τε κορπηνῆς καὶ τῆς κονιασπη-

Γαλάτην ὠνόμασεν (εἴπερ δὴ ὅλως καὶ τοῦτο προσειπὼν
284 M. ἐπιδείκνυται· οὐ γὰρ εὗρον ἐν τοῖς ἡμετέροις βιβλίοις τοῦτο προσκείμενον, δεδόσθω δὲ ὅμως εἰρῆσθαι) ὑπὲρ τούτων προπετὴς καὶ ὑβριστὴς καὶ ψεύστης καὶ πάντα ὀνομάζεται τὰ δεινότατα; καὶ οὐ συνίησιν ὁ σοφός, ὅτι ἡ ἐπὶ μικροῖς παρὰ τοῦ συκοφάντου κατηγορία μεγάλην συνη-
106 γορίαν τῆς δεξιότητος τοῦ κατηγορουμένου παρίστησιν; οὐ γὰρ ἂν πρὸς κατηγορίαν κεκινημένος τῶν μειζόνων φειδόμενος ἐν τοῖς μικροτέροις ἀπησχόλει τὴν πονηρίαν· ὑπὲρ ὧν καὶ πολύς ἐστιν ἐπαίρων καὶ δεινῶν τὸ ἀδίκημα καὶ σεμνῶς περὶ τοῦ ψεύδους φιλοσοφῶν, ἴσον εἰς ἀτοπίαν κρίνων, ἐάν τε περὶ μειζόνων ἐάν τε περὶ μικροτέρων ὁ λόγος.
107 οἶδε γὰρ κατὰ τοὺς πατέρας αὐτοῦ τῆς αἱρέσεως, τοὺς γραμματεῖς λέγω καὶ Φαρισαίους, ἀκριβῶς μὲν διϋλίζειν τὸν κώνωπα, ἀφειδῶς δὲ καταπίνειν τὴν σκολιὰν κάμηλον τὴν τῷ βάρει τῆς πονηρίας πεφορτισμένην. πρὸς ὃν οὐκ ἄτοπον ἦν ἴσως εἰπεῖν ὅτι φείδου τῆς τοιαύτης νομοθεσίας ἐν τῇ καθ' ἡμᾶς πολιτείᾳ, τὸ παρ' οὐδὲν ἡγεῖσθαι κελεύειν βραχύτητι πραγμάτων καὶ μεγέθει διακρίνειν τὴν πρὸς τὸ
108 ψεῦδος διαβολήν. οὐ γὰρ ὁμοίως ἁμαρτάνει Παῦλος ψευ-

p 500 C ubi unus codex Mignei ὁ Γαλάτης omittit, quod Gregorius se in suis exemplaribus invenisse negat. Galatiae non bona erat existimatio cf etiam p 65,25; 66,22. de Cappadocia Eunomii patria cf Philostorg VI 3 14 Matth 23,24

νῆς (sic) S 'Ολτισηρέως scripsi: ὀλτισήρεως VBCTS v ὀλτησίρεως L aliam ethnici formam cf p 33, 17 'Ολτισηριώτης, ubi editores 'Ολτισήριος nulla auctoritate enisi exhibent
VLBCTS 1 verba εἴπερ usque ad 3 εἰρῆσθαι in parenthesi collocavi et sententiam continuavi ad 5 προσειπεῖν v 2 βίβλοις T βιβλίοις effecit T² 3 ὅμως VLS: ὅλως BCT v 4 verba ψεύστης καὶ add VLS: om BCT v 8 κατηγορίαν BS v: κακηγορίαν VLCT 10 verba πολὺς usque ἐπαίρων καὶ om B verba καὶ δεινῶν om VS καὶ δι . . . L sequentes litterae initio versus proximi erasae sunt, in margine leguntur litterae ON ΓΩN iam evanescentes 11 ισον accentus eras σο in ras V spiritus et accentus in ras, item fort ο, add manus altera L 17 ἦν VLC v: om BTS 18 τὸ: τῷ S κελεύειν om VS

δόμενος καὶ 'Ιουδαϊκῶς ἁγνιζόμενος ἐπὶ καιροῦ τῶν χρησίμως ἀπατωμένων, καὶ 'Ιούδας ἐν τῷ τῆς προδοσίας καιρῷ φίλον καὶ προσήγορον σχῆμα ὑποδυόμενος. ἐψεύσατο καὶ 'Ιωσὴφ ἐν φιλανθρωπίᾳ τοὺς ἀδελφοὺς διαπαίζων, καὶ ταῦτα τὴν ὑγείαν τοῦ Φαραὼ ἐπομνύμενος· ἀλλ' ἐψεύσαντο καὶ οἱ ἀδελφοὶ κατ' αὐτοῦ πρότερον μὲν θάνατον, μετὰ ταῦτα δὲ δουλείαν διὰ τὸν φθόνον βουλεύσαντες, καὶ πολλὰ τοιαῦτα ἔστιν εἰπεῖν· ψεύδεται Σάρρα ἐπερυθριῶσα τῷ γέλωτι· ψεύδεται καὶ ὁ ὄφις εἰς θείαν μεταβαίνειν φύσιν τὸν
109 ἄνθρωπον ἐκ τῆς παρακοῆς εἰσηγούμενος. πολλὴ <μὲν οὖν> τοῦ ψεύδους ἡ πρὸς τὰς ὑποθέσεις διαφορά, καὶ οὐδὲ ἔστιν εἰπεῖν ὅση, εἴτε ἐκ τῶν ἀρχαίων διηγημάτων εἴτε ἐκ τοῦ νῦν βίου δοκιμάζοις τὸν λόγον. οὐκοῦν καὶ ἡμεῖς δεξώμεθα, ὅτι κατὰ τὴν κοινὴν περὶ τῶν ἀνθρώπων ἀπόφασιν, ἣν διὰ τοῦ προφήτου τὸ πνεῦμα τὸ ἅγιον ἀπεφήνατο ὅτι Πᾶς ἄνθρωπος ψεύστης, καὶ ὁ τοῦ θεοῦ ἄνθρωπος συνηνέχθη τῷ ψεύδει, τὴν ὁμορόν τινι χώραν ἀγνοίᾳ ἢ ὑπεροψίᾳ τῆς τοῦ τόπου προσηγορίας κατὰ τὸ συμβὰν ἐπιφημίσας. ἀλλ' ἐψεύσατο καὶ Εὐνόμιος, καὶ τί τὸ ψεῦδος;
110 αὐτῆς τῆς ἀληθείας παραγραφή. τὸν ἀεὶ ὄντα ποτὲ μὴ εἶναι λέγει, τὸν ἀληθῶς υἱὸν ψευδώνυμον ἔχειν τὴν προσηγορίαν κατασκευάζει, τὸν κτίστην πάντων αὐτὸν κτίσμα εἶναι καὶ ποίημα διορίζεται, τὸν κυριεύοντα τῶν ὅλων δοῦλον προσαγορεύει, τὸν ἐκ φύσεως τὸ ἄρχειν ἔχοντα τῇ δουλευούσῃ φύσει συγκατατάσσει. ἆρα μικρὰ τοῦ ψεύδους ἡ διαφορὰ καὶ τοσαύτη, ὡς ἀντ' οὐδενὸς οἴεσθαί τινα τὸ οὕτως ἢ ἑτέρως ἐψεῦσθαι δοκεῖν;

1 Act 21, 26 16 Ps 115,2

VLBCTS 1 ἁγ///νιζόμενος ω erasum ut vid V 6 τὸ ante πρότερον add BCT v 8 ἐπερυθριῶσα LC v: ἐρυθριῶσα VBTS 10-11 μὲν οὖν post πολλὴ addidi: nam quod pro 11-12 καὶ οὐδὲ falso πολλὴ μὲν οὖν iterant VLS, hoc ad sententiae initium referatur oportet, ubi coniunctionem desideramus 14 δεξώμεθα VLS: δεξόμεθα BCT v τὴν ante κοινὴν om VLS 18 τοῦ ante τόπου om L τόπου: τρόπου BCT 22-23 κτίσμα κ. ποίημα διορίζεται εἶναι BT (sed ὁρίζεται T) 26 τοσαύτη BCTS v: πρὸς αὐτῇ V τοιαύτη L οι in rasura L² super η acc eras super υ add L² 27 ὡς ante ἑτέρως addunt S v

111 Ἀλλὰ καὶ τὸν σοφιστικὸν λόγον ἐπονειδίζων
ἑτέροις, θεωρεῖτε οἵαν τῆς τἀληθοῦς ἀποδείξεως ποιεῖται τὴν
ἐπιμέλειαν. εἶπεν ἐν τῷ λόγῳ τῷ πρὸς αὐτὸν ὁ διδάσκαλος
285 M. ἡμῶν, ὅτι ἐν τῷ καιρῷ τῆς τῶν πραγμάτων καταστροφῆς
112 οὗτος ,,ἆθλον τῆς ἀσεβείας τὴν Κύζικον ἀπηνέγκατο". τί
οὖν ὁ τοὺς σοφιστὰς διελέγχων ποιεῖ; εὐθὺς ἐπιφύεται τῷ
τοῦ ἄθλου ὀνόματι καὶ συνομολογεῖσθαι παρ' ἡμῶν φησι
τὸ καὶ ἀπολελογῆσθαι καὶ νικῆσαι διὰ τῆς ἀπολογίας καὶ
τὸ ἐκ τῆς νίκης ἆθλον διὰ τῶν ἀγώνων κομίσασθαι καὶ
συντίθησι συλλογισμόν, διὰ τῶν ἀναντιρρήτων, ὡς οἴεται,
συμπεραίνων τὸν λόγον. εἰρήσεται δὲ αὐτὰ τὰ γεγραμμένα
παρ' αὐτοῦ ἐπὶ λέξεως. εἰ γὰρ τὸ ἆθλον, φησί, νίκης
ἐστὶ γνώρισμα καὶ τέλος, μηνύει δὲ τὴν δίκην
ἡ νίκη, συνεισάγει δὲ πάντως ἑαυτῇ τὴν κατη-
γορίαν ἡ δίκη, ὁ τὸ ἆθλον διδοὺς ἀναγκαίαν
113 εἶναι φήσει καὶ τὴν ἀπολογίαν. τί οὖν ἡμεῖς;
ἠγωνίσθαι μὲν αὐτὸν καὶ πάνυ σφοδρῶς τε καὶ ἐρρωμένως
τὸν πονηρὸν τοῦτον ἀγῶνα τῆς ἀσεβείας οὐκ ἀντιλέγομεν
καὶ οὐ μικρῷ τῷ μέτρῳ τοὺς ὁμοίους ὑπερβεβληκέναι καὶ
ὑπερέχειν ἐν τοῖς κατὰ τῆς ἀληθείας ἱδρῶσιν, ἀλλ' οὐχὶ
κατὰ τῶν ἀντιτεταγμένων ἐσχηκέναι τὰ νικητήρια, συγκρίσει
δὲ τῶν συνδραμόντων αὐτῷ δι' ἀσεβείας ἐπὶ τὴν πλάνην
προτερεύειν πάντων ἐν τῇ περιουσίᾳ τοῦ ψεύδους καὶ οὕτω
λαβεῖν ἀντὶ τῆς εἰς τὸ κακὸν ὑπερβολῆς ἆθλον τὴν Κύ-
ζικον, ὡς πάντων τῶν ἐπὶ τοῖς ὁμοίοις κατὰ τῆς ἀληθείας

4 Bas c Eun I p 505 A cf Philostorg V 3 Socrat IV 7 Sozom IV 25,6 Theodoret H E II 27,21; 29,2

VLBCTS 2 ἑτέρως θεωρεῖται VLS ad οἵαν in marg add ποιῶν ut vid L^{2} τἀληθοῦς correxi: ἀληθοῦς ποιεῖτε pr L ται ex τε eff L^{2} 3 εἶπεν VLS v: εἴ πως BCT 5 τῆς post ἆθλον om BCT 8 ἀπολογίας: αὐτολογίας v 13-14 τὴν δίκην ἡ νίκη libri: τὴν νίκην ἡ δίκη v (cf 61, 17) 16 φήσει: φησί L 17 ἠγωνίσθαι μὲν: ἠγωνίσθημεν BT 19 ὑπερβεβηκέναι BCT v 25 ὡς πάντων: καὶ πάντων CT

κονισαμένων τὸ πλέον ἔχοντα, καὶ ἐπὶ τῇ νίκῃ τῇ κατὰ τὴν
βλασφημίαν ἀναρρηθῆναι λαμπρῷ καὶ περιφανεῖ τῷ κηρύγ-
ματι ἐν τῷ μισθὸν τῆς ἀτοπίας αὐτῷ παρὰ τῶν οὕτως
114 ἀγωνοθετούντων ἐξαιρεθῆναι τὴν Κύζικον. καὶ ὅτι ταῦτα
κατὰ τὴν ῥηθεῖσαν διάνοιαν παρ' ἡμῶν ὡμολόγηται, δεί-
κνυσιν ὁ ἡμέτερος λόγος, ὅτι ἀσεβείας ἆθλον, οὐχὶ ἀπο-
λογίας κατόρθωμά φαμεν αὐτῷ γεγενῆσθαι τὴν Κύζικον.
τί οὖν κοινὸν ἔχει τὰ παρ' ἡμῶν εἰρημένα πρὸς τὴν παι-
διώδη ταύτην τῶν σοφισμάτων πλοκήν, ὡς διὰ τοῦτο συστῆναι
αὐτῷ καὶ τὴν δίκην καὶ τὴν ἀπολογίαν κατασκευάζεσθαι;
ὅμοιον γὰρ τὸ τοιοῦτον ὥσπερ ἄν τις ἐν συμποσίῳ πλείω
τῶν ἄλλων τὸν ἄκρατον ἐγχεάμενος καὶ διὰ τοῦτο γέρως
τινὸς παρὰ τῶν συμμεθυόντων ἀξιωθεὶς τὴν ἐν τῷ συμποσίῳ
νίκην τεκμήριον ποιοῖτο τοῦ καὶ ἐν δικαστηρίοις δεδικάσθαι
115 καὶ ὑπερέχειν δικασάμενος. ἐξέσται γὰρ κἀκείνῳ τὴν πλο-
κὴν τοῦ συλλογισμοῦ τούτου μιμήσασθαι· εἰ τὸ ἆθλον
νίκης ἐστὶ γνώρισμα καὶ τέλος, μηνύει δὲ τὴν δίκην ἡ νίκη,
συνεισάγει δὲ πάντως ἑαυτῇ τὴν κατηγορίαν ἡ δίκη, ἐνί-
κησα τὴν δίκην ἐγώ, ἐπειδὴ πίνων ἐστέφθην ἐν τῷ τῆς
116 πολυποσίας ἀγῶνι. ἀλλ' ἐρεῖ τις πάντως πρὸς τὸν οὕτω
καλλωπιζόμενον, ὅτι ἄλλοι ἀγῶνες ἐν δικαστηρίῳ καὶ ἄλλος
τρόπος τῆς ἐν συμποσίοις ἀθλήσεως· καὶ ὁ νικήσας διὰ

11 leges convivales respicit a philosophis etiam litteris conditas velut Aristotelis Speusippi Xenocratis leges cf Ath I p 3 F (I 7 K) vel Ath XIII p 585 B (III 289 K). legem Tappulam cf apud Petron ed Buecheler p 241 12-19 cf Plin n h XIV 140 *pretium vinolentiae lege accipit*

VLBCTS 1 κονισαμένων L^{2}BCT v: ὁπλισαμένων VS κομισαμένων ut vid pr L nam νι in rasura corr L^{2} τῇ ante κατὰ om v 2 post ἀναρρηθῆναι add τὴν Κύζικον et om λαμπρῷ καὶ L 8 παρ' ἡμῶν τὰ εἰρ. VLS πρὸς τὴν om v 8-9 παιδιώδη VLS: παιδαριώδη BCT v 9 συστῆναι υ in ras corr L 10 κατεσκευάσθαι v 12 τῶν ἄλλων om VS 13 παρὰ VS: κατὰ LBCT v 15 δικασάμενον v 16 τούτου post συλλογισμοῦ add VLS: om BCT v 17 τὴν δίκην ἡ νίκη VLBS (cf p 60, 13-14): τὴν νίκην ἡ δίκη CT v 21 ἐν τῷ δικαστηρίῳ BT 22 ἐν τοῖς συμποσίοις B

τῆς κύλικος οὐδὲν ἔχει πλέον ἐκ τῆς τοιαύτης νίκης τῶν
ἐν δικαστηρίοις ἀντιτεταγμένων αὐτῷ, κἂν τοῖς ἀνθίνοις
στεφάνοις ἐπαγλαΐσηται. οὐκοῦν οὐδὲ ὁ τῷ λόγῳ τῆς ἀσε-
βείας τῶν ὁμοίων προτεταγμένος ἤδη καὶ τοῦ ἐν τῇ κρίσει
νενικηκέναι διὰ τοῦ ἄθλου τῆς ἀσεβείας τὴν μαρτυρίαν
117 παρέχεται. τί οὖν συνηγορεῖ τῇ μὴ ῥηθείσῃ ἀπολογίᾳ ἡ
τοῦ προέχειν αὐτὸν ἐν ἀσεβείᾳ παρ' ἡμῶν μαρτυρία; εἰ
μὲν γὰρ ἀπολογησάμενος πρὸς τοὺς δικαστὰς καὶ τῶν ἀντι-
288 M. τεταγμένων κρατήσας οὕτως ἐδέξατο τὴν ἐπὶ Κυζίκῳ τιμήν,
καιρὸν ἂν εἶχε τὰ ἡμέτερα καθ' ἡμῶν προχειρίζεσθαι·
εἰ δὲ συνεχῶς ἐπὶ τοῦ λόγου μαρτύρεται, ὅτι φεύγων τὸ
δυσμενὲς τῶν κυρίων τῆς ψήφου σιωπῇ δέχεται τὴν ἐπα-
χθεῖσαν αὐτῷ τιμωρίαν, ἐν ἐχθροῖς διαθέσθαι τοὺς ἀγῶνας
οὐκ ἀνασχόμενος, τί ἑαυτὸν φενακίζει καὶ τῇ φωνῇ τοῦ
ἄθλου εἰς μαρτυρίαν τοῦ ἀπολελογῆσθαι συγκέχρηται μὴ
συνιεὶς ὁ θαυμάσιος τοῦ ἄθλου τὴν ἔμφασιν, ὅτι καθάπερ
τι γέρας καὶ ἀριστεῖον αὐτῷ τῆς κατὰ τὴν ἀσέβειαν ὑπερ-
118 οχῆς „ἡ Κύζικος προεπόθη". ἀλλ' ἐπειδὴ πρὸς τὸ δοκοῦν
δέχεται τὸ ἄθλον καὶ ὡς δωρεὰν ἐπινίκιον, δεξάσθω καὶ
τὸ συνημμένον τῷ λόγῳ, ὅτι ἐν ἀσεβείᾳ τὸ πλέον διὰ τῆς
νίκης ἔσχεν. ἐπειδὴ γὰρ τοῖς ἡμετέροις καθ' ἡμῶν ἰσχυ-
ρίζεται, ἢ ἀμφοτέροις ἢ οὐθετέροις κεχρῆσθαι δίκαιος.
119 Ἀλλ' ἐν μὲν τοῖς ἡμετέροις τοιοῦτος· ἐν δὲ τοῖς λοι-

17 Basilium citat (cf c Eun I p 505 B) qui ipse Demosth cor 296 imitatur, locum sane celeberrimum in rhetorum scholis ut probant Anon de sublim XXXII 2 (p 56,6 Vahlen) et Plin ep IX 26,8 qui de hac sententia dicit „*illa notissima*"

VLBCTS 1 ἐκ: διὰ VS   2 τοῖς post κἂν VLBS: τις CT v   4 καὶ om LBCT   5-6 παρέχεται τὴν μαρτυρίαν BCT   μὴ LBCT v: om VS   ῥηθήσῃ pr L ει post θ corr L^2 7 παρέχειν B   8 μὲν om V   9 ἐδέξατο inter ε et δ ras V   13 ἐχθροῖς sed χθροῖς in rasura V   15 ἀπολελογῆσθαι ῆ corr ex ί L^2 16 συνεὶς v   17 αὐτῷ om B   τὴν ante ἀσέβειαν om v   18 προεπόθη BCT v (de praemio in convivio impiorum accepto cogitandum est): προεπεδόθη VLS σ post προ add L^2 -δό- del vol S   19 καὶ post ἄθλον om VLS   22 οὐδετέροις BCT v   δίκαιος VL : δίκαιον ceteri

ποις τῶν ἐφ' ὕβρει ῥηθέντων ἆρά τι ἀληθεύων ἐπιδειχθή-
σεται; ἐν οἷς δειλόν τε καὶ ἄτολμον καὶ τοὺς
τραχυτέρους τῶν πόνων ἀποδιδράσκοντα καὶ
πάντα τὰ τοιαῦτα κατ' αὐτοῦ διεξέρχεται, φιλοπόνως δια-
σκευάζων τῆς δειλίας τὰ πάθη, οἰκίσκον λανθά-
νοντα καὶ θύραν ἀσφαλῶς ἐπικειμένην καὶ
πτόησιν πρὸς τὸν φόβον τῶν εἰσιόντων καὶ
φωνὴν καὶ βλέμμα καὶ τὰ ἐπὶ τοῦ προσώπου
γνωρίσματα καὶ πάντα τὰ τοιαῦτα, δι' ὧν τῆς δειλίας
120 τὸ πάθος διασημαίνεται. ἀλλ' εἰ καὶ μηδὲν ἕτερον κατε-
ψευσμένος ἠλέγχετο, ἱκανὸν ἂν ἦν τοῦτο μόνον αὐτοῦ διε-
λέγξαι τὸν τρόπον. τίς γὰρ οὐκ οἶδε τὸν μέγαν ἐκεῖνον
ἀγωνιστὴν ἐν τῷ καιρῷ τῆς τοῦ βασιλέως Οὐάλεντος κατὰ
τῶν ἐκκλησιῶν τοῦ κυρίου φιλονεικίας ὅπως ὑπερανέστη τῇ
μεγαλοφυΐᾳ τῆς γνώμης τοῦ τοσούτου τῶν πραγμάτων ὄγκου
καὶ τῶν φοβούντων ὑψηλότερος ἦν, πάσης τῆς ἐπιμηχανη-
121 θείσης αὐτῷ καταπλήξεως ὑπεραρθεὶς τῷ φρονήματι; τίς
τῶν κατὰ τὴν ἑῴαν ἀνθρώπων, τίς τῶν κατὰ τὰ τελευταῖα
τῆς καθ' ἡμᾶς οἰκουμένης οἰκούντων τὴν ὑπὲρ τῆς ἀλη-
θείας αὐτοῦ μάχην πρὸς τοὺς κρατοῦντας ἠγνόησε; τίς οὐ
122 κατεπλάγη πρὸς τὸν ἀντίπαλον ἀπιδών; οὐδὲ γὰρ τῶν ἐπι-
τυχόντων εἷς ἦν οὐδὲ ἐν σοφισματίοις κιβδήλοις τὴν τοῦ
νικᾶν ἐκέκτητο δύναμιν, οὗ καὶ τὸ ὑπερέχειν ἄδοξον καὶ τὸ
ἡττηθῆναι ἀζήμιον, ἀλλὰ πᾶσαν μὲν ὑφ' ἑαυτὸν εἶχεν
εὐθηνουμένην τότε τὴν Ῥωμαίων ἀρχήν· καὶ τῇ τοσαύτῃ

13 sq cf quae Greg or in fratr Bas P G 46 p 796 C sq et p 804 A narrat

VLBCTS 2 οὐ ante δειλόν add V   3 τραχυτέρους libri: παχυτέρους v   4 κατ' αὐτοῦ S: καθ' αὐτοῦ VLBCT v   διεξέρχηται T   5 καὶ ante οἰκίσκον addunt v   7 πτόησιν: ποίησιν V   11 ἂν ante ἦν om S v   αὐτῶ S   11-12 διελέγξεται V   13 ἐν τῷ: αὐτῷ v   14 φιλονεικίας: φιλονεικοῦντα V   16 τῆς post πάσης om VS   18 κατὰ ante τὰ om BCT v   21 οὐ γὰρ BCTS v   24-25 εἶχεν εὐθηνουμένην εἶχεν V   25 εὐθηνουμένην: εὐθυνομένην BCT v medium rarum, sed cf εὐθενεῖσθαι Demosth 19,231 quem videtur imitari Gregorius ubi eadem lectionis discrepantia est   τῇ ante τοσαύτῃ om v

βασιλείᾳ κομῶν προείληπτο τῇ κατὰ τοῦ δόγματος ἡμῶν
διαβολῇ, Εὐδοξίου τοῦ Γερμανικείας δι᾽ ἀπάτης αὐτὸν πρὸς
ἑαυτὸν μεταστήσαντος· πάντας δὲ τοὺς ἐν τέλει καὶ τοὺς
περὶ αὐτὸν θεραπευτὰς καὶ τοὺς ἐπὶ τῶν πραγμάτων παρα-
δυναστεύοντας συναγωνιστὰς εἶχε τῆς ἰδίας ὁρμῆς, τοὺς
μὲν ἑκουσίως διὰ τὴν ὁμοιοτροπίαν τῆς γνώμης προσκεκλι-
κότας, τοὺς δὲ πολλοὺς τῷ φόβῳ τῆς δυναστείας τὰ πρὸς
ἡδονὴν ἑτοίμως χαριζομένους, καὶ διὰ τῆς ἀποτομίας τῆς
κατὰ τῶν ἀντεχομένων τῆς πίστεως τῆς ὑγιαινούσης τὴν
123 πρὸς αὐτὸν ἐνδεικνυμένους σπουδήν. ὅτε φυγαὶ καὶ δημεύ-
σεις καὶ ἐξορίαι ἀπειλαί τε καὶ προστιμήματα κίνδυνοι
φυλακαὶ δεσμωτήρια μάστιγες καὶ τί γὰρ οὐχὶ τῶν
δεινοτάτων ἐνηργεῖτο κατὰ τῶν μὴ συντεθειμένων τῇ τοῦ
289 M. βασιλέως ὁρμῇ· ὅτε χαλεπώτερον ἦν ἐν οἴκῳ θεοῦ κατα-
ληφθῆναι τοὺς εὐσεβοῦντας ἢ ἐπὶ τοῖς πονηροτάτοις
124 τῶν ἐγκλημάτων ἁλῶναι. ἀλλὰ τὸ μὲν τούτοις πᾶσι
καθ᾽ ἕκαστον ἐπεξιέναι μεγάλης τινὸς ἂν δέοιτο συγγραφῆς
καὶ χρόνου πολλοῦ καὶ πραγματείας ἰδίας, ἄλλως τε καὶ
φανερῶν ἅπασιν ὄντων τῶν τηνικαῦτα κακῶν οὐδὲν ἂν γέ-
νοιτο πλέον πρὸς τὸν παρόντα λόγον ἐκ τοῦ μετὰ ἀκριβείας
τὰς συμφορὰς ἐκείνας ἐπὶ τῶν πραγμάτων ἐκτίθεσθαι.
ὕπεστι δὲ καὶ φορτικὸν ἕτερον ἐν τῷ περὶ αὐτῶν διηγήματι,
τὸ καὶ τῶν ἡμετέρων τινὰ μνήμην ἐξ ἀνάγκης ποιήσασθαι
125 καθεξῆς διεξιόντα τὴν τῶν σκυθρωπῶν ἱστορίαν. εἰ γάρ
τι καὶ πέπρακται τοιοῦτον ἡμῖν διὰ τοὺς ὑπὲρ τῆς εὐσεβείας
ἀγῶνας οἷον φιλοτιμίαν φέρειν τῷ διηγήματι, τοῖς πλησίον

2 de Eudoxio cf Greg in fratr Bas p 796 C, Mansi coll nov et ampliss III p 309 B (ubi βραχυτελὴς Ἀρειόφρων audit) et 312 E, Philostorg IX 3

VLBCTS 2 αὐτῶν L 6 ἑκουσίους V ὁμοτροπίαν BCT 6-7 προσκεκλιμένους VL 9 τῶν: αὐτῶν B τῆς ante πίστεως om L τῆς ὑγιαινούσης om LBCT v 9-10 τὴν ante πρὸς om v 10 αὐτὸν: αὐτούς S 13 συντεθειμένων: συντιθεμένων S v 15 ἀσεβοῦντας V sed suprascr εὐ ead man 21 ἐπὶ τῶν πραγμάτων: ἐπὶ γραμμάτων BCT v 22 περὶ αὐτὸν V 23 τὸ καὶ: τοὺς v ἐξ ἀνάγκης ante τινὰ μνήμην traiecit BCT v 26 καὶ ante τοῖς add L

καταλιπεῖν ἡ σοφία κελεύει· Ἐγκωμιαζέτω σε γάρ, φησίν,
ὁ πέλας καὶ μὴ τὰ σὰ χείλη. ὅπερ ὁ τὰ πάντα περιε-
σκεμμένος μὴ συνειδὼς τὸ πλεῖστον τῆς συγγραφῆς ἐν ταῖς
περὶ ἑαυτοῦ μεγαληγορίαις ἠσχόλησε.
126 Πάντα τοίνυν ἐγὼ τὰ τοιαῦτα παραδραμὼν τὰ τῆς δει-
λίας τοῦ διδασκάλου ἡμῶν ἔργα μετὰ ἀκριβείας ἐκθήσομαι.
ἦν τοίνυν ὁ ἀντιτεταγμένος αὐτῷ πρὸς ἀντίπαλον τάξιν βασι-
λεὺς αὐτός, ὁ δὲ ὑπηρετῶν αὐτοῦ ταῖς ὁρμαῖς ὁ πάσης
ἄρχων μετ᾽ ἐκεῖνον τῆς βασιλείας, οἱ συνεργοῦντες δὲ πρὸς
127 τὴν τοιαύτην ἐπιθυμίαν οἱ περὶ αὐτὸν πάντες. προσκείσθω
τούτοις καὶ ὁ καιρὸς εἰς ἀκριβεστέραν βάσανον καὶ ἐπίδειξιν
τῆς γενναίας τοῦ ἀθλητοῦ πεποιθήσεως. τίς οὖν ἦν ὁ
καιρός; ἐξήλαυνε μὲν τῆς Κωνσταντινουπόλεως ἐπὶ τὴν
ἑῴαν ὁ βασιλεύς, ἄρτι τοῖς κατὰ τῶν βαρβάρων αὐτῷ κατορ-
θωθεῖσιν ἐπηρμένος τὸ φρόνημα καὶ οὐδὲν ἀντιβαίνειν αὐτοῦ
ταῖς ὁρμαῖς ἀξιῶν· προηγεῖτο δὲ αὐτοῦ τῆς πορείας ὁ
ὕπαρχος ἀντ᾽ ἄλλου τινὸς τῶν εἰς τὴν ἀρχὴν ἀναγκαίων
τοῦτο προδιοικούμενος, τὸ μή τινα τῶν ἐπὶ τῆς πίστεως
ὄντων μένειν ἐφέστιον, ἀλλὰ τούτους μὲν ἀπελαύνεσθαι
πάντας πανταχόθεν, ἑτέρους δὲ ἀντ᾽ ἐκείνων πάλιν αὐτο-
χειροτονήτους τινὰς ἐπὶ ὕβρει τῆς θείας οἰκονομίας εἰσ-
128 άγεσθαι. μετὰ τοιαύτης οὖν γνώμης καθάπερ νέφους τινὸς
χαλεποῦ τῆς δυναστείας ἐκ τῆς Προποντίδος κατὰ τῶν ἐκ-
κλησιῶν κινηθείσης καὶ τῆς μὲν Βιθυνίας ἀθρόως ἐρη-
μωθείσης, Γαλατίας δὲ σὺν πολλῇ τῇ ῥᾳστώνῃ παρασυρείσης
καὶ πάντων αὐτοῖς κατὰ νοῦν διὰ μέσου κεχωρηκότων,

1 Prov. 27,2

VLBCT(S)(D) 1 γάρ σε LS 2-3 περιεσκευασμένος v 3 γραφῆς BT 4 αὐτοῦ CTS v 5 περιδραμὼν v 8 *inde a* ταῖς ὁρμαῖς *deficit* S 11 ὁ κριτὴς καιρὸς V 12 ἦν tri post 13 καιρὸς BCT 16 αὐτοῦ om VLD 18 προδιωκόμενος L προδιοικονομῶν V μηδέ τινα L v τῶν LD : τὸν VBCT v τῆς ante πίστεως om v 19 ὄντων VLD : ὄντα BCT v τούτους : τοῦ τοὺς v 20 πάλιν om v 22 νέφει v 25 παρασυρήσας V suprascr η super ας in fine ut vid ead man 26 αὐτοῖς post κεχωρηκότων coll T

129 προὔκειτο ἤδη τῇ ἀκολουθίᾳ τοῦ κακοῦ τὸ ἡμέτερον. τί οὖν ὁ μέγας τότε Βασίλειος ὁ δειλός, ὥς φησιν οὗτος, καὶ ἄτολμος καὶ ὑποπτήσσων τὰ φοβερὰ καὶ οἰκίσκῳ λανθάνοντι τὴν σωτηρίαν πιστεύων; ἆρα κατεπλάγη τὴν τοῦ κακοῦ προσβολήν; ἆρα τὸ πάθος τῶν προεαλωκότων σύμβολον πρὸς τὴν ἀσφάλειαν τῶν καθ' ἑαυτὸν ἐποιήσατο; ἆρα κατεδέξατο τοὺς εἶξαι πρὸς ὀλίγον τῇ ῥύμῃ τοῦ κακοῦ συμβουλεύοντας μηδὲ εἰς προὖπτον κίνδυνον ἑαυτὸν ἐμβαλεῖν ἐπὶ ἀνθρώπων καταγυμνασθέντων τοῖς αἵμασιν; ἢ πᾶσα λόγων ὑπερβολὴ καὶ πᾶν ὕψος νοη-
292 M. μάτων τε καὶ ῥημάτων κάτω που τῆς ἀληθείας ἐλέγχεται;
130 πῶς γὰρ ἄν τις διεξέλθοι τῷ λόγῳ τὴν τοσαύτην τῶν φοβερῶν καταφρόνησιν; πῶς ἄν τις ὑπ' ὄψιν ἀγάγοι τὸν καινὸν ἐκεῖνον ἀγῶνα, ὃν οὔτε παρὰ ἀνθρώπων οὔτε πρὸς ἀνθρώπους εἰκότως ἄν τις συστῆναι φήσειεν, ἀλλ' ἀρετὴν καὶ παρρησίαν Χριστιανοῦ πρὸς δυναστείαν φονῶσαν ἀνταγωνίζεσθαι;
131 Ἐκάλει μὲν γὰρ πρὸς ἑαυτὸν προλαβὼν τὴν τοῦ βασιλέως ἐπιστασίαν ὁ ὕπαρχος ὁ καὶ ἄλλως οὖσαν φοβερὰν διὰ τὸ μέγεθος τὴν ἀρχὴν φοβερωτέραν τῇ ἀφειδίᾳ τῶν τιμωριῶν καταστήσας, καὶ μετὰ τὰς τραγῳδίας ἐκείνας, ἃς κατὰ Βιθυνῶν ἐξειργάσατο, Γαλατῶν ὑπὸ τῆς συνήθους εὐκολίας ἀκονιτὶ παραστάντων, ἕτοιμον ᾤετο καὶ τὸ καθ'
132 ἡμᾶς αὐτῷ πρὸς τὸ δοκοῦν ἀπαντήσεσθαι. τῆς δὲ τῶν

13 ὑπ' ὄψιν ἀγάγοι] hoc spectat ad Eunomii artes quas p 49,15 illuserat   17 Modestus praefectus primo (cf p 69,9) deinde Valens ipse Basilii firmitudinem expertus est hieme 371/72 cf Greg in fratr Bas 796 D-797 B Greg Naz or 20

VLBCTD 1 τοῦ κακοῦ om BCT   5 verba inde ab alt ἆρα usque ad 7 ἐποιήσατο inter 8 συμβουλεύοντας et μηδὲ collocat VD   6 σύμβολον: συμβόλων L σύμβουλον D v ex 8 ortum est   7 τοὺς correxi: τοῦ libri v ὑπεῖξαι D   8 συμβουλεύοντας BCT: συμβουλεύοντος VL v   9 καταγυμνωσθέντων V sed ω in α corr ead man   12 γὰρ ἄν τις correxi: ἄρα τις omisso ἂν libri v   19 ὁ ante καὶ om BCT v   20 τὴν ἀρχὴν: τῆς ἀρχῆς VD sed τὴν ἀρχὴν corr D²   ἀφειδίᾳ: ἀφῇ διὰ VL   22 Βιθυνίαν v

ἔργων ἀποτομίας προοίμιον ὁ λόγος ἐγίνετο ἀπειλαῖς ὁμοῦ μεμιγμένος καὶ ὑποσχέσεσι, πεισθέντι μὲν τὴν ἐκ βασιλέως τιμὴν καὶ τὴν ἀρχὴν τῆς ἐκκλησίας προτείνων, ἐνισταμένῳ δὲ πάντα ὅσα πικρία ψυχῆς προσλαβοῦσα τὸ δύνασθαι κατ' ἐξουσίαν βουλεύεται. τὰ μὲν οὖν παρ' ἐκείνων τοιαῦτα.
133 ὁ δὲ ἡμέτερος τοσοῦτον ἀπέσχεν εἰς κατάπληξίν τινα διὰ τῶν ὁρωμένων ἢ λεγομένων ἐλθεῖν, ὥστε καθάπερ τις ἰατρὸς ἢ σύμβουλος ἀγαθὸς εἰς διόρθωσιν πλημμελημάτων παρακληθεὶς καὶ ὑπὲρ τῶν προτετολμημένων αὐτοῖς μεταγινώσκειν ἐνεκελεύετο καὶ τὸ λοιπὸν παύσασθαι κατὰ τῶν δούλων τοῦ κυρίου φονῶντας· εἶναι γὰρ αὐτοῖς τῆς ἐπινοίας πλέον οὐδὲν ἐπὶ τῶν μόνην τὴν τοῦ θεοῦ βασιλείαν καὶ τὸ
134 ἀθάνατον κράτος θεραπευόντων. μηδὲ γὰρ δύνασθαι τοὺς κακοποιεῖν βουλομένους εὑρεῖν τι τοιοῦτον ὃ λυπήσει τὸν Χριστιανὸν ἢ ῥηθὲν ἢ γινόμενον. δήμευσις οὐχ ἅψεται, φησί, τοῦ μόνην κεκτημένου τὴν πίστιν· ὑπερορισμὸς οὐ φοβήσει τὸν πάσης τῆς γῆς μετὰ τῆς αὐτῆς γνώμης ἐπιβατεύοντα καὶ πᾶσαν μὲν ὡς ἀλλοτρίαν διὰ τὸ πρόσκαιρον τῆς ἐνοικήσεως, πᾶσαν δὲ πάλιν ὡς οἰκείαν διὰ τὸ ὁμό-
135 δουλον τῆς κτίσεως βλέποντα. τὸ δὲ πληγὰς ἢ πόνους ἢ θάνατον ὑποστῆναι, ὅταν ὑπὲρ τῆς ἀληθείας ἐξῇ, μηδὲ γυναιξὶ τοῦτο φόβον παρέχειν, ἀλλ' εἶναι πᾶσι Χριστιανοῖς τὸν ἀνωτάτω τῆς εὐκληρίας ὅρον τὸ ὑπὲρ τῆς ἐλπίδος τι ταύτης τῶν ἀνηκέστων παθεῖν· λυπεῖσθαι δὲ μόνον ἔλεγεν ὅτι εἷς ἐστιν ἐν τῇ φύσει ὁ θάνατος καὶ οὐδεμίαν μηχανὴν ἐξευρίσκει πολλοῖς δυνηθῆναι θανάτοις τῆς ἀληθείας προαγωνίσασθαι.
136 Οὕτω δὲ αὐτοῦ πρὸς τὰς ἀπειλὰς ἐκείνας ἑαυτὸν ἀντεπ-

13-27 eisdem fere verbis Gregorius paulo ante ad eandem rem usus erat or in fratr Bas p 797 A-B   26 cf Plat apol 30 B

VLBCTD 1 ἐγένετο VD   10 τὸ λοιπὸν D: τοῦ λοιποῦ cett v   12 τὴν om L   14-15 τὸν Χριστιανὸν: τῶν χριστιανῶν τινα VD   16 μόνην: μόνου C   ὑπερορία VD   19 πάλιν D: πόλιν cett v   23 εὐκληρίας: ἀληθείας VLD   24 παθεῖν ex παθῶν corr D   δὲ ante μόνον om VLD v   28-p 68, 1 ἐπαίροντες v

αἴροντος καὶ πάντα τὸν ὄγκον τῆς δυναστείας ἐκείνης ἀντ' οὐδενὸς παραβλέποντος, ὥσπερ ἐπὶ σκηνῆς ἀθρόως ἐν ταῖς τῶν προσώπων ὑπαλλαγαῖς ἀνθ' ἑτέρων ἕτερα δείκνυται, τὸν αὐτὸν τρόπον καὶ ἡ πικρία τῶν ἀπειλῶν ἐξαίφνης εἰς κολακείαν μετεσκευάζετο καὶ μεταβαλὼν ὁ τέως βαρὺς καὶ καταπληκτικὸς τῷ φρονήματι τοὺς ἐπιεικεῖς τε καὶ ὑφειμένους τῶν λόγων Σὺ δέ, φησί, μὴ μικρὸν ποιοῦ βασιλέα
293 M. τὸν μέγαν τῷ σῷ καταμιχθῆναι λαῷ, ἀλλὰ δέξαι κἀκείνου κληθῆναι διδάσκαλος μηδὲ ἀντιβῇς τῷ βουλήματι· βούλεται δὲ μικροῦ τινος τῶν ἐν τῇ πίστει γεγραμμένων ὑφαιρεθέν-
137 τος, τῆς τοῦ ὁμοουσίου λέξεως, τοῦτο γενέσθαι. ἀλλὰ τὸ μὲν μετασχεῖν τῆς ἐκκλησίας τὸν βασιλέα τῶν μεγίστων εἶναι πάλιν ὁ διδάσκαλος ἀποκρίνεται. μέγα γάρ, φησί, τὸ ψυχὴν περισώσασθαι, οὐχ ὅτι βασιλέως, ἀλλ' ὅτι ὅλως ἀνθρώπου· τῆς δὲ πίστεως τοσοῦτον ἀπέχειν ὑφαίρεσιν ἢ προσθήκην ποιήσασθαι, ὡς μηδὲ τὴν τάξιν ἂν ὑπαλλάξαι
138 τῶν γεγραμμένων. ταῦτα *ὁ δειλός τε καὶ ἄνανδρος*. *ὁ πρὸς τὸν ψόφον τῆς θύρας ἐπτοημένος*, πρὸς τὸν τοσοῦτον τῷ ἀξιώματι καὶ εἶπε τῷ λόγῳ καὶ διὰ τῶν ἔργων τὸ ῥηθὲν ἐπιστώσατο· ὃς τὴν τῶν ἐκκλησιῶν τότε καταστροφὴν οἷόν τινα χειμάρρουν διὰ τῶν δυναστειῶν ῥέουσαν ἔστησεν ἐν ἑαυτῷ καὶ ἀπέστρεψε, μόνος ἀρκέσας τῇ τοῦ κακοῦ προσβολῇ, καθάπερ τις ἐν θαλάσσῃ πέτρα μεγάλη καὶ ἄσειστος ἀντὶ κύματος πολλοῦ καὶ μεγάλου τὴν τῶν δεινῶν προσβολὴν ἐν ἑαυτῷ περιθρύψας.
139 Καὶ οὐ μέχρι τούτων ἔστη τὰ τῆς ἀγωνίας αὐτῷ, ἀλλ' ἐκδέχεται πάλιν ὁ βασιλεὺς τὴν πεῖραν αὐτός, ἀγανακτῶν ὅτι μὴ κατὰ τὴν πρώτην προσβολὴν τὰ καθ' ἡδονὴν κατειργάσατο. ὥσπερ τοίνυν διὰ τοῦ μαγείρου Ναβουζαρδὰν

29 IV Reg 25,8 sq.

VLBCTD 4 ἐξαίφνης om BCT v 5 μεταβαλὼν VL²BCTD: μεταλαβὼν L¹ μεταβάλλων v 10 μικρὸν BCT ἐν: ἐπὶ BT 11 ὁμοσίου V 13 ἀπεκρίνατο VD 15 ἀπέχειν ex ἀποσχεῖν corr L²: ἀποσχεῖν VBCTD v 18 ὁ πρὸς: καὶ πρὸς v 19 τῷ ante ἀξιώματι om v 20 τότε: ποτε VLD (ποτὲ)

ἐπὶ τῶν Ἱεροσολύμων ποτὲ ὁ Ἀσσύριος τὴν τοῦ ναοῦ καθαίρεσιν τῶν Ἰσραηλιτῶν κατειργάσατο, οὕτω καὶ οὗτος Δημοσθένει τινὶ τῷ ἐπὶ τῶν ὄψων τεταγμένῳ καὶ τῶν μαγείρων ἄρχοντι ὡς ἰταμωτέρῳ τῶν ἄλλων τὴν τοιαύτην ὑπηρεσίαν προστάξας κρατήσειν ᾤετο τοῦ παντὸς ἐγχειρήματος.
140 πάντα τοίνυν ἐκείνου διακυκῶντος καί τινος τῶν ἐκ τοῦ Ἰλλυρικοῦ θεομάχων πυκτίον ἔχοντος ἐν χερσὶ καὶ τοὺς ἐν τέλει πρὸς τοῦτο πάντας ἀθροίζοντος καὶ χαλεπώτερον τῆς προλαβούσης ὁρμῆς τοῦ Μοδέστου πάλιν τὴν ὀργὴν ἀναφλέξαντος, πάντες μὲν συνεκινοῦντο πρὸς τὴν τοῦ βασιλέως ὀργὴν συναγανακτοῦντες αὐτῷ χαλεπαίνοντι καὶ τῷ τῆς ἐξουσίας θυμῷ χαριζόμενοι, πάντες δὲ τῷ φόβῳ τῶν προσ-
141 δοκωμένων προκατεβέβληντο. πάλιν γὰρ ἐκεῖνος ὁ ὕπαρχος, πάλιν [φόβων] ἐπαναστάσεις τῶν προτέρων σφοδρότεραι καὶ τῶν ἀπειλῶν προσθῆκαι καὶ ὁ θυμὸς ἀκμαιότερος καὶ ἡ περὶ τὸ δικαστήριον τραγῳδία, κήρυκες εἰσαγωγεῖς ῥαβδοῦχοι κιγκλίδες παραπετάσματα, δι' ὧν εὐκόλως καὶ τὰ τῶν σφόδρα παρεσκευασμένων καταπτοεῖται φρονήματα· καὶ πάλιν ὁ ἀθλητὴς τοῦ θεοῦ τοῖς δευτέροις τῶν ἀγώνων καὶ
142 τὴν ἐπὶ τοῖς προλαβοῦσι δόξαν ὑπερβαλλόμενος. εἰ δὲ ζητεῖς τούτων τὰς ἀποδείξεις, εἰς αὐτὰ βλέπε τὰ πράγματα. ποῖον γὰρ οὐκ ἐπενείματο τόπον τῶν ἐκκλησιῶν ἡ τηνικαῦτα καταστροφή; ποῖον ἔμεινεν ἔθνος τῆς τῶν αἱρετικῶν ἐπιστασίας ἀπείρατον; τίς τῶν κατὰ τὰς ἐκκλησίας εὐδοκιμούντων οὐκ ἀπεσείσθη τῶν πόνων; ποῖος διέ-
143 φυγε λαὸς τὴν τοιαύτην ἐπήρειαν; οὐ Συρία πᾶσα καὶ τῶν ποταμῶν ἡ μέση μέχρι τῶν πρὸς τοὺς βαρβάρους ὅρων, οὐ Φοινίκη καὶ Παλαιστίνη καὶ Ἀραβία καὶ Αἴγυπτος καὶ τὰ

VLBCTD 3 τινὶ τῶν ἐπὶ BCTD (sed τεταγμένῳ) 4 ὡς: καὶ BCD 5 ἐπιχειρήματος V 8 πάντας πρὸς τοῦτο v 11 καὶ αὐτῷ τῆς v 12 φόβῳ: θυμῷ libri v, restitui v l e margine in v 14 detrusam 14 φόβων delevi cf 12 16 εἰσαγωγῆς L 16-17 ῥαβδοῦχος VL ῥαβδοῦχοι L² 20 ἐπὶ τοῖς προσοῦσι V 21 βλεπ (sic) C βλέψον v 22 γὰρ post ποῖον om v τῶν om D 23 ἡ post 22 τόπον coll VL² 24 ἐπιστάσεως V 25 πόνων corruptum: θρόνων Wilamowitz

ἔθνη τῆς Λιβύης ἕως τοῦ τέρματος τῆς καθ' ἡμᾶς οἰκουμένης, οὐ τὰ ἐπὶ τάδε πάντα, Ποντικοὶ καὶ Κίλικες Λύκιοι Λυδοὶ Πισίδαι Πάμφυλοι Κᾶρες Ἑλλησπόντιοι νησιῶται
296 M. μέχρι τῆς Προποντίδος αὐτῆς, οὐ τὰ ἐπὶ Θρᾴκης πάντα ἕως ἣν ἡ Θρᾴκη καὶ τὰ περὶ αὐτὴν ἔθνη ἕως πρὸς τὸν Ἴστρον αὐτόν· τί τῶν πάντων ἐπὶ σχήματος ἔμεινε, πλὴν εἰ μή τι προκατείχετο τῷ τοιούτῳ κακῷ; ἀλλὰ μόνος ἐκ πάντων ὁ Καππαδόκειος λαὸς τῆς κοινῆς τῶν ἐκκλησιῶν συμφορᾶς οὐκ ἐπῄσθετο, ὃν ὁ μέγας πρόμαχος ἡμῶν ἐπὶ τῶν πειρασμῶν διεσώσατο.

144 Ταῦτα τὰ τῆς δειλίας τοῦ διδασκάλου ἡμῶν ἀποτελέσματα· ταῦτα τοῦ κατεπτηχότος τοὺς τραχυτέρους τῶν πόνων τὰ κατορθώματα, οὐκ ἐν γραϊδίοις δυστήνοις εὐδοκιμοῦντος οὐδὲ ἀπατᾶν γυναικάρια πρὸς πᾶσαν ἀπάτην εὐκόλως ἔχοντα μελετῶντος οὐδὲ ὑπὸ τῶν κατεγνωσμένων καὶ κατεφθαρμένων θαυμάζεσθαι μέγα κρίνοντος, ἀλλὰ διὰ τῶν ἔργων δείξαντος τὴν ἰσχὺν τῆς ψυχῆς καὶ τὸ ἄτρεπτον καὶ ἀνδρεῖον καὶ γεννικὸν τοῦ φρονήματος.
145 οὗ τὸ κατόρθωμα σωτηρία μὲν τῆς πατρίδος ἁπάσης, εἰρήνη δὲ τῆς καθ' ἡμᾶς ἐκκλησίας, ὑπόδειγμα δὲ παντὸς ἀγαθοῦ τοῖς κατ' ἀρετὴν ζῶσιν, ἀνατροπὴ τῶν ἐναντίων, συνηγορία τῆς πίστεως, ἀσφάλεια τῶν ἀσθενεστέρων, βεβαίωσις τῶν προθυμοτέρων, πάντα ὅσα τῆς κρείττονος
146 μοίρας εἶναι πεπίστευται. ἐπὶ τούτων μόνων τῶν διηγημάτων ἀκοή τε καὶ ὄψις [ἐπὶ] τῶν πραγμάτων συμβαίνουσι· ταὐτὸν γάρ ἐστι λόγῳ τε τὰ καλὰ διηγήσασθαι καὶ ἔργῳ δεῖξαι τὴν μαρτυρίαν τῶν λόγων καὶ ἀμφότερα δι' ἀλλή-

VLBCTD 2 οὐ τὰ ἔπειτα πάντα L rasura post ἔπειτα, μετέπειτα supplevit L^2 ἔπειτα δὲ V (om οὐ τὰ et πάντα) 5 ἕως—Θρᾴκη suspecta 7 τῷ om V 8 καππαδόκης BT καππαδόκιος C 11 τὰ post ταῦτα om VL 12 κατ . . . πτηχότος L rasura inter τ et π, ε post τ add L^2 15 εὐκόλως in marg add T 17 τὴν ἰσχὺν δείξαντος τῆς ψυχῆς BT 18 γενικὸν VL^2C v 24 πεπίστευται εἶναι V 25 del Wilamowitz 26 τε post λόγῳ om v τὰ κάλλιστα v

λων πιστώσασθαι, τήν τε μνήμην ἀπὸ τῶν φαινομένων καὶ τὰ πράγματα διὰ τῶν λεγομένων.

147 Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως τοσοῦτον ἔξω τῶν προκειμένων παρηνέχθη ὁ λόγος πρὸς ἕκαστον τῶν ἐφ' ὕβρει ῥηθέντων παρὰ τοῦ συκοφάντου ἐπιστρεφόμενος. καίτοι τῷ Εὐνομίῳ κέρδος οὐ μικρὸν ἡ περὶ τὰ τοιαῦτα τοῦ λόγου διατριβὴ ἐν τῇ τῶν ἀνθρωπίνων ἀδικημάτων κατηγορίᾳ τοῖς
148 κυριωτέροις προσβῆναι κωλυομένου. ὥσπερ οὖν τὸν ἐπὶ φόνῳ κρινόμενον ὑπὲρ τῆς ἐν ῥήμασι προπετείας κακίζειν τῶν ἀχρήστων ἐστίν (ἀρκεῖ γὰρ ὁ φόνος ἀπελεγχθεὶς τὴν τοῦ θανάτου ψῆφον ἐπενεγκεῖν, κἂν μηδεμία προπέτεια λόγων τῷ μιαιφόνῳ συναπελέγχηται), οὕτω μοι καλῶς ἔχειν δοκεῖ μόνην αὐτοῦ τὴν ἀσέβειαν εἰς ἔλεγχον ἀγαγεῖν, τὰς δὲ καθ' ἡμῶν λοιδορίας χαίρειν ἐᾶσαι. δῆλον γὰρ ὅτι περὶ τὰ μέγιστα καὶ κυριώτατα τῆς πονηρίας φωραθείσης καὶ τὰ λοιπὰ πάντα τῇ δυνάμει συναπελέγχεται, κἂν μὴ τοῖς
149 καθ' ἕκαστον ἀκριβῶς ἐπεξίωμεν. ἔστι τοίνυν τὸ κεφάλαιον τῶν παρ' αὐτοῦ κατασκευαζομένων βλασφημία μὲν εἰς τὸ δόγμα τῆς εὐσεβείας ἔν τε τῷ προάγοντι λόγῳ καὶ ἐν τῷ νῦν παρ' ἡμῶν εὐθυνομένῳ, σπουδὴ δὲ πᾶσα καθελεῖν καὶ παραγράψασθαι καὶ ἀνατρέψαι παντελῶς τὰς περὶ τοῦ μονογενοῦς θεοῦ καὶ τὰς περὶ τοῦ ἁγίου πνεύματος
150 εὐσεβεῖς ὑπολήψεις. ὡς ἂν οὖν μάλιστα ψευδὴς καὶ ἀσύστατος ἐπιδειχθείη ἡ κατὰ τῶν δογμάτων τῆς ἀληθείας κατασκευή, πρῶτον μὲν ἐπὶ λέξεως αὐτοῦ τὴν περὶ τούτων παραθήσομαι ῥῆσιν, ἔπειτα δὲ πάλιν ἐπελεύσομαι τοῖς εἰρημένοις, ἕκαστον αὐτῶν ἐξετάζων χωρίς.

151 Πᾶς ὁ τῶν καθ' ἡμᾶς δογμάτων συμπλη-

VLBCTD 1-2 καὶ τὰ usque ad 2 λεγομένων om L 4-5 τῶν παρὰ τοῦ συκοφάντου ἐφ' ὕβρει ῥηθέντων V τῶν ἐφ' ὕβρει π. τ. σ. ῥηθ. L 7 ἀνθρωπίνων ῥημάτων καὶ ἀδικημάτων V 8 προβῆναι D 9 ῥήματι VLD 10 ἀπελεγχθείς: ἀπενεχθεὶς T 15 κυριώτατα: καιριώτατα BCT 20 εὐθηνουμένῳ L corr L^2 εὐθυνουμένῳ V (cf etiam p 63, 25) 24 ἐπιδειχθῇ BCTD v 25 αὐτοῦ L αὐτῆς D effecit L^2 26 ὑπελεύσομαι v 28-p 72, 1 ἐκπληροῦται V (sed cf p 73, 20 et 75, 14-15)

297 M. ροῦται λόγος ἔκ τε τῆς ἀνωτάτω καὶ κυριωτά-
της οὐσίας καὶ ἐκ τῆς δι' ἐκείνην μὲν οὔσης
μετ' ἐκείνην δὲ πάντων τῶν ἄλλων πρωτευού-
σης καὶ τρίτης γε τῆς μηδεμιᾷ μὲν τούτων συν-
ταττομένης, ἀλλὰ τῇ μὲν διὰ τὴν αἰτίαν, τῇ δὲ
διὰ τὴν ἐνέργειαν καθ' ἣν γέγονεν ὑποταττο-
μένης, συμπεριλαμβανομένων δηλαδὴ πρὸς τὴν
τοῦ παντὸς λόγου συμπλήρωσιν καὶ τῶν ταῖς
οὐσίαις παρεπομένων ἐνεργειῶν καὶ τῶν ταύταις
152 προσφυῶν ὀνομάτων. πάλιν δ' αὖ ἑκάστης τούτων
οὐσίας εἰλικρινῶς ἁπλῆς καὶ πάντη μιᾶς οὔσης
τε καὶ νοουμένης κατὰ τὴν ἰδίαν ἀξίαν, συμπε-
ριγραφομένων δὲ τοῖς ἔργοις τῶν ἐνεργειῶν, καὶ
τῶν ἔργων ταῖς τῶν ἐργασαμένων ἐνεργείαις
παραμετρουμένων, ἀνάγκη δήπου πᾶσα καὶ τὰς
ἑκάστῃ τῶν οὐσιῶν ἑπομένας ἐνεργείας ἐλάττους
τε καὶ μείζους εἶναι, καὶ τὰς μὲν πρώτην τὰς
δὲ δευτέραν ἐπέχειν τάξιν, συνόλως τε εἰπεῖν
πρὸς τοσαύτην ἐξικνεῖσθαι διαφοράν, πρὸς ὁπό-
153 σην ἂν ἐξικνῆται τὰ ἔργα· ἐπεὶ μηδὲ θεμιτὸν
τὴν αὐτὴν ἐνέργειαν εἰπεῖν καθ' ἣν τοὺς ἀγγέλους
ἐποίησεν ἢ τοὺς ἀστέρας καὶ τὸν οὐρανὸν ἢ τὸν
ἄνθρωπον, ἀλλ' ὅσῳ τὰ ἔργα τῶν ἔργων πρεσβύ-
τερα καὶ τιμιώτερα, τοσούτῳ καὶ τὴν ἐνέργειαν
τῆς ἐνεργείας ἀναβεβηκέναι φαίη ἄν τις εὐσεβῶς
διανοούμενος, ἅτε δὴ τῶν αὐτῶν ἐνεργειῶν τὴν

VLBCTD 1 ἀνωτάτης D (καὶ κυριωτάτης om) 2 δι' ἐκείνης VL (cf p 73, 22) ἐκείνην corr L² 3 verba μετ' usque ad πρωτευούσης om VL (cf 73, 22-23 et 74, 8-9) 4-5 συντασσομένης D συντασσομένοις sed ης supra οις corr man pr V 6-7 ὑποτεταγμένης VLD (cf p 73, 26) 8-9 τῶν ante ταῖς οὐσίαις om v 10 συμφυῶν BCT v (sed cf p 82, 2) 11 ἁπλῶς BCT 13 τε pro δὲ L 15 καὶ om v 16 ἑκάστης T 18 τάξιν ἐπέχειν v τε καὶ εἰπεῖν VL 20 ἐξικνεῖται VL ἐπεὶ δὲ μηδὲ V 21 εἰπεῖν: εἰπὼν V 24 τοσοῦτο V 25 τῆς ἐνεργείας om BT ἄν ante τις om BCT

ταὐτότητα τῶν ἔργων ἀποτελουσῶν, καὶ τῶν
παρηλλαγμένων ἔργων παρηλλαγμένας τὰς ἐνερ-
154 γείας ἐμφαινόντων. οὕτω δὲ τούτων ἐχόντων
καὶ τῇ πρὸς ἄλληλα σχέσει τὸν εἱρμὸν ἀπαράβα-
τον διατηρούντων, προσήκει δήπου τοὺς κατὰ τὴν
συμφυῆ τοῖς πράγμασι τάξιν τὴν ἐξέτασιν ποιου-
μένους καὶ μὴ φύρειν ὁμοῦ πάντα καὶ συγχεῖν
βιαζομένους, εἰ μὲν περὶ ταῖς οὐσίαις κινοῖτό
τις ἀμφισβήτησις, ἐκ τῶν πρώτων καὶ προσεχῶν
ταῖς οὐσίαις ἐνεργειῶν ποιεῖσθαι τῶν δεικνυ-
μένων τὴν πίστιν καὶ τῶν ἀμφισβητουμένων
τὴν διάλυσιν, τὴν δὲ ἐπὶ ταῖς ἐνεργείαις ἀμφιβο-
λίαν διαλύειν ἐκ τῶν οὐσιῶν, ἁρμοδιωτέραν γε
μὴν καὶ τοῖς πᾶσιν ἀνυσιμωτέραν ἡγεῖσθαι τὴν
ἀπὸ τῶν πρώτων ἐπὶ τὰ δεύτερα κάθοδον.
155 Ἡ μὲν οὖν τεχνολογία τῆς βλασφημίας αὕτη, ὁ δὲ
θεὸς ἡμῖν ὁ ἀληθινὸς ὁ τοῦ ἀληθινοῦ θεοῦ υἱὸς διὰ τῆς τοῦ
ἁγίου πνεύματος ὁδηγίας κατευθύνοι τὸν λόγον πρὸς τὴν
ἀλήθειαν. πάλιν δὲ τὰ εἰρημένα καθεξῆς ἀναλάβωμεν.
εἶπε τῶν καθ' ἑαυτὸν δογμάτων συμπληροῦσθαι
τὸν λόγον ἐκ τῆς ἀνωτάτης καὶ κυριωτάτης οὐ-
σίας καὶ ἐκ τῆς δι' ἐκείνην μὲν οὔσης, μετ'
ἐκείνην δὲ πάντων τῶν ἄλλων πρωτευούσης καὶ
τρίτης γέ φησι τῆς μηδεμιᾷ τούτων συνταττο-
μένης, ἀλλὰ τῇ μὲν διὰ τὴν αἰτίαν, τῇ δὲ διὰ
156 τὴν ἐνέργειαν ὑποταττομένης. πρῶτον τοίνυν τῶν

7 φύρειν—συγχεῖν] cf Philostorg IX 14

VLBCTD 5 τούς: τοῖς BCTD v 6-7 ποιουμένοις BCTD v 8 βιαζομένοις BCTD v τῆς οὐσίας v 8-9 τις post κινοῖτο om v 9 ἀμφισβήτησις om BT 13 διαλύουσιν v 16-17 ὁ δὲ θεὸς VL: θεὸς δὲ BCTD v 17 ἡμῶν V ὁ ante ἀληθινὸς om v 18 κατευθύνει v 19 δὲ post πάλιν om v 20 συμπληροῦσθαι VL: πληροῦσθαι BCTD v (cf p 71, 28) 21 ἀνωτάτης: ἀνωτάτω V v (cf 72, 1) 22 δι' ἐκείνης D 24 γε τῇ μηδεμιᾷ C φησι om BCTD v 25-26 ἀλλὰ-ὑποταττομένης om D 26 ὑποτεταγμένης VL

ἐν τῷ λόγῳ κακουργηθέντων τοῦτό ἐστιν, ὅτι τὸ δόγμα τὸ μυστικὸν ἐπαγγειλάμενος ἡμῖν ἐκθήσεσθαι ὥσπερ ἐπιδιορθούμενος τὰς εὐαγγελικὰς φωνὰς οὐκ ἐκείνοις κέχρηται τοῖς ὀνόμασι, δι' ὧν παρέδωκεν ὁ κύριος τὸ μυστήριον ἐν τῇ τελειώσει τῆς πίστεως, ἀλλὰ τὸ ὄνομα τοῦ πατρὸς καὶ
300 M. τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἀποσιωπήσας ἀντὶ μὲν <τοῦ> πατρὸς ἀνωτάτω τινὰ καὶ κυριωτάτην οὐσίαν λέγει, ἀντὶ δὲ τοῦ υἱοῦ τὴν δι' ἐκείνην μὲν οὖσαν, μετ' ἐκείνην δὲ τῶν ἄλλων πρωτεύουσαν, ἀντὶ δὲ τοῦ ἁγίου πνεύματος τὴν μηδεμιᾷ τούτων συνταττομένην ἀμφοτέραις δὲ ὑποτεταγμένην.
157 καίτοιγε εἰ οὕτως εἰπεῖν οἰκειότερον ἦν, οὐκ ἂν πάντως ἠπόρησεν ἡ ἀλήθεια τῆς τῶν ῥημάτων τούτων εὑρέσεως οὐδ' ἂν πάντως οἱ καθεξῆς ἐκδεξάμενοι τοῦ μυστηρίου τὸ κήρυγμα, οἵ τε ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου γενόμενοι καὶ οἱ μετ' ἐκείνους πᾶσαν τὴν οἰκουμένην τῶν
158 εὐαγγελικῶν δογμάτων καταπληρώσαντες, καὶ πάλιν οἱ μετὰ ταῦτα κατὰ καιρούς τινας τὰς περὶ τοῦ δόγματος κινουμένας ἀμφιβολίας ἐν κοινῷ συνεδρίῳ διαλαβόντες, ὧν αἱ παραδόσεις ἔγγραφοι ταῖς ἐκκλησίαις ἀεὶ διασῴζονται, εἰ ταῦτα λέγειν ἐχρῆν, οὐκ ἂν πατρός τε καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐποιοῦντο τὴν μνήμην, εἴπερ ὅλως εὐσεβὲς ἢ ἀκίνδυνον ἦν πρὸς τὴν καινότητα ταύτην μεταχαράττειν τὰ τῆς πίστεως ῥήματα· ἢ πάντες ἀμαθεῖς ἦσαν ἐκεῖνοι καὶ ἀκατήχητοι τῶν μυστηρίων καὶ τῶν προσφυῶν, ὥς φησιν οὗτος, ὀνομάτων ἀνήκοοι οἱ μήτε εἰδότες μήτε θελήσαντες τῶν παραδοθέντων ἡμῖν παρὰ τῆς θείας φωνῆς

3 Matth 28, 19   14 Luc 1,2   18 Nicaenam synodum dicit

VLBCTD 2-3 διορθούμενος v   3 χρᾶται D   6 σιωπήσας VL   7 τοῦ supplevi   ἀνωτάτην D   7-8 τοῦ post δὲ om VL   8 δι'ἐκείνης D   10 συντεταγμένην D ἀμφοτέραις-ὑποτεταγμένην om BCT v   14-15 γενόμενοι τοῦ λόγου BCTD v   16 δογμάτων: θαυμάτων V   οἱ post πάλιν om v   19 εἰς ante ἀεὶ add L   fort etiam ἐν ante ταῖς ἐκκλησίαις addendum est   verba ἔγγραφοι usque ad 20 ἐχρῆν om BT   22 χαράττειν D   26 verba παραδοθέντων ἡμῖν post φωνῆς collocat V   παρὰ LCTD: διὰ BV v

159 ὀνομάτων τὰς ἰδίας ἐννοίας προτιμοτέρας ποιήσασθαι; ἀλλὰ παντὶ πρόδηλον οἶμαι τὴν αἰτίαν εἶναι τῆς καινῆς ταύτης ὀνοματοποιΐας, ὅτι πάντες ἄνθρωποι πατρὸς καὶ υἱοῦ προσηγορίαν ἀκούσαντες εὐθὺς τὴν οἰκείαν αὐτῶν καὶ φυσικὴν πρὸς ἄλληλα σχέσιν ὑπ' αὐτῶν τῶν ὀνομάτων ἐπιγινώσκουσι. τὸ γὰρ τῆς φύσεως συγγενὲς ἐκ τῶν προσηγοριῶν τούτων
160 αὐτομάτως διερμηνεύεται. ἵνα οὖν μὴ ταῦτα νοῆται περὶ τοῦ ἀληθινοῦ πατρὸς καὶ τοῦ μονογενοῦς υἱοῦ, διὰ τοῦτο ὑποκλέπτει τῶν ἀκουόντων τὴν διὰ τῶν ὀνομάτων συνεισιοῦσαν τῆς οἰκειότητος ἔμφασιν, καὶ καταλιπὼν τὰ θεόπνευστα ῥήματα διὰ τῶν ἐπινοηθέντων ἐπὶ λύμῃ τῆς ἀληθείας ποιεῖται τὴν τοῦ δόγματος ἔκθεσιν.
161 Καλῶς δὲ τοῦτό φησιν, οὐ τῶν καθόλου τῆς ἐκκλησίας δογμάτων, ἀλλὰ τῶν καθ' ἑαυτοὺς ἐν τούτοις συμπληροῦσθαι τὸν λόγον. ἔστι δὲ πρόχειρος μὲν παντὶ τῷ γε νοῦν ἔχοντι τῆς ἀσεβείας τῶν εἰρημένων ἡ κατανόησις. οὐδὲν δὲ ἴσως ἀπὸ καιροῦ καὶ καθ' ἕκαστον διεξετάσαι τῷ λόγῳ, τί βουλόμενος τὸ ἀνώτατόν τε καὶ κυριώτατον μόνῃ προσμαρτυρεῖ τοῦ πατρὸς τῇ οὐσίᾳ, οὔτε τοῦ υἱοῦ οὔτε τοῦ ἁγίου πνεύματος ἄνω τε καὶ κυρίαν εἶναι συγχω-
162 ρῶν τὴν οὐσίαν. οἶμαι γὰρ ἔγωγε μελέτην εἶναι ταύτην τῆς παντελοῦς κατὰ τὴν οὐσίαν ἀρνήσεως τοῦ τε μονογενοῦς καὶ τοῦ πνεύματος, καὶ τοῦτο λεληθότως κατασκευάζεσθαι διὰ τῆς τοιαύτης τεχνολογίας, τὸ μέχρις ὀνόματος εἶναι ταῦτα δοκεῖν, τὴν δὲ ἀληθῆ τῆς ὑποστάσεως αὐτῶν ὁμολογίαν διὰ τῆς τοιαύτης κατασκευῆς ἀθετεῖσθαι· καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, οὐ χαλεπῶς ἄν τις κατανοήσειε μικρὸν
163 προσδιατρίψας τῷ λόγῳ. οὐκ ἔστι τοῦ νομίζοντος ἀληθῶς

VLBCTD 2 καινῆς om v   3 οἱ ante ἄνθρωποι add V   8 ἀληθινοῦ om BCT v   7 περὶ e παρὰ corr D^2 9 κλέπτει v   ὀμάτων L sed suprascr νο L^2 9-10 συνιοῦσαν V   13 ἐκκλησίας: ἀληθείας L   15 πρόχειρον BT   μὲν om V   17 καὶ ante ἀπὸ καιροῦ add V καὶ ante καθ' ἕκαστον om BCT   18 ἀνωτάτω τε V   22 τε ante μονογενοῦς om B   24 καὶ ante τὸ μέχρις add BT   εἶναι om CT   26 ὅτι L τῷ eff L^2 27 ἔχειν corr L^2 οὐ ante χαλεπῶς om v

εἶναι κατ' ἰδίαν ὑπόστασιν τὸν μονογενῆ καὶ τὸ πνεῦμα τὸ
301 M. ἅγιον τὸ ἀκριβολογεῖσθαι περὶ τὴν ὁμολογίαν τῶν ὀνομάτων,
οἷς ἀποσεμνύνειν οἴεται δεῖν τὸν ἐπὶ πάντων θεόν· ἢ γὰρ
ἂν ἦν τῆς ἐσχάτης εὐηθείας τῷ πράγματι συντιθέμενον
μικρολογεῖσθαι περὶ τὰ ῥήματα. νυνὶ δὲ τῷ μόνῃ προσ-
μαρτυρῆσαι τοῦ πατρὸς τῇ οὐσίᾳ τὸ ἀνώτατόν τε καὶ
κυριώτατον ἔδωκε διὰ τῆς σιωπῆς περὶ τῶν ὑπολοίπων
164 ὡς οὐ κυρίως ὑφεστώτων στοχάζεσθαι. πῶς γὰρ ἔστιν
ἀληθῶς εἶναί τι λέγειν, ᾧ μὴ προσμαρτυρεῖται τὸ κυρίως
εἶναι; ἀνάγκη γὰρ ἐφ' ὧν οὐχ ὁμολογεῖται τὸ κύριον, τοῖς
ἀντιδιαστελλομένοις τῶν ὀνομάτων συντίθεσθαι. τὸ γὰρ μὴ
κύριον ἄκυρον πάντως· ὥστε ἡ τοῦ μὴ κυρίως εἶναι κατα-
σκευὴ τῆς παντελοῦς ἀνυπαρξίας ἀπόδειξις γίνεται. πρὸς
ἣν ἔοικεν ὁ Εὐνόμιος βλέπων ταῦτα καινοτομεῖν ἐν τῷ καθ'
165 ἑαυτὸν δόγματι τὰ ὀνόματα. οὐ γὰρ δὴ δι' ἀπειρίαν φήσει
τις αὐτὸν εἰς ἀνόητον ὑπόληψιν ἐκπεσόντα τοπικῶς τὸ ἄνω
πρὸς τὸ ὑποβεβηκὸς διαστέλλειν καὶ τῷ πατρὶ καθάπερ
γεώλοφόν τινα σκοπιὰν ἀφορίζοντα τὸν υἱὸν τοῖς κοιλοτέροις
166 ἐγκαθιδρύειν. οὐδεὶς γὰρ οὕτω παῖς τὴν διάνοιαν, ὡς ἐπὶ
τῆς νοερᾶς τε καὶ ἀσωμάτου φύσεως τὴν κατὰ τόπον δια-
φορὰν ἐννοεῖν. ἴδιον γὰρ σωμάτων ἡ ἐπὶ τόπου θέσις, τὸ
δὲ τῇ φύσει νοερόν τε καὶ ἄϋλον πόρρω τῆς κατὰ τόπον
ἐννοίας ὁμολογεῖται. τίς οὖν ἡ αἰτία τοῦ ἀνωτάτω λέ-
γεσθαι μόνου τοῦ πατρὸς τὴν οὐσίαν; εἰς γὰρ ταύτας τὰς
ὑπονοίας ἐξ ἀμαθίας τινὸς αὐτὸν παραφέρεσθαι οὐκ ἄν τις
εὐκόλως ὑπονοήσειε τὸν ἐν πολλοῖς, οἷς ἐπιδείκνυται, σοφὸν
εἶναι προσποιούμενον καί, καθὼς ἀπαγορεύει ἡ θεία γραφή,
[καὶ] τὰ περισσὰ σοφιζόμενον.

28 Eccles 7, 16

VLBCT(S)(D) 4 εὐηθείας: ἀληθείας B 5 τὸ μόνῃ BTS 12 *inde ab* ἄκυρον *rursus legi potest S fol 226* 14 ὡς ante ἔοικεν add et καινοτομεῖ V 15 δὴ om VL ἀπειρίαν VLCTS: ἀπορίαν B v 17 ὑπερβεβηκὸς v 21 ἐπὶ τοῦ τόπου BS 23 ἡ ante αἰτία eras L ἀνωτάτην S 24 μόνου: μόνον V εἰς correctura obscur S 25 παραφέρεσθαι: περιφέρεσθαι VLS v 26 verba inde ab ἐπιδείκνυται usque ad 77, 3 ἐνδείκνυσθαι om V 28 καὶ delevi

167 Ἀλλὰ μὴν οὐδὲ δυνάμεως οὐδὲ ἀγαθότητος οὐδὲ ἄλ-
λου τινὸς τῶν τοιούτων ὑπεροχὴν τὸ ἄνω φήσει τῆς οὐσίας
ἐνδείκνυσθαι. καὶ γὰρ καὶ τοῦτο παντὶ γνώριμον, μὴ ὅτι
τοῖς ἐπὶ σοφίᾳ πλεονεκτεῖν ὑπειλημμένοις, ὅτι ἀνενδεὴς
πρὸς τελείαν ἀγαθότητά τε καὶ δύναμιν καὶ πάντα τὰ τοι-
αῦτα ἥ τε τοῦ μονογενοῦς καὶ ἡ τοῦ ἁγίου πνεύματός ἐστιν
168 ὑπόστασις. τὰ γὰρ ἀγαθὰ πάντα, ἕως ἂν ἀπαράδεκτα τοῦ
ἐναντίου μένῃ, ὅρον οὐκ ἔχει τῆς ἀγαθότητος, ἐπειδὴ μόνοις
τοῖς ἐναντίοις πέφυκε περιγράφεσθαι, ὡς ἐπὶ τῶν καθ'
ἕκαστον ὑποδειγμάτων ἔστιν ἰδεῖν. ἡ δύναμις ἀσθενείας
περιλαβούσης ἵσταται, ἡ ζωὴ θανάτῳ περιορίζεται, φωτὸς
πέρας τὸ σκότος γίνεται, καὶ πάντα συνελόντι φάναι, τὰ
169 καθ' ἕκαστον ἀγαθὰ τοῖς ἐναντίοις ἐναπολήγει. εἰ μὲν οὖν
τρεπτὴν πρὸς τὸ χεῖρον τὴν φύσιν τοῦ μονογενοῦς καὶ τοῦ
πνεύματος ὑποτίθεται, εἰκότως ἐπ' αὐτῶν κατασμικρύνει τὴν
τῆς ἀγαθότητος ἔννοιαν, ὡς δυναμένων καὶ τοῖς ἐναντίοις
συνενεχθῆναι. εἰ δὲ ἀνεπίδεκτός ἐστι τοῦ χείρονος ἡ θεία
τε καὶ ἀναλλοίωτος φύσις, καὶ τοῦτο παρ' αὐτῶν τῶν ἐχ-
θρῶν ὡμολόγηται, ἀόριστος πάντως ἐν τῷ ἀγαθῷ θεω-
ρεῖται, τὸ δὲ ἀόριστον τῷ ἀπείρῳ ταὐτόν ἐστιν. ἀπείρου δὲ
καὶ ἀορίστου πλεονασμὸν καὶ ἐλάττωσιν ἐννοεῖν τῆς ἐσχάτης
304 M. ἀλογίας ἐστί. πῶς γὰρ ἂν ὁ τῆς ἀπειρίας διασωθείη λόγος,
170 εἰ τὸ πλέον τε καὶ ἔλαττον ἐν αὐτῷ δογματίζοιτο; ἐκ γὰρ
τῆς τῶν περάτων πρὸς ἄλληλα παραθέσεως τὸ πλέον δια-
γινώσκομεν· ἐφ' ὧν δὲ πέρας οὐκ ἔστι, πῶς ἄν τις δυνη-
171 θείη τὸ περισσὸν ἐννοῆσαι; ἢ οὐχὶ τοῦτο, χρονικὴν δέ τινα
τὴν ὑπεροχὴν ἐννοῶν κατὰ τὰ πρεσβεῖα τῆς ἀρχαιότητος
τὸ πλέον νέμει, καὶ διὰ τοῦτο τὴν τοῦ πατρὸς οὐσίαν μόνην

VLBCTS 1 οὐδὲ τὴν δυνάμεως L 2 φησὶ L 3 ἐνδείκνυται L καὶ γὰρ καὶ VLS v (cf p 76, 19): om alterum καὶ BCT 5 τε post ἀγαθότητα om BCT 6 ἡ ante τοῦ om VL v 7-8 τοῦ ἐναντίου μένῃ: τοῦ ἐναντιουμένου v 11 παραλαβούσης v 12 γίνεται: ἐστὶ v 15 ἐν αὐτῷ V 20 τῷ ante ἀπείρῳ om v 26 χρονικὴν litterae ρον suprascr, duo litt eras V 27 ἐννοῶν: ἀγνοῶν V

ἀνωτάτω φησίν; οὐκοῦν εἰπάτω, τίνι τὸ πλέον τῆς τοῦ πα-
τρὸς ζωῆς διεμέτρησε, μηδενὸς διαστήματος χρονικοῦ προ-
επινοουμένου τῆς τοῦ μονογενοῦς ὑποστάσεως.
172 Καίτοι εἰ καὶ τοῦτο ἦν (εἰρήσθω γὰρ καθ' ὑπόθεσιν
τέως), ἡ τῷ χρόνῳ προήκουσα τῆς μεταγενεστέρας οὐσίας
τί μᾶλλον ἔχει τὸ εἶναι, κατ' αὐτὸν λέγω τὸν τοῦ εἶναι
λόγον, ὥστε τὴν μὲν ἀνωτάτω καὶ κυρίαν λέγειν, τὴν
δὲ μὴ οὕτως ἔχειν; τοῦ γὰρ προγενεστέρου πρὸς τὸ νεώ-
τερον ὁ μὲν χρόνος τῆς ζωῆς πλείων ἐστίν, ἡ δὲ οὐσία
173 παρὰ τοῦτο οὔτε πλέον οὔτε ἔλαττον ἔχει. σαφέστερον δὲ
τοῦτο καὶ δι' ὑποδειγμάτων γενήσεται. τί ἔλαττον εἶχε τοῦ
Ἀβραὰμ κατὰ τὸν τῆς οὐσίας λόγον ὁ μετὰ δεκατέσσαρας
γενεὰς ἀναδειχθεὶς Δαβίδ; ἆρά τι μετεποιήθη τῆς ἀνθρω-
πότητος ἐπὶ τούτου καὶ ἧττον ἄνθρωπος ἦν, ὅτι τῷ χρόνῳ
μεταγενέστερος; καὶ τίς οὕτως ἠλίθιος ὥστε τοῦτο εἰπεῖν;
174 εἷς γὰρ ἐφ' ἑκατέρων τῆς οὐσίας ὁ λόγος, οὐδὲν τῇ παρόδῳ
τοῦ χρόνου συναλλοιούμενος. οὐδ' ἄν τις εἴποι τὸν μὲν
μᾶλλον ἄνθρωπον εἶναι διὰ τὸ προήκειν τῷ χρόνῳ, τὸν δὲ
ἔλαττον μετέχειν τῆς φύσεως, ὅτι μεθ' ἑτέρους τῇ ζωῇ
ἐπεδήμησεν, ὥσπερ ἢ προαναλωθείσης ἐν τοῖς προλαβοῦσιν
τῆς φύσεως, ἢ τοῦ χρόνου τὴν δύναμιν ἐν τοῖς παρῳχηκόσι
175 προδαπανήσαντος. οὐδὲ γὰρ ἐπὶ τῷ χρόνῳ ἔστιν ἀφορίζειν
ἑκάστῳ τὰ μέτρα τῆς φύσεως, ἀλλὰ αὐτὴ μὲν ἐφ' ἑαυτῆς
μένει διὰ τῶν ἐπιγινομένων ἑαυτὴν συντηροῦσα· ὁ δὲ χρόνος
φέρεται κατὰ τὸν ἴδιον τρόπον εἴτε περιέχων εἴτε καὶ
παραρρέων τὴν φύσιν παγίαν καὶ ἀμετάθετον ἐν τοῖς ἰδίοις
176 μένουσαν ὅροις. οὐκοῦν οὐδὲ εἰ τῷ χρόνῳ δοθείη τὸ πλέον

VLBCTS 1 τίνι τὸ libri: τίνι τοῦ v (sed τινί που Oehler) 4 καὶ εἰ VL γὰρ S v: om VLBCT 5 προήκουσα BCTS v: προσήκουσα V περιήκουσα vel προσήκουσα (legi iam non potest) L 6 καθ' αὐτὸν B καθ' αὑτὸν VCT 7 ἀνωτάτην D (ἀνωτά S) 8 πρωτογενεστέρου V πρωγενεστέρου C πρω . . . γενεστέρου L ras duar litt 10 οὔτε bis scripsi: οὐδὲ libri (οὐδὲ pr: τὸ v) 15 οὗτος L (ω suprascr) 16 ὁ λόγος τῆς οὐσίας T 17 εἴποι: εἴπῃ v 19 ἔλαττον: ἧττον SD 20-21 τῆς φύσεως ἐν τοῖς προλ. C v 22 οὐδὲ scripsi: οὔτε 25-26 καὶ ante παραρρέων om v

ἔχειν, καθὼς ὁ λόγος ὑπέθετο, κυρίως τῷ πατρὶ μόνῳ τὸ
ἀνώτατον τῆς οὐσίας προσμαρτυρήσουσι· μηδεμιᾶς δὲ οὔσης
τῆς κατὰ τὰ πρεσβεῖα τοῦ χρόνου διαφορᾶς (πῶς γὰρ ἄν
τις ἐπὶ τῆς προαιωνίου φύσεως τὸ τοιοῦτον ἐπινοήσειε,
παντὸς διαστήματος μετρητικοῦ κάτω τῆς θείας φύσεως
εὑρισκομένου) τίς καταλείπεται λόγος τοῖς ἐπιχειροῦσι τὴν
πρόχρονόν τε καὶ ἀκατάληπτον οὐσίαν τῇ πρὸς τὸ ἄνω καὶ
κάτω διαφορᾷ διασχίζειν;
177 Ἀλλ' οὐδεμίαν ἀμφιβολίαν ὁ λόγος ἔχει, ὅτι συνη-
γορία τοῦ Ἰουδαϊκοῦ δόγματός ἐστι τὸ παρὰ τούτων δογ-
305 M. ματιζόμενον, μόνην ὑφεστάναι τοῦ πατρὸς τὴν οὐσίαν ἐν-
δεικνυμένων, ἣν μόνην κυρίως εἶναι διισχυρίζονται, τὴν δὲ
τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἐν τοῖς μὴ οὖσι λογιζομένων.
178 πᾶν γὰρ τὸ μὴ κυρίως ὂν ἐν ῥήματι μόνῳ καὶ καταχρήσει
συνηθείας εἶναι λέγεται, ὥσπερ καὶ ἄνθρωπος ὀνομάζεται
οὐχ ὁ διὰ μιμήσεως ἐπὶ τῆς εἰκόνος δεικνύμενος, ἀλλ' ὁ
κυρίως λεγόμενος. οὗτος οὐχ ὁμοίωμα τοῦ ἀνθρώπου,
ἀλλὰ τὸ ἀρχέτυπόν ἐστι τοῦ ὁμοιώματος· ἡ δὲ εἰκὼν μέ-
χρις ὀνόματος ἄνθρωπος καὶ διὰ τοῦτο οὐκ ἔχει τὸ κυρίως
λέγεσθαι ὅπερ λέγεται, ὅτι οὐκ ἔστι τῇ φύσει ὃ ὀνομάζεται.
179 καὶ ἐνταῦθα τοίνυν εἰ μόνου τοῦ πατρὸς ἡ οὐσία κυρίως
λέγεται, ἡ δὲ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος οὐκέτι, τί ἄλλο
ἢ οὐχὶ ἄρνησίς ἐστι περιφανὴς τοῦ σωτηρίου κηρύγματος;
οὐκοῦν ἀπὸ τῆς ἐκκλησίας ἐπὶ τὰς συναγωγὰς τῶν Ἰου-
δαίων παλινδρομείτωσαν, ἐν τῷ μὴ διδόναι τὸν υἱὸν κυρίως
εἶναι τὸ μηδὲ ὅλως εἶναι κατασκευάζοντες· τὸ γὰρ ἄκυρον
τῷ ἀνυπάρκτῳ ταὐτόν ἐστιν.
180 Ἐπεὶ δὲ καὶ σοφὸς εἶναι τὰ τοιαῦτα βούλεται καὶ
διαπτύει τοὺς ἄνευ λογικῆς ἐντρεχείας ἐπιχειροῦντας τῷ
γράφειν, εἰπάτω τοῖς καταφρονουμένοις ἡμῖν, ἐκ ποίας σο-

VLBCTS 2 προμαρτυρήσουσι CT 3 γὰρ post πῶς om v parenthesin indicavi 5 γὰρ post παντὸς addunt VL v τῷ ante κάτω add v 17 post οὗτος dist libri v οὗτος VLS v: οὕτως BCT 21 μόνου: μόνη B 24-25 τῶν Ἰουδαίων om BT 28 ἐπειδὴ δὲ S 29 λογικῆς ἄνευ ἐντρ. T 30 εἰπάτω om VL sed in marg add L[2]

181 φίας τὸ μᾶλλόν τε καὶ ἧττον τῆς οὐσίας ἐγνώρισε. τις
<ὁ> λόγος ὁ τὴν τοιαύτην διαφορὰν παραστήσας, ὅτι οὐσία
τις ἑτέρας οὐσίας μᾶλλον ἔστι; κατ' αὐτὸ λέγω τὸ σημαι-
νόμενον τῆς οὐσίας· μὴ γὰρ δὴ προφερέτω τὰς τῶν ποιοτή-
των ἢ τὰς τῶν ἰδιωμάτων διαφοράς, ὅσαι περὶ τὴν οὐσίαν
τῷ λόγῳ τῆς ἐπινοίας καταλαμβάνονται, ἄλλο τι παρὰ τὸ
182 ὑποκείμενον οὖσαι. οὐ γὰρ ἀτμῶν ἢ χρωμάτων ἢ βά-
ρους ἢ δυνάμεως ἢ ἀξιώματος ἢ τρόπων καὶ ἤθους δια-
φορὰς ἢ εἴ τι ἄλλο περί τε σῶμα καὶ ψυχὴν θεωρεῖται,
ταῦτα πρόκειται νῦν ἐξετάζειν, ἀλλ' αὐτὸ λέγω τὸ ὑποκεί-
μενον, ᾧ κυρίως τὸ τῆς οὐσίας ἐπικέκληται ὄνομα, εἴ τινα
πρὸς ἄλλην οὐσίαν ἐν τῷ μᾶλλον εἶναι τὴν διαφορὰν ἔχει.
ἀλλ' οὔπω μέχρι τοῦ νῦν ἀκηκόαμεν δύο τινῶν ὁμολογου-
μένων εἶναι, ἕως ἂν ἀμφότερα ᾖ, τὸ μέν τι μᾶλλον, τὸ δ'
ἔλαττον εἶναι· ἔστι γὰρ ὁμοίως ἑκάτερον, ἕως ἂν ᾖ, καθὸ
ἔστιν, ὑπεξῃρημένου, καθὼς προείρηται, τοῦ κατὰ τὸ προτι-
μότερον ἢ διαρκέστερον λόγου.
183 Εἰ μὲν οὖν οὐ δίδωσιν ὅλως ἐν οὐσίᾳ τὸν μονογενῆ θεω-
ρεῖσθαι (πρὸς τοῦτο γὰρ ἔοικε λεληθότως αὐτῷ κατο-
λισθαίνειν ὁ λόγος), ὁ μὴ διδοὺς αὐτῷ τὸ κυρίως εἶναι
μηδὲ τὸ ἧττον ἐπ' αὐτοῦ συγχωρείτω. εἰ δὲ ἐνούσιον δύ-
ναμιν ὁμολογεῖ τὸν υἱὸν ὁπωσοῦν ὑποστάντα (οὔπω γὰρ περὶ
τούτου διαμαχόμεθα), τί πάλιν ἀφαιρεῖται ὃ δίδωσι τὸν ὁμο-
λογηθέντα εἶναι, τὸ μὴ κυρίως εἶναι κατασκευάζων, ὅπερ
184 ἴσον ἐστί, καθὼς εἴρηται, τῷ μηδὲ ὅλως εἶναι; ὡς γὰρ οὐκ
ἔστιν ἄνθρωπον εἶναι, ᾧ μὴ τελείως ὁ κατὰ τὸ ὄνομα λόγος
ἐφήρμοσται, τῷ δὲ ἐλλείποντι τῶν ἰδιωμάτων ὅλος ὁ

1 Gregorius ostendere studet Eunomium nescire Aristotelis Categorias i.e. logices fundamenta, nam Cat. 3b 33 demonstratur ὅτι οὐσία οὐσίας οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον

VLBCTS 1 καὶ τὸ ἧττον B τῆς οὐσίας corr legi nequit S 2 ὁ supplevi 3 τις: τῆς VL 4 περιφερέτω BCT 5 ὅσα VL 6 ἀλλ' ὅτι BCT ἄλλό τι V 8 τροπῶν V καὶ post ἤθους add V 10 λέγει L τὸ om v 11 ὃ κυρίως V ᾧ om B τῷ τῆς V ὀνόματι V ὄνομα ex ὀνόματι corr L εἴ τινα: τίνα (om εἰ) V 14 verba ἕως usque ad 15 εἶναι om L 25 τῷ μηδὲ: τὸ μηδὲ VL

τῆς οὐσίας αὐτῷ συνδιαγράφεται λόγος, οὕτω καὶ ἐπὶ
παντὸς πράγματος, ᾧ μὴ τελείως μήτε κυρίως τὸ εἶναι
προσμαρτυρεῖται, οὐδεμίαν ἀπόδειξιν ἔχει τῆς ὑποστάσεως
308 M. ἡ μερικὴ τοῦ εἶναι συγκατάθεσις, ἀλλὰ τὴν καθόλου τοῦ
ὑποκειμένου ἀναίρεσιν κατασκευάζει ἡ περὶ τοῦ μὴ τελείως
185 εἶναι κατασκευή. ὥστε εἰ μὲν εὖ φρονεῖ, πρὸς τὴν εὐσεβῆ
διάνοιαν μεταθέσθω, τὸ ἧττον καὶ τὸ ἄκυρον ἐπὶ τῆς οὐσίας
τοῦ μονογενοῦς τε καὶ τοῦ ἁγίου πνεύματος ὑφελὼν ἐκ
186 τοῦ δόγματος. εἰ δὲ ἀσεβεῖν ἔγνωκε πάντως, [ὡς] ἔγωγε
οὐκ οἶδα ἀνθ' ὅτου καὶ βούλεται τὸν κτίστην ἑαυτοῦ καὶ
θεὸν καὶ εὐεργέτην διὰ βλασφημίας ἀμείβεσθαι. τὴν γοῦν
τοῦ δοκεῖν τις εἶναι κατὰ τὴν παίδευσιν ὑπόνοιαν ζημιούσθω,
ἀμαθῶς οὐσίαν ὑπερτιθεὶς οὐσίας καὶ τὴν μὲν ἄνω τὴν
δὲ κάτω κατὰ τὸν μὴ εὑρισκόμενον λόγον ἀποφαινόμενος
καὶ τῇ μὲν τὸ κύριον τῇ δὲ τὸ μὴ τοιοῦτον προσμαρτυρῶν.
οὔτε γὰρ τῶν ἔξω τῆς πίστεως πεφιλοσοφηκότων ἔγνωμέν
τινα τοῦτο ληρήσαντα, οὔτε ταῖς θεοπνεύστοις φωναῖς οὔτε
ταῖς κοιναῖς ἐννοίαις τὸ τοιοῦτο συμβαίνει.
187 Τὸν μὲν οὖν σκοπὸν τῆς τῶν ὀνομάτων τούτων ἐπι-
νοίας ἱκανῶς ἐκ τῶν εἰρημένων οἴομαι πεφανερῶσθαι, ὅτι
καθάπερ ὁρμητήριον ἢ θεμέλιον τῆς πάσης ἑαυτοῦ περὶ
τὸ δόγμα κακουργίας τὰ ῥήματα ταῦτα προϋποβάλλεται,
ἵνα κατασκευάσας τὸ μόνην τὴν μίαν οὐσίαν ἀνωτάτω τε
καὶ κυριωτάτην νομίζειν ῥᾳδίως κατατρέχῃ τῶν ἄλ-
188 λων ὡς ἐν τοῖς κάτω καὶ μὴ κυρίως θεωρουμένων. δεί-
κνυσι δὲ τοῦτο μάλιστα διὰ τῶν ἑξῆς, ἐν οἷς τὰ δοκοῦντα
περὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος διαλεγόμενος οὐκ
ἐπὶ τῶν ὀνομάτων ἔρχεται τούτων, ἵνα μή, καθὼς προεῖπον,
τὸ οἰκεῖον τῆς φύσεως αὐτῶν ταῖς προσηγορίαις καὶ μὴ

VLBCTS 7 μεταθέσθω: μεταθέσθαι v 9 ἐπέγνωκεν VL (ν erasum) ὡς ἔγωγε om L qui scribit ἐπαίρων τὸ ἓν (sed ων τὸ ἓν add L[2]) ὡς delevi 13 ἄνω: ἀνωτάτω V 18 τὸ μὴ τοιοῦτον συμβαίνειν BCT τοιοῦτον S 19 σκοπὸν ἐκ τῆς V 20 οἴομαι: εἶναι V οἶμαι L 24 κυριωτάτω C κατατρεχ in rasura η L[2] 25-26 δείκνυται BT καθ' ἑξῆς VL

βουλόμενος παραστήσῃ, ἀλλ' ἀνώνυμον αὐτῶν ποιεῖται τὴν
μνήμην ὁ δογματίζων ἀπὸ τῶν προσφυῶν ὀνομάτων
καὶ ῥημάτων δεῖν τὰς τῶν ἀκουόντων διανοίας προσάγεσθαι.
189 καίτοι τί προσφυέστερον ὄνομα τοῦ παρ' αὐτῆς τῆς ἀλη-
θείας ὠνομασμένου; ἀλλ' ἀντιδογματίζει τοῖς εὐαγγελίοις
οὐχ υἱὸν ὀνομάζων, ἀλλὰ τὴν δι' ἐκείνην μὲν οὖσαν,
μετ' ἐκείνην δὲ πάντων τῶν ὄντων πρωτεύου-
σαν. τοῦτο δὲ ὅτι μὲν ἐπὶ καθαιρέσει τῆς εὐσεβοῦς περὶ
τοῦ μονογενοῦς ὑπολήψεως λέγεται, ἐκ τῆς λοιπῆς αὐτοῦ
190 κατασκευῆς μᾶλλον φανερωθήσεται. ἐπεὶ δὲ μέσως ἔχειν
δοκεῖ τὰ εἰρημένα, ὡς καὶ τὸν μηδὲν ἀσεβὲς περὶ τοῦ Χρι-
στοῦ λέγοντα χρήσασθαι ἄν ποτε τοῖς ῥήμασι τούτοις, διὰ
τοῦτο καὶ αὐτὸς τὸν περὶ τοῦ κυρίου λόγον νῦν ὑπερβήσομαι,
ταῖς φανερωτέραις κατ' αὐτοῦ βλασφημίαις ταμιευσάμενος
τὴν ἀντίρρησιν· περὶ δὲ τοῦ ἁγίου πνεύματος ἐπειδὴ φανερᾷ
καὶ ἀπαρακαλύπτῳ χρῆται τῇ βλασφημίᾳ, λέγων ἀσύντακτον
εἶναι πατρὶ καὶ υἱῷ, ἀμφοτέροις δὲ ὑποτεταγμένον, ἤδη
καθόσον ἂν οἷός τε ὦ, ἐξετάσω τὸν λόγον.
191 Τί τοίνυν τῆς ὑποταγῆς ἐστι τὸ σημαινόμενον καὶ ἐπὶ
τίνων ἡ θεία γραφὴ τῷ τοιούτῳ προσχρῆται ῥήματι, πρῶ-
τον κατανοήσωμεν. τιμῶν τὸν ἄνθρωπον τῷ κατ' εἰκόνα
309 M. γεγενῆσθαι τοῦ κτίσαντος πᾶσαν αὐτῷ τὴν ἄλογον φύσιν
ὑπέταξεν ὁ κτίσας θεός, καθὼς ὁ μέγας Δαβὶδ ἐν ὕμνοις
192 τὴν χάριν ταύτην διεξιὼν ἀνευφήμησε. Πάντα γάρ, φησίν,
ὑπέταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ, καὶ ἐπ' ὀνόματος
μέμνηται τῶν ὑποτεταγμένων. ἔστι πάλιν ὑποταγῆς παρὰ
τῇ θείᾳ γραφῇ καὶ ἄλλο τὸ σημαινόμενον. τῶν γὰρ ἐν

24 Ps 8, 7 cf Hebr 2, 8

VLBCTS 1 παραστήσει V 4 τοῦ παρ' αὐτοῦ BT 6 ἐκείνης D (-ην S) 11 post δοκεῖ add νῦν αὖ V νῦν αυτὰ L, sed τα ante αυτὰ add, spiritum eff, ὰ in ῶ mutavit L² 13 περὶ : ὑπὲρ S 14 βλασφημίαις om VL 16 ἀπερικαλύπτω BTS 17 ἤδη om V ἤδ L sed η add L² in rasura 18 καθὼς ἂν VL καθόσον BCTS v correxi κατεξετάσω CTS 21 τῷ : διὰ τὸ VL 23 κτίσας om S 24-25 ὑπέταξε φησὶ collocat V 26 παρὰ om V 27 ἄλλο τὸ : ἕτερον S (om τὸ)

τοῖς πολέμοις κατορθωθέντων αὐτῷ τῷ θεῷ τῶν ὅλων
ἀνατιθεὶς τὴν αἰτίαν Ὑπέταξε λαούς, φησίν, ἡμῖν καὶ ἔθνη
ὑπὸ τοὺς πόδας ἡμῶν, καὶ πάλιν Ὁ ὑποτάσσων λαοὺς ὑπ'
193 ἐμέ. καὶ πολλάκις ἔστι τὴν φωνὴν ταύτην ἐν ταῖς θείαις
εὑρεῖν γραφαῖς τὸ κατὰ τῶν ἀντιτεταγμένων κράτος ὑπο-
σημαίνουσαν. τὸ γὰρ τοῦ ἀποστόλου περὶ τῆς ἐν ὑστέρῳ
γενησομένης ὑποταγῆς πάντων τῶν ἀνθρώπων πρὸς τὸν
μονογενῆ καὶ δι' αὐτοῦ πρὸς τὸν πατέρα, ἐν οἷς ἐν τῷ
βάθει τῆς σοφίας τὸν μεσίτην θεοῦ καὶ ἀνθρώπων αὐτὸν
ὑποτάσσεσθαι τῷ πατρὶ λέγει, τὴν πάντων ἀνθρώπων
ὑπακοὴν διὰ τῆς τοῦ υἱοῦ τοῦ μετεσχηκότος τῆς ἀνθρω-
πότητος πρὸς τὸν πατέρα ὑποταγῆς αἰνισσόμενος, ὡς πλεί-
ονος καὶ φιλοπονωτέρας δεόμενον τῆς ἐξηγήσεως πρὸς τὸ
194 παρὸν ὑπερθήσομαι. ἀλλ' ἐν τοῖς προδήλοις, ἐν οἷς οὐδε-
μίαν ἀμφιβολίαν τὸ τῆς ὑποταγῆς σημαινόμενον ἔχει, κατὰ
τίνα νοῦν ὑποτετάχθαι τὴν τοῦ πνεύματος οὐσίαν τῇ τοῦ
υἱοῦ καὶ τοῦ πατρὸς ἀποφαίνεται; ὡς ὁ υἱὸς τῷ πατρὶ
195 ὑποτάσσεται, καθὼς νοεῖ ὁ ἀπόστολος; οὐκοῦν κατὰ τοῦτο
συντάσσεται τῷ υἱῷ τὸ πνεῦμα, οὐχ ὑποτάσσεται, εἴπερ τὰ
δύο πρόσωπα τῶν ὑποταττομένων ἐστίν; ἢ οὐχ οὕτως;
πῶς οὖν ἑτέρως; ὡς τῇ λογικῇ φύσει τὴν ἄλογον ἐν τῷ
ψαλμῷ μεμαθήκαμεν; οὐκοῦν τοσοῦτον παρήλλακται ὅσον
ἡ τῶν κτηνῶν πρὸς τὸν ἄνθρωπον. ἀλλὰ παραγράφεται καὶ
τοῦτον ἴσως τὸν λόγον. οὐκοῦν ἐπὶ τὸν λειπόμενον ἥξει,

2 Ps 46,4 3 Ps 143,2 et 17,48 6 I Cor 15,28 13-14 hunc laborem Gregorius praestitit postea in libello '*In illud: quando sibi subiecerit omnia*'

VLBCTS 2 ἡμῖν φησίν BCT 5-6 ὑποσημαίνουσαν : ἀποσημαίνουσαν VL v 6 περὶ : ἐπὶ v 7 τῶν post πάντων om V 8 verba a καὶ usque ad πατέρα om BT 10 τῶν post πάντων add V 11 τοῦ post υἱοῦ om VL v 14 ὑπερβήσομαι L 16-17 τοῦ πατρὸς καὶ τοῦ υἱοῦ L 17 ὁ ante υἱὸς om v 20 ὑποταττομένων S v : ὑποτασσομένων VL ὑποτεταγμένων BCT (cf ad p 72,6) ὑποτάσσεσθαι ad 21 τὴν ἄλογον supplendum sensu (cf p 82,24 sq et Psalm 8,6-9) ex 18 22 ὅσον om VL sed add L² 23 περιγράφεται v 23-24 ἴσως καὶ τοῦτον coll BT

ὅτι ἀντιτεταγμένη καὶ ἀντιστατοῦσα τὸ πρότερον μετὰ ταῦτα
διὰ βιαιοτέρας ἀνάγκης ὑποκύπτειν κατηναγκάσθη τῷ κατ-
196 ισχύσαντι; ἐπιλεξάσθω τῶν εἰρημένων ὃ βούλεται· ἀλλ'
οὐκ οἶδα τί τούτων ἑλόμενος τὴν ἄφυκτον κατάκρισιν τῆς
βλασφημίας ἐκφεύξεται, εἴτε ἐν ἴσῳ τοῖς ἀλόγοις ὑποτε-
τάχθαι λέγοι τὸ πνεῦμα, ὡς τῷ ἀνθρώπῳ τοὺς ἰχθύας καὶ
τὰ πετεινὰ καὶ τὰ πρόβατα, εἴτε καθ' ὁμοιότητα τῶν ἀφε-
στώτων ὥσπερ αἰχμάλωτον προσάγοι τῷ πλεονεκτοῦντι κατὰ
τὴν δύναμιν.
197 Ἢ τούτων μὲν οὐδέν, φήσει δὲ μὴ κατὰ τὴν τῆς γρα-
φῆς ἔννοιαν τῷ τῆς ὑποταγῆς ῥήματι χρήσασθαι, ἀλλὰ
καθ' ἕτερον σημαινόμενον ὑποτετάχθαι τὸ πνεῦμα τῷ πατρὶ
καὶ τῷ υἱῷ λέγειν; τί οὖν ἐστι τοῦτο; ἆρα ὅτι τρίτον κατὰ
τὴν τάξιν ἣν <ἣ> παρὰ τοῦ κυρίου τοῖς μαθηταῖς παρε-
δόθη, διὰ τοῦτο ὑποτάσσειν νομοθετεῖ καὶ οὐ συντάσσειν;
198 οὐκοῦν καὶ τὸν πατέρα τῷ μονογενεῖ κατὰ τὸν αὐτὸν λόγον
ὑποτασσέτω, ἐπειδὴ πολλαχοῦ προτάξασα τοῦ κυρίου τὸ
ὄνομα ἡ θεία γραφὴ ἐν δευτέροις τοῦ ἐπὶ πάντων θεοῦ τὴν
μνήμην πεποίηται. Ἐγὼ καὶ ὁ πατήρ, φησὶν ὁ κύριος, τὸ
199 καθ' ἑαυτὸν προτάσσων. καὶ Ἡ χάρις τοῦ κυρίου ἡμῶν
312 M. Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ, καὶ μυρία τοιαῦτα
τοῖς φιλοπόνως ἀναζητοῦσι τὰς ἐκ τῶν γραφῶν μαρτυρίας
πάρεστιν ἀναλέξασθαι, οἷον κἀκεῖνό ἐστι· Διαιρέσεις δὲ
χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα, καὶ διαιρέσεις διακο-
νιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος, καὶ διαιρέσεις ἐνεργημάτων
εἰσίν, ὁ δὲ αὐτὸς θεός. ὥστε κατὰ τὸν λόγον τοῦτον ὑπο-

14 Matth 28, 19   19 Joh 10,30   20-21 II Cor 13, 13   23 I Cor 12, 4

VLBCTS 1 ἀντιστρατοῦσα v   2 βιαιοτέρας BT (C legi non potest): βεβαιοτέρας VLS v   4 τοῦτον V   6 λέγοι VL: λέγει BCTS v τὸ πνεῦμα in fine pag om L   ὡς τὸ L   10 φήσει correxi (cf 5 ἐκφεύξεται): φησὶ libri v   13 λέγειν: λέγει L   14 ἣν ἣ correxi: ἣν L ἣ VBCT v (sed ν erasum VC) om S   τοῦ om V   16 τὸν μονογενεῖ L τῶ effecit L^2 22 φιλοπόνοις v   τὰς ante ἐκ om V   μαρτυρίας om V   23 ἐκεῖνο BCTS v   25 κύριος — 26 αὐτὸς om L

τετάχθω τῷ υἱῷ καὶ τῷ πνεύματι ὁ ἐπὶ πάντων θεός, ἐν
200 τρίτῃ τάξει παρὰ τοῦ Παύλου μνημονευθείς. ἀλλ' οὐδέπω
καὶ νῦν ταύτης ἀκηκόαμεν τῆς σοφίας, ἡ τὸ δεύτερον καὶ
τρίτον ἔκ τινος ἀκολουθίας λεγόμενον εἰς τὴν τῶν ὑποχει-
ρίων καὶ ὑποτεταγμένων ἀπωθεῖται τάξιν, ὅπερ οὗτος βού-
λεται, τὴν τῆς παραδόσεως τῶν προσώπων ἀκολουθίαν
ἀξιωμάτων καὶ φύσεων ὑπεροχάς τε καὶ ἐλαττώσεις κατα-
201 σκευάζων ἐνδείκνυσθαι. τῆς γὰρ τῶν φύσεων ἑτερότητος
ἐνδεικτικὴν εἶναι τὴν τῆς τάξεως ἀκολουθίαν ὁρίζεται, οὐκ
οἶδα πόθεν φαντασθεὶς τὰ τοιαῦτα καὶ ἐκ ποίας ἀνάγκης
ἐπὶ τὴν ὑπόνοιαν ταύτην καταπεσών· οὐ γὰρ ἡ κατὰ τὸν
ἀριθμὸν τάξις τὴν τῶν φύσεων διαφορὰν κατεργάζεται, ἀλλὰ
τὰ μὲν ἀριθμούμενα ὡς ἂν ἔχῃ φύσεως, ἐφ' ἑαυτῶν μένει
202 κἂν ἀριθμῆται κἂν μή. ὁ δὲ ἀριθμὸς σημεῖόν ἐστι γνω-
ριστικὸν τῆς τῶν πραγμάτων ποσότητος, οὐ πάντως ὅσα τῷ
ἀξιώματι τῆς φύσεως ὑποβέβηκεν εἰς δευτέραν τάξιν ἀπο-
πεμπόμενος, ἀλλὰ πρὸς τὸ βούλημα τῶν ἐξαριθμούντων τὴν
τῶν σημαινομένων διὰ τοῦ ἀριθμοῦ πραγμάτων ἀκολουθίαν
ποιούμενος. Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος, τριῶν
προσώπων ἐνταῦθα μνημονευθέντων κατὰ τὸ τοῦ μνημονεύ-
σαντος βούλημα, ἆρα τὸν Σιλουανὸν ἐν δευτέροις ταχθέντα
μετὰ τὸν Παῦλον ἄλλο τι καὶ οὐχὶ ἄνθρωπον ὁ ἀριθμὸς
203 ἐνεδείξατο; ἢ καὶ ὁ Τιμόθεος ἐν τρίτοις ταχθεὶς εἰς ἑτε-
ρότητά τινα φύσεως ἐκ τῆς ἀκολουθίας τοῦ μνημονεύσαντος

19 cf I Thess 1, 1

VLBCTS 4 ἀκολουθίας: ἀληθείας V   5 ἀποθεῖται V   7-9 ἀξιωμάτων — τάξεως om L a primo ἀκολουθίαν (6) ad alterum (9) aberrans; tum va 7 τῶν (om ἀξιωμα) καὶ φύσεων — 9 ἀκ. ὁρίζεται post 9 ἀκ. ὁρίζεται perverse inculcavit. postea L^2 ἣν γὰρ pro τὴν et ταύτην pro falso τῶν (7) corr   10 τὰ ante τοιαῦτα om S   11 ἐπὶ: ὑπὸ V   11-12 τῶν ἀριθμῶν V   13 μένη VL   14-15 γνωστικὸν V   16-17 ὑποπεμπόμενος V   18 μαινομένων (cf ad 7-9) L ση praeposuit L^2 διὰ L^2 e coniectura: om libri v   21 βούλημα: βλέμμα V   ἆρα τὸ v   22 οὐκ ἄνθρωπον VS   23 καὶ post ἢ om BCTS v   24 μνημονεύοντος v

οὕτως ὑπενοήθη; οὐκ ἔστι ταῦτα. ἄνθρωπος γὰρ τούτων
ἕκαστος καὶ πρὸ τοῦ ἀριθμοῦ καὶ μετὰ τοῦτο· ὁ δὲ λόγος
ἐπειδὴ μιᾷ φωνῇ τοὺς τρεῖς κατὰ ταὐτὸν ἦν ἀδύνατον ἐν-
δείξασθαι, μέμνηται μὲν διῃρημένως ἑκάστου κατὰ τὴν
ἀρέσασαν τάξιν, συνάπτει δὲ τὰ ὀνόματα διὰ τῶν διὰ μέσου
συνδέσμων, ὡς ἂν οἶμαι τὴν τῶν τριῶν πρὸς τὸ ἓν σύμ-
204 πνοιαν διὰ τῆς τῶν ὀνομάτων συναφείας ἐνδείξηται. ἀλλ'
οὐχ οὕτως ἀρέσκει τῷ καινῷ δογματιστῇ, ἀντινομοθετεῖ δὲ
τῇ διατάξει τῆς θείας φωνῆς, καὶ τὸ συντεταγμένον ὑπ'
αὐτοῦ τοῦ κυρίου πατρὶ καὶ υἱῷ τῆς οἰκείας αὐτῷ καὶ κατὰ
φύσιν τάξεως καὶ συναφείας ἀποσχοινίσας ἐν τοῖς ὑποταγ-
μένοις ἠρίθμησε καὶ ἔργον ἑκατέρων εἶναί φησι, τοῦ μὲν
πατρὸς ὡς τὴν αἰτίαν τῆς κατασκευῆς ὑποβαλόντος, τοῦ
δὲ μονογενοῦς ὡς αὐτουργήσαντος αὐτοῦ τὴν ὑπόστασιν, καὶ
ταύτην αἰτίαν εἶναι τῆς ὑποταγῆς διορίζεται, αὐτῆς μήπω
τῆς ὑποταγῆς ἐκκαλύψας τὸ σημαινόμενον.
205 Εἶτά φησι· συμπεριλαμβανομένων δηλαδὴ καὶ
τῶν ταῖς οὐσίαις ἑπομένων ἐνεργειῶν καὶ τῶν
313 M. ταύταις προσφυῶν ὀνομάτων. τούτων δὲ ὁ νοῦς
ἐστὶ μὲν οὐ λίαν εὐσύνοπτος, πολλῷ τῷ γνόφῳ τῆς ἀσα-
φείας κεκαλυμμένος, ὡς δ' ἄν τις εἰκάσας ὑπονοήσειε,
206 τοιοῦτός ἐστιν· ἐνεργείας οὐσιῶν ὀνομάζει τὰς ἀπο-
τελεστικάς, ὡς οἶμαι, τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος
δυνάμεις, δι' ὧν ἡ πρώτη οὐσία τὴν δευτέραν εἰργάσατο
καὶ ἡ δευτέρα τὴν τρίτην, καὶ τὰ ὀνόματα τῶν ἀπο-
τελεσθέντων ἔργων προσφυῶς συγκατεσκευάσθαι τοῖς ἔρ-
γοις φησίν. ἀλλὰ τὴν μὲν περὶ τὰ ὀνόματα κακουργίαν
ἤδη τε κατὰ τὸ δυνατὸν ἐξητάσαμεν, καὶ ὅταν εἰς ἐκεῖνο

27-28 supra § 156-160

VLBCTS 1 ὑπενοήθην VL sed ν eras (L²?) 3 καταὐτὸν L κατὰ ταὐτὸν L² 5 διὰ alt om V 6 περὶ τὸ ἓν VL 10 αὐτῷ: αὐτὸ B 13 ὑποβάλλοντος V v 17 συμπαραλαμβανομένων VBCT 20-21 ἀσαφείας VLS: ἀσεβείας BCT v 21 κεκωλυμένος (ω in ras ut vid) V post ὡς rasura L

τὸ μέρος τῆς ἐξετάσεως ἔλθωμεν, ἐὰν ὁ λόγος ἐπιζητῇ,
πάλιν προθήσομεν.
207 Τέως δὲ νῦν ἄξιόν ἐστι λογίσασθαι, πῶς ἕπονται
ταῖς οὐσίαις αἱ ἐνέργειαι, τί οὖσαι κατὰ τὴν ἰδίαν φύσιν,
ἄλλο τι παρὰ τὰς οὐσίας αἷς παρέπονται ἢ μέρος ἐκείνων
καὶ τῆς αὐτῆς φύσεως· καὶ εἰ μὲν ἄλλο, πῶς ἢ παρὰ
τίνος γενόμεναι, εἰ δὲ τὸ αὐτό, πῶς ἀποτεμνόμεναι καὶ
ἀντὶ τοῦ „συνυπάρχειν" αὐταῖς ἔξωθεν παρεπόμεναι.
208 οὐδὲ γὰρ ἁπλῶς οὕτως ἐκ τῶν εἰρημένων ἔστι μαθεῖν,
πότερον ἀνάγκης τινὸς φυσικῆς ἀπροαιρέτως τὴν ἐνέργειαν,
ἥτις ποτὲ αὕτη ἐστίν, ἀκολουθεῖν τῇ οὐσίᾳ βιαζομένης, ὡς
ἕπεται τῷ πυρὶ ἡ καῦσις καὶ οἱ ἀτμοὶ καὶ αἱ ἀναθυμιά-
σεις τοῖς ἀφ' ὧν ταῦτα γίνονται σώμασιν — ἀλλ' οὐκ ἂν
αὐτὸν οἶμαι τοῦτο εἰπεῖν, ὥστε ποικίλον τι χρῆμα καὶ σύν-
θετον νομίζειν τοῦ θεοῦ τὴν οὐσίαν, ἀχώριστον ἔχουσαν
καὶ συνεπιθεωρουμένην ἑαυτῇ τὴν ἐνέργειαν, ὥς τι συμβε-
βηκὸς ἐν ὑποκειμένῳ δεικνύμενον — ἀλλὰ προαιρετικῶς
καὶ αὐτεξουσίως κινουμένας τὰς οὐσίας τὸ δοκοῦν φησι
209 καθ' ἑαυτὰς ἀπεργάζεσθαι. καὶ τίς τὸ ἐκ προνοίας ἑκου-
σίως γινόμενον ὥς τι τῶν ἔξωθεν ἐπακολουθούντων ἕπε-
σθαι λέγει; οὐδὲ γὰρ κατὰ τὴν κοινὴν συνήθειαν ἐπὶ τῶν
τοιούτων ἔγνωμεν τετριμμένην τὴν λέξιν, ὥστε τὴν ἐνέρ-
γειαν τοῦ περί τι πονοῦντος ἀκολουθεῖν τῷ πονοῦντι λέγειν·
οὐδὲ γὰρ ἔστι δυνατὸν τὸ ἕτερον τοῦ ἑτέρου διαζεύξαντα
καταλαβεῖν ἐφ' ἑαυτοῦ τὸ λειπόμενον, ἀλλ' ὁ τὴν ἐνέργειαν

8 συνυπάρχειν] hoc enim vocabulo logici uti in eo genere solebant, quod Eunomius novaverat

VLBCTS 2 προθήσομεν correxi: προσθήσομεν 5 παρέπονται: ἕπονται VL (cf p 72,9) 6 αὐτῆς: αὐτῶν BT om v 6-7 παράτινος L corr L² παρὰ τίνων V 9 οὐδὲ V: οὐδὲν LBCTS v ἔστι om BCT 10 πότερον: anacoluthia continuatur non ἢ vocula, sed ἀλλὰ 17 sq 11 ἐστιν αὕτη S 12 αἱ om VL 13 γίνεται ταῦτα V 17 δεικνύμενον sed νον in rasura L 19 καθ' αὐτὰς V 19-20 γινόμενον ἑκουσίως T γενόμενον ἑκουσίως B 20 ὥς τι: ὥστε V

εἰπὼν τὸ κατ' αὐτὴν κινούμενον τῷ λόγῳ συμπεριέλαβε,
καὶ ὁ τοῦ ἐνεργοῦντος μνησθεὶς καὶ τὴν ἐνέργειαν πάντως
κατὰ τὸ σιωπώμενον αὐτῷ συνεσήμηνε.
210 Σαφέστερον δὲ διὰ τῶν ὑποδειγμάτων τὸ λεγόμενον
ἔσται. χαλκεύειν τινὰ λέγομεν ἢ τεκταίνεσθαι ἢ ἄλλο τι
ἐνεργεῖν τῶν τοιούτων. οὐκοῦν τῇ μιᾷ φωνῇ τήν τε ἐρ-
γασίαν καὶ τὸν μετιόντα τὴν τέχνην κατὰ ταὐτὸν ὁ λόγος
παρέστησεν, ὥστε εἰ χωρισθείη τὸ ἕτερον, μὴ ἂν ὑποστῆναι
211 τὸ λειπόμενον. εἰ οὖν τὰ δύο μετ' ἀλλήλων νοεῖται, αὐτή
τε ἡ ἐνέργεια καὶ ὁ κατ' αὐτὴν κινούμενος, πῶς ἐνταῦθα
ἕπεσθαι λέγεται τῇ οὐσίᾳ τῇ πρώτῃ ἡ τὴν δευτέραν οὐ-
σίαν ἀπεργαζομένη ἐνέργεια, μεσιτεύουσά πως δι' ἑαυτῆς
ἀμφοτέραις καὶ οὔτε τῇ πρώτῃ κατὰ τὴν φύσιν συμβαίνουσα
οὔτε πρὸς τὴν δευτέραν συναπτομένη; τῆς μὲν γὰρ κεχώ-
ρισται τῷ μὴ φύσις εἶναι, ἀλλὰ φύσεως κίνησις, τῇ δὲ
μεθ' ἑαυτὴν οὐ συμβαίνει, ὅτι οὐ ψιλὴν ἐνέργειαν, ἀλλ' ἐν-
εργὸν οὐσίαν δι' ἑαυτῆς ὑπεστήσατο.
212 Εἶτα κἀκεῖνο τούτοις προσεξετάσωμεν. ἔργον ὀνο-
316 M. μάζει τῆς οὐσίας τὴν οὐσίαν, τὴν μὲν δευτέραν τῆς πρώτης,
τῆς δὲ δευτέρας πάλιν τὴν τρίτην, τίνι τρόπῳ προαπο-
δείξας τὸν λόγον; τίσι κατασκευαῖς εἰς τοῦτο χρησάμενος;
ἐκ ποίας μεθόδου τὸ δεῖν ἐνεργείᾳ τῆς προαγούσης τὴν
213 ἐφεξῆς εἶναι πιστεύειν συναναγκάσας; εἰ μὲν γὰρ ἐκ τῶν
λοιπῶν τῶν ἐν τῇ κτίσει θεωρουμένων ἔδει καὶ περὶ τούτων
ἀναλογίσασθαι, εἶχε μὲν οὐδ' οὕτω καλῶς ἐκ τῶν κατω-
τέρων καὶ περὶ τῶν ὑπερκειμένων στοχάσασθαι, πλὴν ἀλλ'
εἶχέ τι συγγνωστὸν ἴσως ὁ λόγος, διὰ τῶν φαινομένων ἐν
τοῖς ἀκαταλήπτοις πλανώμενος. νυνὶ δὲ τίς τοῦτο λέγειν
ἐπιχειρήσει, ὅτι οὐρανὸς μὲν ἔργον θεοῦ οὐρανοῦ δὲ ἥλιος

VLBCTS 3 αὐτῷ om BT v συνεσήμανε v 7 κατ' αὐτὸν VL κατὰ ταὐτὸν corr L² 10 καθ' αὐτὴν V 11 ἡ ante τὴν om V 12 ἐνέργειαν V μεσιτεύουσαν V 13 συμβαίνουσαν V 14 συν-απτομένην V 21 εἰς om CT 22 ἐνεργείᾳ correxi: ἐνέργειαν προαγούσης: προλαβούσης v 24 τῶν post λοιπῶν om S 25 οὐδ' οὕτω scripsi: οὔθ' οὕτω 26 περὶ om V v στοχάζεσθαι v 29 ὁ ante ἥλιος add V

καὶ ἡλίου σελήνη καὶ ταύτης ἀστέρες κἀκείνων ἄλλο τι
τῶν ἐν τῇ κτίσει; ἑνὸς γὰρ ἔργα τὰ πάντα, ἐπειδὴ Εἷς
214 θεὸς καὶ πατὴρ πάντων, ἐξ οὗ τὰ πάντα. εἰ δέ τι καὶ δι'
ἀλλήλων γίνεται ὥσπερ ἡ τῶν ζῴων γένεσις, οὐδὲ τοῦτο
ἕτερον ἐξ ἑτέρου γίνεται, διαμενούσης ἐν τοῖς ἐπιγινομένοις
τῆς φύσεως. πῶς οὖν ἐπ' οὐδενὸς τῶν ἐν τῇ κτίσει θεω-
ρουμένων ἔχων τὸ τοιοῦτον εἰπεῖν ἐπὶ τῆς ὑπερκειμένης
οὐσίας τοῦτο κατασκευάζει, τὸ ἔργον εἶναι τὴν δευτέραν
215 τῆς πρώτης καὶ ταύτης τὴν ἐφεξῆς; εἰ δὲ τὴν ζῳώδη
γένεσιν ἐννοήσας ἐντεῦθεν ἐφαντάσθη καὶ περὶ τῆς ἀκη-
ράτου φύσεως ὁμοιότροπόν τι λογίσασθαι, ὥστε ἔργον νοη-
θῆναι τὸ ἐφεξῆς τοῦ προάγοντος, οὐδ' ἐν τούτῳ τὸ ἀκό-
λουθον διασῴζει τοῦ λόγου. τὰ γὰρ ἐξ ἑτέρων γινόμενα
ὁμοιογενῆ πάντως ἐστὶ τοῖς ἐξ ὧν γίνεται· ὁ δὲ τὸ ξένον
τε καὶ ἀλλόφυλον τοῖς δι' ἀλλήλων γεγενημένοις προσμαρ-
τυρεῖ, ἵνα δείξῃ τὴν περιουσίαν τοῦ ψεύδους, ὥς τις περι-
δέξιος ἀγωνιστὴς διπλῇ τῇ χειρὶ βάλλειν ἐπιχειρῶν τὴν
216 ἀλήθειαν. ἵνα γὰρ τὸ ὑφειμένον καὶ τὸ κατὰ τὴν φυσικὴν
ἀξίαν ἠλαττωμένον τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἐπιδείξῃ,
ἕτερον ἐξ ἑτέρου γενόμενον λέγει· ὡς δὲ μήποτε εἰς οἰκειό-
τητος ἔννοιαν ἐκ τοῦ τοιούτου τρόπου τῆς ὑπάρξεως ἔλ-
θοιεν οἱ τὴν ἐξ ἀλλήλων γένεσιν μεμαθηκότες, καὶ αὐτῷ
μάχεται τῷ τῆς φύσεως λόγῳ, καὶ ἕτερον ἐξ ἑτέρου γε-
νέσθαι λέγων καὶ νόθον τὸν γεγεννημένον ὡς πρὸς τὴν τοῦ
γεγεννηκότος φύσιν ἀποφαινόμενος.

2-3 Eph 4,6 cum I Cor 8,6 contaminat

VLBCTS 1 ἡλίου ante σελήνη in rasura L 2 alterum γὰρ post ἐπειδὴ add S verba ἐπειδὴ-3 πάντα om et in marg add T man alt 4 γένησις (sic) V 6 πῶς: ὅπως VL 9 ταύτην τῆς v 11-12 ἐννοηθῆναι S 12 οὐδ' ἐν τούτῳ: οὐδὲν τούτων VL 13 σώζει S 16 περιουσίαν: μαρτυρίαν S 16-17 ὥς τις περιδέξιος: ὥσπερ δεξιὸς BCT v 17 βαλεῖν VL 18 τὸ ante κατὰ om v 19 καὶ ante τοῦ υἱοῦ add V 20 ἐξ ἑτέρου ἕτερον S δὲ μήποτε: μηδέποτε V μήποτε v 22 αὐτὸ L corr L² 23-24 γίνεσθαι L 24 τὸν: τὸ VLB γεγενημένον VS v 25 γεγενηκότος V

217 Ὃ δέ μοι δοκεῖ πρὸ τούτων ἄν τις εἰκότως μέμψασθαι,
τοῦτό ἐστιν. εἰ μὲν τῶν πολλῶν τις ἦν ἐν ἀπειρίᾳ τοῦ
λέγειν ἀτριβὴς τῶν τοιούτων κατασκευῶν καὶ ἀγύμναστος,
ἔπειτα τὸ παραστὰν αὐτῷ κατὰ τὸ συμβὰν ἀπεφαίνετο,
συγγνωστὸς ἂν ἦν ἴσως ταῖς νενομισμέναις περὶ τούτων
ἐφόδοις εἰς τὴν τῶν δογμάτων κατασκευὴν μὴ συγχρώμενος.
218 ἐπεὶ δὲ τοσοῦτον αὐτῷ περίεστι τῆς ἐν τούτῳ δυνάμεως,
ὥστε καὶ εἰς τὰ ὑπερέκεινα τῆς φύσεως ἡμῶν διὰ τῆς
καταληπτικῆς ἐφόδου ὑπερεκτείνεσθαι, πῶς ἠγνόησε τὴν
ἀρχήν, δι' ἧς παντὸς κεκρυμμένου πράγματος ἐν ταῖς λογι-
219 καῖς ταύταις ἐπιχειρήσεσιν ἡ κατάληψις γίνεται; τίς γὰρ
317 M. οὐκ οἶδεν ὅτι πᾶς λόγος ἐκ τῶν φανερῶν τε καὶ πᾶσιν
ἐγνωσμένων τὰς ἀρχὰς λαμβάνων τοῖς ἀμφισβητουμένοις δι'
αὐτοῦ ἐπάγει τὴν πίστιν, καὶ οὐκ ἂν ἑτέρως τι καταληφθείη
τῶν κεκρυμμένων, μὴ τῶν ὁμολογουμένων ἡμᾶς πρὸς τὴν
τῶν ἀδήλων σύνεσιν χειραγωγούντων; εἰ δὲ τὰ ἐν ἀρχαῖς
λόγων πρὸς τὴν τῶν ἀγνοουμένων φανέρωσιν λαμβανόμενα
ταῖς τῶν πολλῶν ὑπολήψεσι μάχοιτο, σχολῇ γ' ἂν διὰ
τούτων φανερωθείη τὸ ἀγνοούμενον.
220 Οὐκοῦν ἡ πᾶσα μάχη καὶ ἀμφιβολία τοῦ δόγματος τοῖς
ἐκκλησιαστικοῖς πρὸς τοὺς Ἀνομοίους ἐστὶ περί [τε] τοῦ
δεῖν ἢ κτιστὸν νοεῖν τὸν υἱὸν καὶ τὸ πνεῦμα κατὰ τὸν λόγον
τῶν ἐναντίων ἢ τῆς ἀκτίστου φύσεως, καθὼς ἡ ἐκκλησία
πεπίστευκεν. οὗτος τοίνυν αὐτὸ τὸ παρὰ πάντων ἀντιλεγό-
μενον ὡς ὁμολογούμενον ἀποφαίνεται, καὶ οὐδεμίαν ἀπό-
δειξιν ἐξευρὼν τοῦ ἔργον εἶναι τῆς προαγούσης οὐσίας τὴν

12 sq cf Arist Analyt post I 1,71 a 1 Metaph VII 4, 1029 b 3-12

VLBCTS 2 πολλῶν: ἄλλων v τις ὢν conicio 5 ἦν om BCT v παρὰ τούτων S 8 ὑπερέκεινα VCT v: ἐπέκεινα S ὑπερκείμενα LB 11 γὰρ om BCT 13 τὰς ante ἀρχὰς om VL 17 λόγων L τοῦ λόγου mutavit L² 18 καὶ post σχολῇ γ' ἂν addunt v 20 ἡ ante ἀμφιβολία add VL 21 τε delevi cum quo referatur non habeat 21-22 τοῦ δεῖν νοεῖν ἢ κτ. νοεῖν BCT 24 παρὰ πάντων: παράπαν V παρὰ om BT 25 ὁμολογουμένων sed o supra ω V μηδεμίαν VL 26 οὐσίας: αἰτίας S

ἐφεξῆς θαρσῶν δογματίζει τὸ οὕτως ἔχειν, οὐκ οἶδα ἐκ
221 ποίας παιδεύσεως ἢ σοφίας τοῦτο θαρσήσας. εἰ γὰρ πάσης
κατασκευῆς καὶ ἀποδείξεως ἄμαχόν τινα καὶ ἀναμφίβολον
προηγεῖσθαι χρὴ τὴν ὁμολογίαν, ὥστε τῷ προκατειλημμένῳ
τὸ ἀγνοούμενον ταῖς διὰ μέσου κατασκευαῖς οἰκείως προσ-
αγόμενον ἀποδείκνυσθαι, ὁ τὸ ζητούμενον ἔτι εἰς κατα-
σκευὴν ἑτέρων προτείνων οὐδὲν ἕτερον ἢ δι' ἀγνοίας ἄγνοιαν
καὶ δι' ἀπάτης ἀπάτην κατασκευάζει. τοῦτό ἐστι τὸ τυφλοῦ
τυφλὸν ὁδηγὸν ποιεῖσθαι, καθώς φησί που τὸ εὐαγγέλιον.
222 ὄντως γὰρ τυφλῷ καὶ κενεμβατοῦντι τῷ λόγῳ τῷ κτίσμα
καὶ ποίημα τὸν πάντων κτίστην καὶ δημιουργὸν εἶναι
λέγοντι ἕτερον τυφλὸν λόγον παραζευγνύουσι, τὸ ἀλλότριον
τῇ φύσει καὶ κατὰ τὴν οὐσίαν ἀνόμοιον καὶ πάντῃ τῆς φυ-
σικῆς οἰκειότητος ἀμέτοχον εἶναι τοῦ πατρὸς τὸν υἱόν.
ἀλλ' οὔπω μὲν περὶ τούτων· ἐν οἷς γὰρ γυμνότερον ἐκκα-
λύπτει [τῷ λόγῳ] τὸ ἀσεβὲς τοῦ φρονήματος, ἐν τούτοις
εὔκαιρόν ἐστι καὶ ἡμᾶς ὑπερθέσθαι τῆς ἀσεβείας τὸν ἔλεγ-
χον· νυνὶ δὲ ἡμῖν πρὸς τὴν ἀκολουθίαν τῶν παρ' ἐκείνου
ῥηθέντων ἐπανιτέον.
223 Πάλιν δ' αὖ ἑκάστης τούτων οὐσίας εἰλικρινῶς
ἁπλῆς καὶ πάντῃ μιᾶς οὔσης τε καὶ νοουμένης
κατὰ τὴν ἰδίαν ἀξίαν, συμπεριγραφομένων δὲ τοῖς
ἔργοις τῶν ἐνεργειῶν, καὶ τῶν ἔργων ταῖς τῶν
ἐργασαμένων ἐνεργείαις παραμετρουμένων, ἀνάγ-
κη δήπου πᾶσα καὶ τὰς ἑκάστῃ τῶν οὐσιῶν ἑπο-
μένας ἐνεργείας ἐλάττους τε καὶ μείζους εἶναι, καὶ

9 Matth 15, 14 Luc 6, 39 10-11 etiam κτίσμα καὶ ποίημα sunt Eunomii verba cf lib III tom 2 (= lib IV vulg)

VLBCTS 2 σοφίας ἢ παιδεύσεως VL θαρρήσας T 4 ὥστε τὸ C 5-6 προαγόμενον VL 12 εἶναι et post ἀλλότριον et post 14 ἀμέτο-χον CT v 15 οὔπω: οὕτω Oehler (cf 18) μὲν om VLS v 16 τῷ λόγῳ om BCTS v seclusi cf 92,3 19 ὁ λόγος ante ἐπαν-ιτέον add S 20 δὲ αὖ V τούτων om BCT εἰλικρινῶς correxi: εἰλικρινοῦς cf 72,11 22 συμπεριγραφομένην ex -ων corr S

τὰς μὲν πρώτην, τὰς δὲ δευτέραν τάξιν ἐπέχειν.
224 ἡ μὲν διάνοια διὰ πάντων τῶν εἰρημένων, κἂν ἐν πλήθει ῥημάτων [ὁ λόγος] αὐτῷ συμπεραίνηται, μία ἐστί, τὸ κατασκευάσαι μηδεμίαν συνάφειαν εἶναι τῷ πατρὶ πρὸς τὸν υἱὸν ἢ πρὸς τὸν υἱὸν πάλιν τῷ πνεύματι, ἀλλ' ἀπεσχίσθαι τὰς οὐσίας ἀπ' ἀλλήλων εἰς ἀπεξενωμένην τινὰ φύσιν καὶ ἀσύμφυλον ἀλλοτριότητα διασπωμένας, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ
320 M. καὶ πηλικότητι καὶ ἀξιωμάτων ὑφέσει διαφερούσας, ὥστε τὰς μὲν μείζους, καθὼς αὐτός φησι, τὰς δὲ μικροτέρας νοεῖσθαι καὶ κατὰ τὰ λοιπὰ πάντα τὴν παραλλαγὴν ἔχειν.
225 Ἡμεῖς δὲ κἂν περιττὸν τοῖς πολλοῖς εἶναι δοκῇ τὸ τοῖς προδήλοις ἐνδιατρίβειν καὶ τὰ καθ' ἕκαστον διελέγχειν πειρᾶσθαι, ὅσα παρὰ τοῖς πολλοῖς αὐτόθεν ψευδῆ καὶ βδελυκτὰ καὶ οὐδεμίαν ἰσχὺν ἔχειν νομίζεται, ὅμως ὑπὲρ τοῦ μὴ δοκεῖν δι' ἀπορίαν ἐλέγχων ἀνεξέταστόν τι παρορᾶν τῶν παρ' ἐκείνου ῥηθέντων, κατὰ δύναμιν καὶ τούτοις ἐπελευσόμεθα. ἑκάστην φησὶ τούτων οὐσίαν εἰλικρινῶς ἁπλῆν καὶ πάντῃ μίαν εἶναί τε καὶ νοεῖσθαι κατὰ τὴν ἰδίαν ἀξίαν. πάλιν ἐνταῦθα ὡς ὁμολογούμενα τὰ ἀμφιβαλλόμενα προτεινόμενος οἴεταί τι λέγειν, ἀντὶ πάσης ἀποδείξεως ἐξαρκεῖν νομίζων τὸ αὐτὸς ἀποφήνασθαι. τρεῖς οὐσίας φησί· τοῦτο γὰρ ἐνδείκνυται τῷ εἰπεῖν ἑκάστης τούτων οὐσίας. οὐδὲ γὰρ ἂν οὕτως εἶπεν, εἰ μίαν ᾤετο.
226 Εἰ μὲν οὖν οὕτω λέγει τὴν τῶν οὐσιῶν πρὸς ἀλλήλας

22 cf Pythagoreorum illud αὐτὸς ἔφα

VLBCTS 1 ἐπέχειν τάξιν VL 3 ὁ λόγος om BCTS v (de S cf ad 91,19) seclusi cf 91,16 4 μηδεμίαν εἶναι συνάφειαν εἶναι V τῷ υἱῷ πρὸς τὸν πατέρα VL 5-6 τῆς οὐσίας BT 7 τούτῳ B v 9 καθὼς αὐτός φησι om V καθώς φησιν αὐτός BT 10 verba a καὶ κατὰ usque ad 14 πειρᾶσθαι om BCT 12 εἶναι δοκῇ τοῖς πολλοῖς S 14 αὐτόθεν om V 15 καὶ ante οὐδεμίαν om T 16 ἀπορίαν: ἀπειρίαν VBT 18 φησίν VL ν eras L εἰλικρινῶς VL (cf p 72,11): εἰλικρινῆ BCTS v 20-21 ἀμφιβαλλόμενα: ἀμφίβολα V 22 ἀρκεῖν BCT 24 οὕτως: οὗτος V 25 οὕτω: αὐτῷ V

διαφοράν, ὡς μὴ δοκεῖν τῇ ἀσεβείᾳ τοῦ Σαβελλίου συμφέρεσθαι ἑνὶ τῷ ὑποκειμένῳ τρεῖς ἐφαρμόζοντος προσηγορίας, καὶ ἡμεῖς συντιθέμεθα καὶ οὐδεὶς τῶν εὐσεβούντων ἀντιλέγει τῷ δόγματι, πλὴν ὅσον μόνοις τοῖς ὀνόμασι καὶ τῇ προφορᾷ τοῦ λόγου πλημμελεῖν δοκεῖ, „οὐσίας" ἀντὶ „ὑπο-
227 στάσεων" ὀνομάζων. οὐ γὰρ ὅσα τὸν τῆς οὐσίας λόγον τὸν αὐτὸν ἔχει, ὁμοίως καὶ ἐπὶ τῇ ὑποστάσει τῇ ἀποδόσει τοῦ λόγου συνενεχθήσεται. Πέτρος γὰρ καὶ Ἰάκωβος καὶ Ἰωάννης ἐν μὲν τῷ λόγῳ τῆς οὐσίας οἱ αὐτοὶ ἦσαν ἀλλήλοις (ἄνθρωπος γὰρ τούτων ἕκαστος), ἐν δὲ τοῖς ἰδιώμασι τῆς ἑκάστου αὐτῶν ὑποστάσεως ἀλλήλοις οὐ συνεφέροντο.
228 οὐκοῦν εἰ μὲν τοῦτο κατεσκεύαζε, τὸ μὴ δεῖν φύρειν τὰς ὑποστάσεις καὶ ἑνὶ προσώπῳ τὰς τρεῖς ἐφαρμόζειν προσηγορίας, πιστὸς ἂν ἦν κατὰ τὴν τοῦ ἀποστόλου μαρτυρίαν ὁ λόγος αὐτῷ καὶ πάσης ἀποδοχῆς ἄξιος. ἐπεὶ δὲ οὐ πρὸς τοῦτο βλέπει οὐδὲ τὰς ὑποστάσεις ἀπ' ἀλλήλων τοῖς ἐπιθεωρουμένοις ἰδιώμασι διακρίνων ταὐτά φησιν, ἀλλ' αὐτὴν τὴν ὑποκειμένην οὐσίαν ἀλλοτρίως πρὸς τὴν ἑτέραν, μᾶλλον δὲ πρὸς ἑαυτὴν ἔχειν κατασκευάζει καὶ διὰ τοῦτο πολλὰς οὐσίας ὀνομάζει, ὡς ἑκάστης ἰδιάζουσαν ἐχούσης τινὰ τὴν πρὸς τὰς ἄλλας ἀλλοτριότητα, διὰ τοῦτό φημι ἄναρχον αὐτῷ καὶ ἀκέφαλον εἶναι τὸν λόγον, ἀπὸ οὐδενὸς ὁμολογουμένου κατὰ τὸ ἀκόλουθον τὴν βλασφημίαν κατα-
229 σκευάζοντα. οὐ γὰρ ὅπως ἄν τις προσαχθείη τῇ τοιαύτῃ τοῦ δόγματος ὑπολήψει τὴν κατασκευὴν ἔχει, ἀλλ' ὥσπερ ἐπ' ὀνείρου διηγήσεως ψιλὴν καὶ ἀκατάσκευον ἐμπεριέχει

14 I Tim 1, 15

VLBCTS 2 ἐφαρμόζων VL 4 μόνοις ὀνόμασι VL 5-6 ἀντὶ ὑποστάσεως V 7 ἀποδόσει: ἀποδοθείσῃ S 7-8 τοῦ λόγου τῇ ἀποδόσει V 8 Ἰακὼβ v 13-14 τὰς τρεῖς ἐφαρμόζειν προσηγορίας: τὰς τρεῖς ὑποστάσεις προσαγορεύειν L -ειν ex corr L² 15 αὐτῷ om V ἐπειδὴ sed η sup ε in rasura V 19 παρασκευάζει BCTS verba a καὶ διὰ usque ad 20 ὀνομάζει om BCT 20 ἐχούσης: ἔχειν BCT 21 τὰς om BCT 22 ἀπ' S 25 τὴν ante κατασκευὴν om v

τῆς ἀσεβείας τὴν ἔκθεσιν. τῆς γὰρ ἐκκλησίας δογματι-
ζούσης μὴ εἰς πλῆθος οὐσιῶν διασχίζειν τὴν πίστιν, ἀλλ'
ἐν τρισὶ προσώποις καὶ ὑποστάσεσι μηδεμίαν τὴν κατὰ τὸ
εἶναι διαφορὰν πιστεύειν, τῶν δὲ ἐναντίων ἐν αὐταῖς ταῖς
οὐσίαις τὴν παραλλαγὴν καὶ τὴν ἀνομοιότητα τιθεμένων,
οὗτος τὸ μηδενὶ λόγῳ μήτε δειχθὲν μήτε δειχθῆναι δυνά-
μενον ὡς προκατεσκευασμένον θαρσῶν ἀποφαίνεται, τάχα
230 οὐδέπω καὶ νῦν εἰς ἀκουόντων ὦτα λαλήσας. ἢ γὰρ ἂν
ἐδιδάχθη παρὰ τῶν συνετῶς ἀκροωμένων ὅτι πᾶς λόγος,
ἕως ἂν κατ' ἐξουσίαν ἀναπόδεικτος φέρηται, τὸ λεγόμενον
321 M. γραῶν ὕθλος ἐστὶν οὐδεμίαν ἰσχὺν ἔχων πρὸς τὸ δεῖξαι δι'
ἑαυτοῦ τὸ ζητούμενον, ὅταν μηδεμία συνηγορία μήτε ἐκ
τῶν θείων φωνῶν μήτε ἐκ λογισμῶν ἀνθρωπίνων τοῖς
λεγομένοις ἐπάγηται. καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

231 Ἡμεῖς δὲ τὰ εἰρημένα διασκεψώμεθα. ἁπλῆν εἶναι
καὶ πάντη μίαν φησὶ τούτων ἑκάστην τῶν οὐ-
σιῶν, ἃς τῷ λόγῳ ἀνετυπώσατο. ἀλλὰ τὸ μὲν ἁπλῆν εἶναι
τὴν θείαν τε καὶ μακαρίαν καὶ πάντα νοῦν ὑπεραίρουσαν
φύσιν οὐδὲ τοὺς ἄγαν κτηνώδεις καὶ ταπεινοὺς τὴν διάνοιαν
ἀντιλέγειν οἰόμεθα. τὴν γὰρ ἀειδῆ τε καὶ ἀσχημάτιστον
πηλικότητός τε πάσης καὶ τῆς ἐν τῷ μεγέθει ποσότητος
κεχωρισμένην πῶς ἄν τις πολυειδῆ καὶ σύνθετον ὑπολάβοι;
232 ὅτι δὲ οὐ συμβαίνει τῷ παρ' αὐτῶν κατασκευαζομένῳ δόγ-
ματι τὸ ἁπλῆν εἶναι τὴν ὑπερκειμένην οὐσίαν οἴεσθαι, κἂν
τῷ λόγῳ χαριεντίζωνται, φανερὸν ἔσται τῷ καὶ μικρὸν ἐπι-
στήσαντι. τίς γὰρ οὐκ οἶδεν ὅτι κατὰ τὸν ἴδιον λόγον ἡ
ἁπλότης ἐπὶ τῆς ἁγίας τριάδος τὸ μᾶλλόν τε καὶ ἧττον οὐκ

8 cf Jer 33,15 al 11 Paroemiogr Gr ed Schneidewin-Leutsch I p 58,5 27 haec ex Arist Categ 5,3 b 33 sq sumuntur

VLBCTS 3 μηδεμίαν εἶναι τὴν V τὴν om S 5 θεμένων S 6 τῷ ante μηδενὶ VL sed corr τὸ L² 7 προκατεσκευασμένῳ VL sed ον ex ω corr L² θαρρῶν BCTS 9 παρὰ: πρὸς v 10 ἀναποδείκτως V προφέρηται VL 11 ὕθλος: μῦθος VL 12 μηδεμιᾷ VL 16 ἑκάστη V 17 ἐνετυπώσατο V 21 τῷ om V 23 αὐτῷ L αὐτῶν L² 25 χαρίζωνται VL τὸ καὶ L τῷ effecit L² 27 μᾶλλόν τε καὶ ἧττον: τε om CS μᾶλλον καὶ τὸ ἧττον v

ἐπιδέχεται; περὶ ἣν γὰρ οὐκ ἔστι μίξιν τινὰ ποιοτήτων καὶ
συνδρομὴν ἐννοῆσαι, ἀλλ' ἀμερῆ τινα καὶ ἀσύνθετον δύνα-
μιν καταλαμβάνει ἡ ἔννοια, πῶς ἄν τις καὶ κατὰ τίνα λόγον
τὴν παρὰ τὸ πλέον καὶ τὸ ἔλαττον διαφορὰν καταμάθοι;
233 ἀνάγκη γὰρ πᾶσα τὸν παρηλλάχθαι ταῦτα διοριζόμενον
ποιοτήτων τινῶν ἐμπτώσεις περὶ τὸ ὑποκείμενον ἐννοεῖν·
ἤτοι γὰρ καθ' ὑπερβολὴν καὶ ἐλάττωσιν τὸ διάφορον ἐν
τούτοις ἐπινοεῖ καὶ διὰ τούτου τὴν τῆς πηλικότητος ἔννοιαν
ἐπεισάγει τῷ ζητουμένῳ, ἢ κατὰ τὸ ἀγαθὸν καὶ δυνατὸν
καὶ σοφὸν καὶ εἴ τι ἄλλο περὶ τὸ θεῖον εὐσεβῶς νοεῖται
πλεονάζειν ἢ ὑποβεβηκέναι κατασκευάζει· καὶ οὕτω τὸν τῆς
234 συνθέσεως λόγον οὐ διαφεύξεται. οὐδὲν γὰρ ἐλλιπῶς κατὰ
σοφίαν ἢ δύναμιν ἢ κατ' ἄλλο τι τῶν ἀγαθῶν ἔχει ᾧ μὴ
ἐπίκτητόν ἐστι τὸ ἀγαθόν, ἀλλ' αὐτὸ καθό ἐστι τοιοῦτον
πέφυκεν· ὥστε ὁ λέγων ἐλάττους τε καὶ μείζους ἐν τῇ
θείᾳ φύσει καταλαμβάνειν τὰς οὐσίας λέληθεν ἑαυτὸν σύν-
θετον ἐξ ἀνομοίων κατασκευάζων τὸ θεῖον, ὡς ἄλλο μέν
τι νοεῖν εἶναι τὸ ὑποκείμενον, ἕτερον δὲ πάλιν τὸ μετεχό-
μενον, οὗ κατὰ μετουσίαν ἐν τῷ ἀγαθῷ γίνεσθαι τὸ μὴ
235 τοιοῦτον ὄν. εἰ δὲ ἀληθῶς ἁπλῆν καὶ πάντη μίαν
ἐνενόει τὴν οὐσίαν, αὐτὸ ὅπερ ἐστὶν ἀγαθὸν οὖσαν, οὐ γινο-
μένην ἐξ ἐπικτήσεως, οὐκ ἂν τὸ μεῖζον καὶ τὸ ἔλαττον
περὶ αὐτὴν ἐλογίζετο. εἴρητο γὰρ καὶ ἐν τοῖς ἔμπροσθεν,
ὅτι μόνῃ τῇ τοῦ κακοῦ παρουσίᾳ τὰ ἀγαθὰ κατασμικρύ-
236 νεται. ἐφ' ὧν δὲ ἡ φύσις ἀνεπίδεκτός ἐστι τοῦ χείρονος,
ὅρος οὐκ ἐπινοεῖται τῆς ἀγαθότητος· τὸ δὲ ἀόριστον οὐ τῇ

23 ἔμπροσθεν] § 168-9

VLBCTS 2 ἀσύνθετον: ἀσύστατον B 3 κατά τινα T 4 παρὰ: περὶ L²BT πλεῖον VCS 7 ἤτοι: εἴτε L² ἐν om V 8 διὰ τοῦτο S 9 ἢ: εἴτε L² 13 ἔχει L ἔχοι L² ἐν post ἔχει add VL 14 καθὸ ἔστι v immo intellege κατὰ τοῦτο ὃ αὐτό ἐστι τοιοῦτο V 15 τε om BT 19 γίνεται v 20 ὂν τοιοῦτον VL 21 ἐνενόει BCT v: ἐνόει S ἐννοεῖν VL ἐννοεῖ L² 23 καὶ post γὰρ postea add L ἔμπροσθεν: πρόσθεν V

πρὸς ἕτερον σχέσει τοιοῦτόν ἐστιν, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ
νοούμενον ἐκφεύγει τὸν ὅρον. ἄπειρον δὲ ἀπείρου πλέον
καὶ ἔλαττον λέγειν οὐκ οἶδα πῶς ὁ λελογισμένος συνθή-
237 σεται. ὥστε εἰ ἁπλῆν ὁμολογεῖ τὴν ὑπερκειμένην οὐσίαν
καὶ οἰκείως ἔχειν αὐτὴν πρὸς ἑαυτήν, συντιθέσθω τῇ κατὰ
τὸ ἁπλοῦν καὶ ἄπειρον κοινωνίᾳ συναπτομένην. εἰ δὲ διΐ-
324 M. στησι καὶ ἀποξενοῖ τὰς οὐσίας ἀπ' ἀλλήλων, ἄλλην
τοῦ μονογενοῦς παρὰ τὸν πατέρα, ἑτέραν δὲ τοῦ πνεύμα-
τος παρὰ τὴν τοῦ μονογενοῦς ἐννοῶν, καὶ τὸ πλέον καὶ τὸ
ἔλαττον ἐπ' αὐτῶν λέγει, μὴ λανθανέτω τῷ μὲν δοκεῖν
τὸ ἁπλοῦν χαριζόμενος, τῇ δὲ ἀληθείᾳ κατασκευάζων τὸ
σύνθετον.

238 Πάλιν δὲ τὸν ῥηθέντα παρ' αὐτοῦ λόγον καθεξῆς ἀνα-
λάβωμεν. εἰλικρινῶς, φησίν, ἁπλῆς τῆς οὐσίας καὶ
πάντη μιᾶς οὔσης τε καὶ νοουμένης κατὰ τὴν
ἰδίαν ἀξίαν. τί βούλεται τὸ κατὰ τὴν ἰδίαν ἀξίαν;
εἰ μὲν γὰρ ἐν κοινότητι τῆς ἀξίας θεωρεῖ τὰς οὐσίας, πε-
ρισσὴ μὲν καὶ οὕτως ἦν καὶ παρέλκουσα ἡ προσθήκη τοῦ
λόγου τοῖς ὁμολογουμένοις ἐνδιατρίβουσα, πλὴν ἀλλ' εἶχέ
τι συγγνωστὸν ἴσως ἡ ἀκαιρία τῆς λέξεως, τῆς εὐσεβεστέρας
ἐννοίας οὐκ ἀπόβλητον ποιούσης τὸ μάταιον καὶ περιρρέον
239 τοῦ λόγου. νῦν δὲ οὐ μέχρι τῆς τῶν ῥημάτων αὐτῷ δια-
μαρτίας ἐστὶν ὁ κίνδυνος (ἦ γὰρ ἂν εὐίατον ἦν τὸ ἀρρώ-
στημα), ἀλλ' ἔτι τῶν πονηρῶν ἔχεται τεχνασμάτων. ἁπλῆν
γὰρ λέγει τῶν τριῶν οὐσιῶν ἑκάστην κατὰ τὴν ἰδίαν
ἀξίαν, ἵνα τοῖς ἐξ ἀρχῆς ῥηθεῖσιν αὐτῷ διορισμοῖς περὶ
τῆς πρώτης τε καὶ δευτέρας καὶ τρίτης οὐσίας καὶ ὁ τῆς
240 ἁπλότητος συγκακουργῆται λόγος. ὥσπερ γὰρ μόνην
ἀνωτάτω καὶ μόνην κυρίαν τὴν τοῦ πατρὸς προση-

VLBCTS 1 αὐτὸ καθ' ἑαυτὸ VLB²CTS (ἑαυτὸν L): αὐτὸ τὸ καθ' ἑαυτὸ v 5 συντιθέσθω: ὁμολογείτω S 7 ἀπ' om VL 9 πλεῖον S 10 λέγει: λέγειν B 14 εἰλικρινοῦς B v cf 72,11 15 τε om B v 15-16 κατὰ-ἀξίαν om VL 17 γὰρ om S 18 οὕτω ἦν T 19 γένεσιν ante ἐνδιατρίβουσα addunt v 20 εὐσεβοῦς-οῦς e corr ut vid S 22 νῦν: νυνὶ VL 25 τριῶν οὐσίαν V ἑκάστην οὐσιῶν collocat S

γόρευσεν οὐσίαν, οὐδὲν τούτων ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύ-
ματος ὁμολογήσας, οὔτε τὴν ἄνω φωνὴν οὔτε τὴν κυριω-
τάτην, κατὰ τὸν αὐτὸν λόγον καὶ ἁπλᾶς προσειπὼν τὰς
οὐσίας κατὰ τὸ μέτρον τῆς ἐπιθεωρουμένης ἑκάστη ἀξίας
καὶ τὴν τῆς ἁπλότητος ἔννοιαν ἐφαρμόζειν οἴεται χρῆναι,
ὡς τῆς μὲν κυριωτάτης καὶ πρώτης ἐν τῇ ἄκρᾳ καὶ τελείᾳ
θεωρουμένης ἁπλότητι, τῆς δὲ δευτέρας ἀναλόγως κατὰ τὸ
μέτρον τῆς τῶν πρωτείων ὑφέσεως καὶ τὸν τῆς ἁπλότητος
λόγον ὑποστελλούσης, καὶ ἐπὶ τῆς τελευταίας ὡσαύτως το-
σοῦτον ὑποκαταβαίνει τῆς τελείας ἁπλότητος, ὅσον καὶ ἡ
ἀναλογία τοῦ ἀξιώματος ἐπὶ τῶν ἐσχάτων κατασμικρύνεται·
241 ὡς ἐκ τούτου συμβαίνειν τὴν μὲν τοῦ πατρὸς οὐσίαν ἁπλῆν
καθαρῶς ὑπονοεῖσθαι, τὴν δὲ τοῦ υἱοῦ μὴ ἀκριβῶς ἁπλῆν,
ἀλλά τι καὶ τῆς συνθέτου φύσεως αὐτῇ παραμεμίχθαι, τοῦ
δὲ ἁγίου πνεύματος πλεονάζειν ἐν τῷ συνθέτῳ τὴν φύσιν,
τοῦ τῆς ἁπλότητος λόγου κατ' ὀλίγον ἐν τοῖς ἐσχάτοις
ἐλαττουμένου. ὥσπερ γὰρ τὸ μὴ τελείως ἀγαθὸν μέρει
τινὶ τῆς ἐναντίας ἕξεως μετέχειν ὁμολογεῖται, οὕτως ὃ μὴ
παντελῶς ἐστιν ἁπλοῦν, οὐ διαφεύγει τὸ μὴ σύνθετον εἶναι
δοκεῖν.

242 Καὶ ὅτι ταῦτα νοῶν τούτοις τοῖς λόγοις κέχρηται, διὰ
τῶν ἐφεξῆς σαφέστερον δείκνυται, δι' ὧν φανερώτερον εἰς
χαμαιζήλους τινὰς καὶ ταπεινὰς ὑπολήψεις κατάγει τὴν
περὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἔννοιαν. συμπεριγρα-
φομένων, φησί, τοῖς ἔργοις τῶν ἐνεργειῶν καὶ
325 M. τῶν ἔργων ταῖς τῶν ἐργασαμένων ἐνεργείαις
παραμετρουμένων, ἀνάγκη δήπου πᾶσα καὶ τὰς
ἑκάστῃ τῶν οὐσιῶν ἑπομένας ἐνεργείας ἐλάτ-
τους τε καὶ μείζους εἶναι, καὶ τὰς μὲν πρώ-

VLBCTS 2 ἄνω: ἀνωτάτω V 4 ἑκάστη ἀξίας: ἑκάστω ἀξίας V ἀξίας ἑκάστη L sed mutavit sscr α et β nescio an ead man, ἑκάστης ἀξίας v 5 οἴεται: δέεται S 7 ἁπλότητος BT 14 τι om v 20 δοκεῖν: δοκοῦν V 21 νοῶν: μερ . . . L μετρῶν effecit L² 23-24 κατάγει τὸν λόγον τοῦ υἱοῦ καὶ L διὰ τὴν inter λόγον et τοῦ postmodum add L² 24 τοῦ ante πνεύματος om v 27 πᾶσα om v

243 την, τὰς δὲ δευτέραν ἐπέχειν τάξιν. ταῦτα γὰρ εἰ
καὶ φιλοπόνως τῇ ὁμίχλῃ τῆς λέξεως συγκαλύψας δυσθή-
ρατον αὐτῶν τὴν ἔννοιαν εἶναι τοῖς πολλοῖς παρεσκεύασεν,
ἀλλ' οὖν ἐκ τῆς ἀκολουθίας τῶν ἐξητασμένων εὐκόλως σα-
φηνισθήσεται. συμπεριγραφομένων, φησί, τοῖς ἔργοις
τῶν ἐνεργειῶν. ἔργα ὀνομάζει τὸν υἱὸν καὶ τὸ πνεῦμα,
ἐνεργείας δὲ τὰς ἀποτελεστικὰς τούτων δυνάμεις δι' ὧν
ἀπειργάσθησαν, ἅσπερ μικρῷ πρόσθεν ἕπεσθαί φησι ταῖς
244 οὐσίαις. ἡ δὲ τοῦ συμπεριγράφεσθαι λέξις δηλοῖ τὸ
ἰσοστάσιον τῆς ἀποτελεσθείσης οὐσίας πρὸς τὴν ὑποστήσασαν
δύναμιν, μᾶλλον δὲ οὐχὶ δύναμιν, ἀλλὰ δυνάμεως ἐνέργειαν,
καθὼς αὐτὸς ὀνομάζει, ἵνα μὴ πάσης τῆς τοῦ ἐνεργοῦντος
δυνάμεως ἔργον ᾖ τὸ ἀποτέλεσμα, ἀλλά τινος μερικῆς
ἐνεργείας τοσοῦτον ἐκ τῆς πάσης δυνάμεως κινηθείσης, ὅσον
σύμμετρον ἔμελλε τῇ ἀπεργασίᾳ τοῦ γινομένου φανήσεσθαι.
καὶ πάλιν τὸ αὐτὸ ἐπαναστρέψας φησί· καὶ τῶν ἔργων
ταῖς τῶν ἐργασαμένων ἐνεργείαις παραμετρου-
μένων.
245 Τούτων δὲ ὁ νοῦς γένοιτ' ἂν ἡμῖν δι' ὑποδείγματος
γνωριμώτερος. ὑποθώμεθα γὰρ περὶ ὀργάνου τινὸς τῶν
σκυτοτομικῶν εἶναι τὸν λόγον οὕτω· τὸ σμιλίον εἰς κύκλου
σχῆμα περιηγμένον ἐὰν ἐπιβληθῇ τινι, ᾧ χρὴ τὸν τοιοῦτον
ἐγγενέσθαι τύπον, συμπεριγράφεται τῷ σχήματι τοῦ σιδήρου
τὸ δι' αὐτοῦ ἐντεμνόμενον, καὶ τοσοῦτος ὁ ἐν τῇ τομῇ
κύκλος δειχθήσεται, ὅσος ὁ ἐν τῷ ὀργάνῳ ἐστί· καὶ πάλιν
ὅσῳ διαστήματι περιῆκται τὸ ὄργανον, τοσοῦτον καὶ διὰ
246 τῆς τομῆς περιγράψει τὸν κύκλον. τοιαύτη τοῦ θεολόγου
ἡ ἔννοια περὶ τῆς θείας τοῦ μονογενοῦς ὑποστάσεως. ἐν-
έργειάν τινα καθάπερ ὄργανον τῇ πρώτῃ οὐσίᾳ παρεπομένην

VLBCTS 1 ἐπέχειν τάξιν cf 72,18 et 92,1 6 τὸ om v 8 ἅσπερ: ὥσπερ V 10 ἰσοστάσιον effecit L², rasura inter ἰσο et στάσιον 14 ἐκ om v τῆς πάσης: πάσης τῆς V 20 περὶ: δι' S ἐπὶ v 21-22 εἰς σχῆμα κύκλου collocat S 23 συμ-περιγράφεσθαι B 25 ὅσος ἐν VLTS v 26 τοσούτο L -ον L² 29 παρεπομένην: παραπεμπομένην V

σύμμετρόν φησιν ἑαυτῇ ἔργον πεποιηκέναι τὸν κύριον. οὕτως
οἶδε τὸν υἱὸν τοῦ θεοῦ δοξάζειν. τὸν ἐν τῇ δόξῃ τοῦ πατρὸς
νῦν δοξαζόμενον καὶ ἐν καιρῷ τῆς κρίσεως ἐκκαλυφθησό-
μενον, τοῦτόν φησιν ἔργον ὄντα τῇ ἐργασαμένῃ αὐ-
τὸν ἐνεργείᾳ παραμετρεῖσθαι. τίς τοίνυν ἡ ἐνέρ-
γεια ἡ τῷ θεῷ μὲν τῶν ὅλων παρεπομένη, πρὸ δὲ τοῦ
μονογενοῦς νοουμένη καὶ περιγράφουσα αὐτοῦ τὴν οὐσίαν;
247 δύναμίς τις οὐσιώδης καθ' ἑαυτὴν ὑφεστῶσα καὶ τὸ δοκοῦν
ἐργαζομένη δι' αὐτεξουσίου κινήματος. οὐκοῦν αὕτη πατὴρ
τοῦ κυρίου. καὶ τί ἔτι ἐπιθρυλεῖται τῷ ἐπὶ πάντων θεῷ
ἡ τοῦ πατρὸς κλῆσις, εἰ μὴ ἐκεῖνος, ἀλλά τις ἐνέργεια τῶν
248 ἔξωθεν αὐτῷ παρεπομένων τὸν υἱὸν ἀπειργάσατο; πῶς δὲ
υἱὸς ὁ υἱός, ὃν δι' ἑτέρου μέν τινος ὑποστῆναι λέγει,
καθάπερ δέ τινα τῶν ὑποβολιμαίων (ἵλεως δὲ εἴη τῷ λόγῳ
ὁ κύριος) οὕτω τὴν οἰκειότητα τοῦ πατρὸς ὑποδύεσθαι,
μόνῃ τῇ προσηγορίᾳ τοῦ υἱοῦ τετιμημένον; πῶς δὲ μετὰ
τὸν θεὸν τῶν ὅλων καὶ τὸν κύριον τάξει ὁ τρίτον ἐκ τοῦ
πατρὸς τὸν υἱὸν ἀριθμῶν, τῆς μεσιτευούσης ἐνεργείας ἐκεί-
νης ἐν δευτέρᾳ τάξει μετὰ τὸν ἐπὶ πάντων θεὸν ἀριθμου-
249 μένης; κατὰ δὲ τὴν ἀκολουθίαν ταύτην καὶ τὸ πνεῦμα τὸ
328 M. ἅγιον πάντως οὐκέτι ἐν τρίτῃ, ἀλλ' ἐν τῇ πέμπτῃ τάξει
καταληφθήσεται, τῆς ἐνεργείας τῆς τῷ μονογενεῖ παρεπο-
μένης, καθ' ἣν ὑπέστη τὸ πνεῦμα τὸ ἅγιον, ὡς ὁ Εὐνο-
μίου λόγος, διὰ μέσου πάντως ἀριθμουμένης.
250 Ἀλλὰ καὶ τὸ πάντα διὰ τοῦ υἱοῦ γεγενῆσθαι λέγειν

2 Joh 13,31 3 II Thess 2,6 25 Joh 1,3

VLBCTS 2 οἶδε: εἶδε v 3 ἐν τῷ καιρῷ CS v cf II Thess. 2,6 4-5 αὐτὸν om VCTS 8 τις: τε L καὶ ante καθ' add V 9 αὐτὴ BCTS v 10 ἔτι om V litteras τι om L et ἐ in εἰ corr ut vid μάτην in marg scr L 12 αὐτῷ ante παρεπομένων om B v 15 ὁ κύριος sed ὁ suprascr V 16 τετιμημένος V 18-19 ἐκείνης ἐνεργείας collocat S verba omnia inde ab 18 ἐνεργείας ἐκείνης usque ad 22 καταληφθήσεται iterant v 21 ἐν τῇ πέμπτῃ BCTS: ἐν om V τῇ om L v fortasse etiam ante τρίτῃ <τῇ> adiciendum est 22 καταλειφθήσεται V

ἀσύστατον διὰ τούτων ἐπιδειχθήσεται, ἑτέρας τινὸς ὑπο-
στάσεως πρεσβυτέρας τοῦ μονογενοῦς προαναπλασθείσης ὑπὸ
τοῦ καινοῦ θεολόγου, εἰς ἣν εἰκότως ἡ αἰτία τῆς κτίσεως
τῶν πάντων ἀνενεχθήσεται, διότι καὶ αὐτοῦ τοῦ μονογενοῦς
ἡ κατασκευὴ κατὰ τὸν ἐκείνου λόγον τῆς ἐνεργείας ἐκείνης
251 ἤρτηται. εἰ δὲ ταῦτα τὰ ἄτοπα φεύγων ἀνυπόστατόν τι
πρᾶγμα λέγοι τὴν ἐνέργειαν, ἧς ἀποτέλεσμα τὸν υἱὸν διορί-
ζεται, πάλιν εἰπάτω πῶς ἕπεται τῷ ὄντι τὸ μὴ ὄν, πῶς
δὲ κατεργάζεται τὸν ὑφεστῶτα τὸ μὴ ὑφεστός. εὑρεθήσεται
γὰρ διὰ τούτων ἀκολουθοῦντα μὲν τῷ θεῷ τὰ ἀνύπαρκτα,
αἴτια δὲ τῶν ὄντων τὰ μὴ ὄντα γινόμενα, καὶ περιγρά-
φοντα τὴν τῶν ὑφεστώτων φύσιν ἃ τῇ ἑαυτῶν οὐχ ὑφέστηκε
φύσει, καὶ ἡ πάσης τῆς κτίσεως ἀποτελεστικὴ καὶ δη-
μιουργὸς δύναμις τῷ ἀνυπάρκτῳ κατὰ τὸν ἴδιον λόγον περι-
252 ληφθήσεται. τοιαῦτα τοῦ θεολόγου τὰ δόγματα, ὃς τὸν
κύριον τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ πάσης τῆς κτίσεως
δημιουργόν, τὸν ἐν ἀρχῇ ὄντα λόγον θεοῦ, τὸν δι' οὗ τὰ
πάντα τοῦτον ἀνυπάρκτῳ τινὶ καὶ ἀνυποστάτῳ πράγματι ἢ
νοήματι ἢ οὐκ οἶδ' ὅπως ὀνομάσαι προσήκει τὴν παρ' αὐτοῦ
νῦν ἀναπλασθεῖσαν ἐνέργειαν ὑποστῆναι λέγει καὶ ἐν αὐτῇ
περιγεγράφθαι, οἱόν τινι ἑρκίῳ τῇ ἀνυπαρξίᾳ πανταχόθεν
διειλημμένον. καὶ οὐ συνίησιν ὁ τὰ ἀθέατα βλέπων, εἰς
253 οἷον καταστρέφει πέρας ἡ ἀκολουθία τοῦ λόγου. εἰ γὰρ
ἀνυπόστατος μὲν ἡ ἐνέργεια τοῦ θεοῦ, ταύτῃ δὲ ἐμπερι-
γράφεται τὸ ἐκ τῆς ἀνυπαρξίας ἀποτελεσθὲν ἔργον, πάντως
ὅτι τοιοῦτόν τι νοηθήσεται τῇ φύσει τὸ ἀποτέλεσμα, οἷα

16 cf Matth 11,25 al 17 Joh 1,1-3

VLBCTS 1 ἀποδειχθήσεται BT 2 τοῦ μονογενοῦς om V ἀναπλασθείσης (sic) ante πρεσβυτέρας collocat V ὑπὸ: διὰ V 4 ἐνεχθήσεται VL ἀνενεχθήσεται effecit L^2 5 ἐκείνων v 9 ὑφεστώς VBCT v 10 μὲν om V 11 γενόμενα T 13 πάσης: πᾶσα B v 13-14 καὶ δημιουργὸς om V 16 καὶ ante πάσης om v 17 λόγον θεὸν VS 20 καὶ post ἐνέργειαν add V 21 ἑρκείῳ L πανταχόθεν τῇ ἀνυπαρξίᾳ BT 26 ὅτι: δηλονότι BS post ὅτι rasura duarum litt L ὅτι τὸ τοιοῦτον V τι post τοιοῦτον om V τὸ ante ἀποτέλεσμα om VL add L^2

καὶ ἡ τοῦ ὑποστησαμένου τὸ ἔργον φύσις ἀνεπλάσθη τῷ
λόγῳ· τὸ γὰρ καὶ ἀποτελεσθὲν ἐκ τῆς ἀνυπαρξίας καὶ ἐμ-
περιειλημμένον ταύτῃ παντὶ δήπου πρόδηλον, τί νοεῖται,
254 ὅτι οὐδέν. οὐδὲ γὰρ ἔχει φύσιν ὑπὸ τῶν ἐναντίων τὰ ἐν-
αντία περιέχεσθαι· οὔτε γὰρ ὑπὸ πυρὸς ὕδωρ οὔτε ὑπὸ
σκότους φῶς οὔτε ὑπὸ τοῦ μὴ ὄντος τὸ ὄν. ἀλλὰ ταῦτα
μὲν ὑπὸ τῆς περιττευούσης αὐτῷ σοφίας ἢ οὐ συνίησιν ἢ
ἑκὼν ἀμβλυώττει πρὸς τὴν ἀλήθειαν.
255 Ἐξ ἀνάγκης δέ τινος τὸ ἔλαττον ἐπὶ τῆς τοῦ μονογε-
νοῦς ὑποστάσεως νοεῖ καὶ πάλιν ἐπίτασίν τινα τῆς ἐλαττώ-
σεως παρὰ τὸν υἱὸν ἐνθεωρεῖν τῷ ἁγίῳ πνεύματι κατα-
σκευάζει, οὕτω λέγων τοῖς ῥήμασιν· ἀνάγκη πᾶσα τὰς
ἑκάστῃ τῶν οὐσιῶν ἑπομένας ἐνεργείας ἐλάτ-
256 τους τε καὶ μείζους εἶναι. τὴν μὲν οὖν ἀνάγκην
τὴν ταῦτα ἐν τῇ θείᾳ φύσει βιαζομένην καὶ τὸ μεῖζον καὶ
329 M. τὸ ἔλαττον διακληροῦσαν οὔτε παρ' αὐτοῦ μεμαθήκαμεν
οὔτε ἀφ' ἡμῶν αὐτῶν συνεῖναι μέχρι τοῦ νῦν δεδυνήμεθα.
τέως γὰρ παρὰ πᾶσι κρατεῖ τὸ δόγμα τοῖς τὸν ἰδιωτισμὸν
καταδεχομένοις τοῦ ἁπλουστέρου κηρύγματος, ὅτι οὐδεμία
τις Ἀνάγκη τῆς θείας ὑπέρκειται φύσεως, ἣ πρὸς τὸ
ἔλαττον κάμπτει καὶ βιάζεται καθάπερ τινὰ τῶν ἀργυρω-
257 νήτων τὸν μονογενῆ. ἀλλὰ τοῦτο παρεὶς καίτοι οὐ μικρᾶς
ζητήσεως ἄξιον ὂν μόνον τὸ δεῖν ἔλαττον νοεῖν δογματίζει.
καὶ μὴν οὐκ εἰς τοῦτο μόνον ἡ ἀνάγκη τὸν λόγον καθί-
στησιν, ἀλλά τι καὶ πλέον εἰς βλασφημίαν κατασκευάζει,
καθὼς ἤδη μερικῶς προεξήτασται. εἰ γὰρ μὴ ἐκ πατρὸς

VLBCTS 2 καὶ ante ἀποτελεσθὲν add VS ante ἀποτελεσθὲν ras trium litt L (L^2): om BCT v 3 παντὶ δήπου: παντίπου BT 5 post ὕδωρ verba οὔτε ὑπὸ θανάτου ζωὴν add V 10 νοεῖν v 11 παρὰ: περὶ B 11-12 κατασκευάζῃ η effecit L^2 14-15 τῆς μὲν οὖν ἀνάγκης τῆς VL 15 βιαζομένης VL 16 διασκληρούσης V διακληρούσης L 18 πᾶσι ν in fine eras L^2 ut vid ἰδιασμὸν V 21 κάμπτει καὶ βιάζεται: κάμπτειν καὶ βιάζεσθαι VL 22 post μονογενῆ add κατεπείγουσα L^2 (sed cfad p 81, 9) τοῦτο sub rasura ν ut videtur V 23 ὂν S: om cet v νοεῖν om BCT 25 πλεῖον S

ὁ υἱός, ἀλλ' ἔκ τινος ἀνυποστάτου ἐνεργείας ἀνεφύη, οὐκ
ἐλάττων μόνον τοῦ πατρὸς νοηθήσεται, ἀλλὰ τὸ παράπαν
258 ἰουδαΐζειν ἀνάγκη τῷ δόγματι. τὸ γὰρ τοῦ μὴ ὄντος ἀποτέ-
λεσμα οὐχὶ μικρὸν ἡ τῆς ἀνάγκης ταύτης ἀκολουθία δεί-
κνυσιν, ἀλλ' ὅπερ οὐδὲ κατηγοροῦντι λέγειν ἀκίνδυνον.
ὥσπερ γὰρ ἀναγκαίως ὁμολογεῖται εἶναι τὸ ἐκ τοῦ ὄντος
ἔχον τὴν γέννησιν, οὕτως τὸ ἔμπαλιν ἐξ ἀνάγκης ὁμολογη-
θήσεται <μὴ εἶναι> τὸ ἐκ τοῦ μὴ ὄντος ἀναφυόμενον. ὅταν
γὰρ αὐτό τι μὴ ᾖ, πῶς ἕτερον ἐξ αὐτοῦ ὑποστήσει;
259 Εἰ οὖν οὐκ ἔστιν ἐν ἰδίᾳ οὐσίᾳ ἡ τῷ θεῷ μὲν παρεπο-
μένη ἐνέργεια, τὸν δὲ υἱὸν ἐργαζομένη, τίς οὕτω τυφλός,
ὡς μὴ συνιδεῖν τὴν τῆς βλασφημίας κατασκευήν, ὅτι
πρὸς τὴν αὐτοῦ τοῦ σωτῆρος ἡμῶν ἄρνησιν ὁ σκοπὸς
αὐτῶν βλέπει; καὶ εἰ τοῦ υἱοῦ τὴν ὑπόστασιν ἡ τοῦ δόγ-
ματος αὐτῶν ἀκολουθία ὑποκλέπτει τῆς πίστεως, οὐδὲν
αὐτῷ πλὴν ψιλοῦ ὀνόματος καταλείπουσα, σχολῇ γ' ἂν
εἶναι κατ' ἰδίαν ὑπόστασιν πιστευθείη τὸ πνεῦμα τὸ ἅγιον
τὸ διὰ τῆς τῶν ἀνυπάρκτων ἀκολουθίας γενεαλογούμενον.
260 ὅταν γὰρ μὴ ὑπάρχῃ μὲν κατ' οὐσίαν ἡ παρεπομένη τῷ
θεῷ ἐνέργεια, ἀνύπαρκτον δὲ τὸ ταύτης ἀποτέλεσμα κατα-
λαμβάνῃ ἐξ ἀνάγκης ὁ λόγος, τούτῳ δὲ πάλιν ἄλλη τις
ἐνεργείας ἀνυπαρξία παρέπηται, εἶτα διὰ τούτου γεγενῆσθαι
τὸ πνεῦμα κατασκευάζηται, πῶς οὐκ εὔδηλος πᾶσιν ἡ
βλασφημία, ὅτι μετὰ τὸν ἀγεννήτως ὄντα θεὸν οὐδὲν ἀλη-
θῶς ὑφεστάναι κατασκευάζουσι, διὰ σκιωδῶν τινων καὶ ἀνυπ-

VLBCTS 1 ἐνυποστάτου BCT ἀνεφύη libri: ἀνεφύετο v 3 τῷ δόγματι ἀνάγκῃ collocat B 6 ὄντος: ὄντως T sed ο corr ex ω m rec 7 γένεσιν BCT 8 μὴ εἶναι addidi 9 γὰρ αὐτοῦ τι V αὑτοῦ L: αὐτοῦ ceteri 12 τῆς βλασφημίας τὴν κατασκευὴν V 13 αὐτοῦ τοῦ libri: αὐτὴν τοῦ v ἡμῶν add in margine T 14 αὐτῶν ante βλέπει VLS: αὐτῷ BCT v (sed cf plur p 102,25 et 103,5) εἰ ante τοῦ υἱοῦ om L add L^2 16 καταλιποῦσα V καταλίπουσα L σχολή VT 22 διὰ τοῦτο v 23 τὸ πνεῦμα ante 22 γεγενῆσθαι coll V εὔδηλος libri: εὔδηλον v 25 σκιῶν libri: σκιωδῶν effecit L^2 ex coniectura scilicet sed verum τινων om v

άρκτων ἀναπλασμῶν προϊόντος αὐτῶν τοῦ δόγματος καὶ
οὐδενὶ τῶν κατ' ἀλήθειαν ὑφεστώτων ἐπερειδομένου.
261 Ἀλλ' ἡ μὲν κατασκευὴ τῶν τὰ τοιαῦτα δογματιζόν-
των εἰς τοιαύτην ἀτοπίαν ἐκβάλλει τὸν λόγον. διδόσθω
δὲ καθ' ὑπόθεσιν μὴ οὕτως ἔχειν. καὶ γὰρ ὁμολογοῦσι
δῆθεν καὶ τῷ λόγῳ φιλανθρωπεύονται συγχωροῦντες
<τὸ> εἶναι τῷ τε μονογενεῖ υἱῷ καὶ τῷ πνεύματι τῷ
262 ἁγίῳ κατ' ἰδίαν ὑπόστασιν. ἀλλ' εἰ μὲν ὁμολογοῦντες
ταῦτα καὶ τὰς εὐσεβεῖς περὶ αὐτῶν ὑπολήψεις συνωμολόγουν,
οὐδ' ἂν ἐμάχοντο πάντως πρὸς τὸ δόγμα τῆς ἐκκλησίας
οὐδὲ τῆς κοινῆς ἐλπίδος τῶν Χριστιανῶν ἀπεσχίζοντο· εἰ
δὲ καθάπερ ὕλην τινὰ καὶ ἀφορμὴν βλασφημίας ἑαυτοῖς
332 M. ὑποβάλλοντες διὰ τοῦτο τῷ υἱῷ καὶ τῷ πνεύματι τὸ εἶναι
χαρίζονται, τάχα, κἂν τολμηρὸν εἰπεῖν ᾖ, λυσιτελέστερον
ἦν αὐτοῖς αὐτομολῆσαι πρὸς τὴν τῶν Ἰουδαίων λατρείαν
ἐξομοσαμένοις τὴν πίστιν, ἢ καθυβρίζειν διὰ τῆς δοκούσης
263 ὁμολογίας τῶν Χριστιανῶν τὴν προσηγορίαν. ἐκεῖνοι μὲν
γὰρ ἀπαράδεκτοι τοῦ λόγου μέχρι τοῦ νῦν διαμείναντες
τοσοῦτον ἀσεβοῦσι μόνον, ὅσον τὸν ἐλθόντα Χριστὸν μὴ
ὁμολογεῖν, ἀλλ' ἐλπίζειν ἐλεύσεσθαι· πονηρὰν δέ τινα καὶ
καθαιρετικὴν ἔννοιαν τῆς τοῦ προσδοκωμένου παρ' αὐτοῖς
264 δόξης οὐδεμίαν ἔστι λεγόντων ἀκούειν. οἱ δὲ τῆς νέας
περιτομῆς, μᾶλλον δὲ τῆς, καθώς φησιν ὁ ἀπόστολος,
κατατομῆς, ἐληλυθέναι μὲν οὐκ ἀρνοῦνται τὸν προσδοκώ-
μενον, μιμοῦνται δὲ τοὺς τὴν κατὰ σάρκα τοῦ κυρίου παρ-
ουσίαν δι' ἀπιστίας καὶ ὕβρεως ἀτιμάζοντας. ἐκεῖνοι λίθοις

18 Marc 4,20 23 Phil 3,2-3 26 Joh 8,59 cf 10,31

VLBCTS 2 ἐφεστώτων V ου in ἐπερειδομένου in rasura L 7 τὸ addidi cf 13 et 104,7 τῷ τε μονογενεῖ VLBCT: τε om S v 9 εὐσεβεῖς om BCT v 10 περὶ τὸ δόγμα v 11 οὐδὲν V 12 ἑαυτοὺς L 14 ἢ eras L 15 αὐτ///μολ/// L αὐτομολῆσαι effecit L^2 16 ἐξομοσαμένοις: ἐξομολογησαμένοις B *inde a verbis* διὰ τῆς *fol* 228 *scissum habet* S 23 δὲ τῆς: ης in rasura L^2 τῆς om V 25 τοὺς κατὰ τὴν σάρκα V

βαλεῖν ἐπεχείρουν τὸν κύριον, οὗτοι ταῖς βλασφήμοις φωναῖς
265 τὸν τῆς ἀληθείας λόγον καταλιθάζουσιν. ἐκεῖνοι προέφερον
τῆς κατὰ σάρκα γεννήσεως τὸ ταπεινόν τε καὶ ἄδοξον, τὴν
θείαν καὶ προαιώνιον οὐ προσιέμενοι γέννησιν· κατὰ ταὐτὰ
καὶ οὗτοι τῆς μεγαλοπρεποῦς τε καὶ ὑψηλῆς καὶ ἀρρήτου
ἐκ πατρὸς γεννήσεως τὴν ὁμολογίαν ἀρνούμενοι διὰ κτίσεως
αὐτὸν ἔχειν τὸ εἶναι κατασκευάζουσιν, ὅθεν καὶ τῇ ἀνθρω-
266 πίνῃ φύσει καὶ πᾶσι τοῖς γεγονόσιν ἐστὶν ἡ γέννησις. ἔγ-
κλημα τοῖς Ἰουδαίοις ἦν τὸ υἱὸν τοῦ ἐπὶ πάντων θεοῦ
θεωρηθῆναι τὸν κύριον. ἀγανακτοῦσι καὶ οὗτοι κατὰ τῶν
ἐν ἀληθείᾳ τὴν ὁμολογίαν ταύτην ἐπ' αὐτοῦ ποιουμένων.
ἐκεῖνοι τιμᾶν ᾤοντο τὸν θεὸν τῶν ὅλων τῆς πρὸς αὐτὸν
ὁμοτιμίας τὸν υἱὸν ἀποκλείοντες. ταῦτα καὶ οὗτοι τῷ ἐπὶ
πάντων χαρίζονται, ἐν τῇ καθαιρέσει τῆς τοῦ κυρίου δόξης
τῷ πατρὶ τὴν τιμὴν χαριζόμενοι.

267 Τὰ δὲ ἄλλα πῶς ἄν τις πρὸς ἀξίαν διεξέλθοι, δι' ὅσων
καὶ οἵων τὴν κατὰ τοῦ μονογενοῦς ὕβριν ἐνδείκνυνται;
ἐνέργειάν τινα προαναπλάσσοντες τῆς τοῦ Χριστοῦ ὑποστά-
σεως ἐκείνης ἔργον αὐτὸν καὶ ἀποτέλεσμα λέγουσιν, ὅπερ
τοῖς Ἰουδαίοις οὔπω μέχρι τοῦ δεῦρο τετόλμηται· εἶτα
περιγράφουσι τοῦ κυρίου τὴν φύσιν, ἐντὸς ὅρων τινῶν τῆς
ποιησαμένης δυνάμεως αὐτὸν ἀποκλείοντες καὶ οἱονεὶ μέτρῳ
τινὶ τῇ ποσότητι τῆς ὑποστησαμένης αὐτὸν ἐνεργείας περι-
σχοινίζοντες, ὥσπερ χιτῶνί τινι τῇ ἐπινοηθείσῃ παρ' αὐτῶν
ἐνεργείᾳ πανταχόθεν περιειργόμενον. ταῦτα κατηγορεῖν τῶν
268 Ἰουδαίων οὐκ ἔχομεν. εἶτα βραχύτητά τινα τῇ οὐσίᾳ κατ'

1 Marc 6,3 sq al 11 Matth 27,43 Joh 19,7

VLBCT(S) 1 βαλλεῖν (sic) T 4 γεν///σιν una littera erasa V ταὐτὰ correxi: ταῦτα 5 τε om V v ἀρρήτου καὶ ὑψηλῆς V 6 τῆς ante ἐκ add V 8 γένεσις v 11 ἐπ' αὐτῷ V 12 κἀκεῖνοι VL ἐκεῖνοι corr L² 13-14 τῷ ἐπὶ π. θεῷ conieci 15 τῶ πατρὶ om BCT 16 διεξέλθοι v: ἐξέλθοι libri 19 ex λέγουσιν effecit λέγοντες L², ante 18 ἐνέργειαν interrogandi signum pono, post λέγουσιν tollo 20 οὔπω om BT sed οὐ ante τετόλμηται postmodum ut videtur add B 23 *usque ad* ἐνεργείας *mutilum fol* 228v *cod* S 26 βαρύτητα B

ἐλάττωσιν ἐνθεωροῦσιν, οὐκ οἶδα τίνι μεθόδῳ τὸν ἄποσόν
τε καὶ ἀμεγέθη τῇ ἑαυτῶν ὑπολήψει παραμετρήσαντες καὶ
εὑρεῖν δυνηθέντες, πόσον ἐνδεῖ τῷ μεγέθει τοῦ μονογενοῦς
θεοῦ πρὸς τὴν τελείωσιν, οὗ μὴ προσόντος ἐν τῷ μικρο-
τέρῳ τε καὶ ἀτελεῖ θεωρεῖται. καὶ πολλὰ ἕτερα τὰ μὲν ἐκ
τοῦ προφανοῦς ὁμολογοῦντες τὰ δὲ κατὰ τὸ λανθάνον κατα-
333 M. σκευάζοντες, ἐμμελέτημα τῆς πονηρίας αὐτῶν τὴν ὁμολο-
269 γίαν τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐποιήσαντο. πῶς
οὖν οὐκ ἐλεεινότεροι τῆς Ἰουδαϊκῆς κατακρίσεως, εἴπερ τὰ
μηδέποτε παρ' ἐκείνων τετολμημένα προδήλως οὕτω παρὰ
τούτων κατασκευάζεται; ὁ γὰρ ἐλαττῶν τὴν οὐσίαν τοῦ
μονογενοῦς καὶ τοῦ ἁγίου πνεύματος, ὡς μὲν ἁπλῶς εἰπεῖν ἢ
ἀκοῦσαι, μικρὸν ἀσεβεῖν ἴσως δοκεῖ· εἰ δέ τις ἀκριβῶς τὸν
λόγον κατεξετάσειεν, εἰς αὐτὸ τὸ κεφάλαιον βλασφημῶν
ἐλεγχθήσεται. οὑτωσὶ δὲ σκοπήσωμεν· καί μοι συγκεχω-
ρήσθω διδασκαλίας χάριν καὶ σαφηνείας τοῦ παρὰ τῶν
ἐναντίων κατασκευαζομένου ψεύδους ἐπὶ τὴν ἔκθεσιν τῶν
ἡμετέρων ὑπολήψεων τὸν λόγον προάγοντι.

270 Πάντων τῶν ὄντων ἡ ἀνωτάτω διαίρεσις εἴς τε τὸ
νοητὸν καὶ τὸ αἰσθητὸν τὴν τομὴν ἔχει. καὶ ἡ μὲν αἰσθητὴ
φύσις γενικῶς ὑπὸ τοῦ ἀποστόλου ὁρατὴ κατωνόμασται·
ἐπειδὴ γὰρ πᾶν σῶμα ἐν χρώματι, τούτου δὲ ἡ ὅρασις τὴν
ἀντίληψιν ἔχει, καταλιπὼν τὰς ὑπολοίπους ποιότητας, ὅσαι
οὐσιωδῶς συμπεφύκασιν, ἐκ τοῦ προχείρου κατὰ τὴν αἴσθησιν
271 ὁρατὴν προσηγόρευσε. τῆς δὲ νοητῆς φύσεως πάσης ὄνομα
μὲν κοινόν ἐστι, καθώς φησιν ὁ ἀπόστολος, τὸ ἀόρατον·
τῇ γὰρ ὑπεξαιρέσει τῆς αἰσθητικῆς καταλήψεως ἐπὶ τὸ

21 et 26 Col 1, 16

VLBCTS 2 παραμετρήσαντες BTS: περιμετρήσαντες VLC v πατέρα μετρήσαντες L² (legisse vid $\overline{\pi\rho\alpha}$) de patre non dici apparet ex 3 et 12 cf 104,2 alia 5 τε om V 12 ἁπλῶς om v 15-16 συγκεχωρείσθω V συγκεχωρίσθω L ή ex ί effecit L² 16 σαφηνείας ἀπὸ τοῦ V ex coniectura ut vid 20 τὸ ante αἰσθητὸν om V 21 γεννικῶς B 22 πᾶν σῶμα ἐν χρώματι: ἐν σώματι πᾶν χρῶμα V 23 ὑπολοίπους om V 26 ὁ ante ἀπόστολος om v 27 αἰσθητῆς BCTS

ἀσώματόν τε καὶ νοητὸν χειραγωγεῖ τὴν διάνοιαν. ὁ δὲ λόγος εἰς δύο τέμνει καὶ ταύτης τὴν ἔννοιαν. ἡ μὲν γὰρ ἄκτιστος ἡ δὲ κτιστὴ ὑπὸ τῆς ἀκολουθίας καταλαμβάνεται, ἄκτιστος μὲν ἡ ποιητικὴ τῆς κτίσεως, κτιστὴ δὲ ἡ διὰ τῆς ἀκτίστου φύσεως τὴν αἰτίαν καὶ τὴν δύναμιν τοῦ
272 εἶναι ἔχουσα. ἐν μὲν οὖν τοῖς αἰσθητοῖς ἐστι πάντα, ὅσα διὰ τῶν τοῦ σώματος αἰσθητηρίων καταλαμβάνομεν, ἐφ' ὧν αἱ τῶν ποιοτήτων διαφοραὶ τὸν τοῦ μείζονός τε καὶ ἐλάττονος ἐπιδέχονται λόγον, κατὰ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὰς λοιπὰς ἰδιότητας τῆς διαφορᾶς ἐν τούτοις θεωρουμένης.

273 Ἐπὶ δὲ τῆς νοητῆς φύσεως, τῆς ἐν τῇ κτίσει λέγω, ὁ μὲν τοιοῦτος τῆς διαφορᾶς λόγος, οἷος ἐπὶ τῶν αἰσθητῶν κατελήφθη, χώραν οὐκ ἔχει, ἕτερος δέ τις εὑρίσκεται τρόπος τὴν τοῦ μείζονος πρὸς τὸ ἔλαττον διαφορὰν ἐξευρίσκων.
274 ἐπειδὴ γὰρ παντὸς ἀγαθοῦ πηγὴ καὶ ἀρχὴ καὶ χορηγία ἐν τῇ ἀκτίστῳ θεωρεῖται φύσει, πᾶσα δὲ πρὸς ἐκεῖνο νένευκεν ἡ κτίσις, διὰ τῆς κοινωνίας τοῦ πρώτου ἀγαθοῦ τῆς ὑψηλῆς φύσεως ἐφαπτομένη τε καὶ μετέχουσα, ἐξ ἀνάγκης κατὰ τὴν ἀναλογίαν τῆς τῶν ὑψηλῶν μετουσίας τῶν μὲν πλειόνως τῶν δὲ ἐλαττόνως κατὰ τὸ αὐτεξούσιον τῆς προαιρέσεως μεταλαμβανόντων, τὸ πλέον καὶ τὸ ἧττον ἐν τῇ
275 κτίσει γνωρίζεται ἀναλόγως τῆς ἑκάστου ὁρμῆς. τῆς γὰρ φύσεως τῆς ἐν τῇ κτίσει νοουμένης ἐν μεθορίῳ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων ἑστώσης, ὡς δεκτικὴν ἑκατέρων εἶναι κατ' ἐξουσίαν, τοῖς κατὰ γνώμην προσκλινομένην, καθὼς

1 hanc τοῦ χειραγωγεῖν rationem non Paulo debet, sed ex Arist Metaph VII 3, 1029 b 3 sq sim ad Paulum refert

VLBCTS 2 rasura post γὰρ T 3 verba inde ab ὑπὸ τῆς usque ad 4 κτιστὴ δὲ om V εὐακολουθίας v 6 οὖν om V 7 αἰσθητηρίον L (sic) 8 τε post μείζονος om S 9 κατὰ τὸ ποιὸν καὶ τὸ ποσὸν coll BT 10 τὰς ante λοιπὰς om v 10-11 θεωρουμένη V 14 κατελείφθη V 19 δὲ post ἐφαπτομένη v 20 τὴν ante ἀναλογίαν om S 21 πλείονος . . . ἐλάττονος VL 24 κτίση L ει effecit L² 26 προσκλινομένοις S προσκεκλιμένοις V

παρὰ τῆς γραφῆς μεμαθήκαμεν, πρὸς λόγον τῆς τε τῶν
336 M. χειρόνων ἀποστάσεως καὶ τοῦ προσεγγισμοῦ τῶν καλῶν τὸ πλέον καὶ τὸ ἔλαττον λέγειν ἐν τῷ κατ' ἀρετὴν ὑπερέχοντι
276 χώραν ἔχει. ἡ δὲ ἄκτιστος φύσις τῆς μὲν τοιαύτης διαφορᾶς πόρρωθεν ἄπεστιν, ἅτε οὐκ ἐπίκτητον ἔχουσα τὸ ἀγαθὸν οὐδὲ κατὰ μετοχὴν ὑπερκειμένου τινὸς καλοῦ τὸ καλὸν ἐν ἑαυτῇ δεχομένη, ἀλλ' αὐτὸ ὅπερ ἐστὶ τῇ φύσει ἀγαθὸν οὖσα καὶ ἀγαθὸν νοουμένη καὶ ἀγαθοῦ πηγὴ ἁπλῆ τε καὶ μονοειδὴς καὶ ἀσύνθετος καὶ ὑπὸ τῶν μαχομένων
277 ἡμῖν μαρτυρουμένη. διαφορὰν δὲ πρὸς ἑαυτὴν ἔχει τῷ μεγαλείῳ τῆς φύσεως πρέπουσαν, οὐ πρὸς τὸ μεῖζον καὶ ἔλαττον θεωρουμένην, ὡς ὁ Εὐνόμιος οἴεται· ὁ γὰρ τὴν περὶ τοῦ ἀγαθοῦ ἔννοιαν ἐλαττῶν ἔν τινι τῶν ἐν τῇ ἁγίᾳ τριάδι πεπιστευμένων μεμῖχθαι τι τῆς ἐναντίας ἕξεως τῷ κατὰ τὸ ἀγαθὸν ὑστερουμένῳ πάντως παρασκευάσει, ὅπερ οὔτε ἐπὶ τοῦ μονογενοῦς οὔτε ἐπὶ τοῦ ἁγίου πνεύματος εὐσεβές ἐστι λογίζεσθαι· ἀλλ' ἐν ἄκρᾳ τῇ τελειότητι καὶ ἐν ἀκαταλήπτῳ τῇ ὑπεροχῇ θεωρουμένη, τοῖς ἐνυπάρχουσιν ἑκάστῃ τῶν ὑποστάσεων ἰδιώμασιν ἀσύγχυτον καὶ διακεκριμένην τὴν διαφορὰν ἔχει, ἐν μὲν τῇ κατὰ τὸ ἄκτιστον κοινωνίᾳ τὸ ἀπαράλλακτον ἔχουσα, ἐν δὲ τοῖς ἐξαιρέτοις τῶν ἰδιωμάτων ἑκάστου τὸ ἀκοινώνητον.

278 Ἡ γὰρ ἐπιθεωρουμένη ἑκάστῃ τῶν ὑποστάσεων ἰδιότης τρανῶς καὶ καθαρῶς τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου διΐστησιν. οἷον ὁ πατὴρ ἄκτιστος εἶναι ὁμολογεῖται καὶ ἀγέννητος· οὔτε γὰρ γεγέννηται οὔτε ἔκτισται· τοῦτο οὖν τὸ ἄκτιστον κοινὸν αὐτῷ πρὸς τὸν υἱόν ἐστι καὶ τὸ πνεῦμα τὸ

1 Gen 3 spectare videtur sed cf etiam quae huius modi Prov 1, 15; 3, 7; 4, 5 et passim legimus 27 cf Bas c Eun II 577 C-580 C

VLBCTS 2 ἀποστάσεως VL²T v: ὑποστάσεως LBCS 3 ὑπερέχοντι VLS v et effecit postea C: ὑπάρχοντι BT et prius C 5 πόρρω BS 7 ἐν αὐτῇ V 8 καὶ ante ἀγαθὸν οὖσα add S v 9 καὶ ante ὑπὸ om v 11 μεγαλείῳ: μεγάλῳ V οὐ τὸ πρὸς μ. L τὴν pro τὸ add L² 14 ἕξεως: τάξεως V 15 τὸ om V 17 λογίσασθαι V

ἅγιον. ἀλλὰ καὶ ἀγέννητος καὶ πατήρ· τοῦτο ἴδιόν τε
καὶ ἀκοινώνητον, ὅπερ ἐν οὐδενὶ τῶν ὑπολοίπων κατα-
279 λαμβάνεται. ὁ δὲ υἱὸς κατὰ τὸ ἄκτιστον τῷ πατρὶ καὶ
τῷ πνεύματι συναπτόμενος ἐν τῷ υἱὸς καὶ μονογενὴς
εἶναί τε καὶ ὀνομάζεσθαι τὸ ἰδιάζον ἔχει, ὅπερ οὔτε τοῦ
ἐπὶ πάντων θεοῦ οὔτε τοῦ πνεύματος τοῦ ἁγίου ἐστί. τὸ
δὲ πνεῦμα τὸ ἅγιον ἐν τῷ ἀκτίστῳ τῆς φύσεως τὴν κοι-
νωνίαν ἔχον πρὸς υἱὸν καὶ πατέρα τοῖς ἰδίοις πάλιν γνω-
ρίσμασιν ἀπ' αὐτῶν διακρίνεται. γνώρισμα γὰρ αὐτοῦ καὶ
σημεῖόν ἐστιν ἰδιαίτατον τὸ μηδὲν ἐκείνων εἶναι, ἅπερ
280 ἰδίως τῷ πατρὶ καὶ τῷ υἱῷ ὁ λόγος ἐνεθεώρησε. τὸ γὰρ
μήτε ἀγεννήτως εἶναι μήτε μονογενῶς, εἶναι δὲ ὅλως, τὴν
ἐξαίρετον αὐτοῦ ἰδιότητα πρὸς τὰ προειρημένα παρίστησιν.
τῷ γὰρ πατρὶ κατὰ τὸ ἄκτιστον συναπτόμενον πάλιν ἀπ'
αὐτοῦ τῷ μὴ πατὴρ εἶναι καθάπερ ἐκεῖνος διαχωρίζεται.
τῆς δὲ πρὸς τὸν υἱὸν κατὰ τὸ ἄκτιστον συναφείας [καὶ ἐν
τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ θεοῦ τῶν ὅλων ἔχειν]
ἀφίσταται πάλιν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενῶς ἐκ
τοῦ πατρὸς ὑποστῆναι καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ υἱοῦ πεφη-

VLBCTS 1 ἀγέννητος ὁ πατήρ S sed cf 4 idem de filio dictum, ubi nomen filii cum praedicato idiomatico coniungitur. secundum Basilii doctrinam nomina patris, filii, spiritus τῶν ἰδιωμάτων sunt δηλωτικά 5 τοῦ om v 6 τοῦ ἁγίου πνεύματος v 8 πρὸς τὸν υἱὸν BC 9 ὑπ' αὐτῶν BCT 10 ἰδιώτατον VL (αι effecit L^2) 12 ἀγεννῶς V σημείωσαι L^2 13 εἰρημένα VL v 14 τὸ γὰρ CT (ex coni cf 11) 16 τῆς δὲ πρὸς τὸν . . . συναφείας libri: τῇ πρὸς τὸν . . . συναφείᾳ v et corr L^2 (retinens δὲ) 17 post ἔχειν add ἑνούμενον v verba inde a 16 καὶ ἐν τῷ usque ad 17 ἔχειν huc scilicet non quadrant, quare interpolator quidam ἑνούμενον addidit et cetera 16 mutavit. videntur a Byzantino lectore hoc loco inculcata esse, cum Gregorii doctrinam de processione spiritus sancti non satis orthodoxe definitam esse et cum 'filioque' conspirare quodam modo sentiret. etenim apud Basilium illa doctrina nondum satis clare expressa post eum a Nazianzeno, ut videtur, ad tria illa notissima ἰδιώματα ἀγεννησίας γεννησίας ἐκπορεύσεως redacta est 18 ἐν ante τῷ ἰδιάζοντι addunt v

νέναι. πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ μονογενοῦς ὑποστάσης,
ὡς ἂν μὴ κοινότητά τινα πρὸς ταύτην ἔχειν νομισθῇ τὸ
πνεῦμα ἐκ τοῦ διὰ τοῦ υἱοῦ πεφηνέναι, ἐν τῷ ἀτρέπτῳ καὶ
ἀναλλοιώτῳ καὶ ἀπροσδεεῖ τῆς ἑτέρωθεν ἀγαθότητος δια-
281 κρίνεται τὸ πνεῦμα ἀπὸ τῆς κτίσεως. τὸ γὰρ ἄτρεπτον ἡ
337 M. κτίσις ἐν τῇ φύσει οὐκ ἔχει, καθώς φησιν ἡ γραφὴ τοῦ
ἑωσφόρου τὴν πτῶσιν διηγουμένη, περὶ οὗ καὶ ὁ κύριος
ἀποκαλύπτων τοῖς μαθηταῖς τὰ μυστήρια ἔλεγεν· Ἐθεώρουν
τὸν σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ. δι'
ὧν δὲ τῆς κτίσεως ἀφίσταται, διὰ τῶν αὐτῶν τούτων πρὸς
τὸν πατέρα τε καὶ υἱὸν ἔχει τὴν οἰκειότητα. εἷς γὰρ καὶ
ὁ αὐτὸς ἐπὶ τῶν κατὰ φύσιν ἀνεπιδέκτων τοῦ χείρονος ὁ
τοῦ ἀτρέπτου καὶ ἀναλλοιώτου λόγος.

282 Τούτων δὲ ἡμῖν οὕτω προειρημένων καιρὸς ἂν εἴη
λοιπὸν καὶ τὸν τῶν ἐναντίων κατεξετάσαι λόγον. ἀνάγκη
φησὶ μείζους τε καὶ ἐλάττους τὰς οὐσίας εἶναι
ἐν τῇ περὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τεχνολογίᾳ.
σκοπήσωμεν τοίνυν κατὰ τίνα διάνοιαν ἐπινοεῖ τῆς τοιαύτης
διαφορᾶς τὴν ἀνάγκην, πότερον σωματικῆς τινος γενομένης
τῆς πρὸς ἄλληλα τῶν παραμετρουμένων συγκρίσεως ἢ κατὰ
τὸ νοητὸν ἐν τῷ κατ' ἀρετὴν ὑπερβάλλοντι καὶ ἐνδέοντι
283 θεωρουμένης ἢ κατὰ τὴν οὐσίαν αὐτήν. ἀλλ' ἐπὶ μὲν τῆς
οὐσίας ἐδείχθη παρὰ τῶν τὰ τοιαῦτα φιλοσοφεῖν εἰδότων
μηδεμίαν δύνασθαι διαφορὰν ἐννοῆσαι, ἐάν τις αὐτὴν ψι-
λώσας καὶ ἀπογυμνώσας τῶν ἐπιθεωρουμένων ποιοτήτων τε
καὶ ἰδιωμάτων αὐτὴν ἐφ' ἑαυτῆς ἐξετάζῃ κατὰ τὸν τοῦ

5-8 Bas c Eun III p 660 C 6-7 Jes 14, 12 8 Luc 10, 18

VLBCT(S) 3-4 καὶ ἀναλλοιώτῳ om BT 4 ἑτέρων V cf 107,5 οὐκ ἐπίκτητον ἔχουσα 7 πτῆσιν V διηγούμενον v διηγουμένον L η corr L^2 8 τοῖς μαθηταῖς om V 9 ἐκ τοῦ οὐρανοῦ πεσόντα V ex Luc 10,18 10 δι' αὐτῶν V 11 τὸν ante υἱὸν add V 12 ὁ ante αὐτὸς om BT ἀνεπιδείκτων V 14 *inde a* τούτων *fol* 228 v *cod S scissum* (D hic magnam hab lac) 16 εἶναι τὰς οὐσίας V 19 γεναμένης L ο sscr L^2 21 τὸν νοητὸν LCT τὸ corr L^2 22 θεωρουμένην BCT 25 τε om V 26 ἐξετάζει V

εἶναι λόγον. ἐπιτάσει δὲ καὶ ὑφέσει τῆς ἀρετῆς τὴν τοι-
αύτην διαφορὰν ἐννοεῖν περὶ τοῦ μονογενοῦς καὶ τοῦ πνεύ-
ματος καὶ διὰ τοῦτο μεταπτωτὴν ἀναγκαίως ἐφ' ἑκάτερα
τὴν φύσιν αὐτῶν ὑποτίθεσθαι ὡς δεκτικὴν οὖσαν ἐπ' ἴσης
τῶν ἐναντίων καὶ ἐν μεθορίῳ καλοῦ τε καὶ τοῦ ἐναντίου
284 κειμένην, τῆς ἐσχάτης ἀσεβείας ἐστίν. ἄλλο γάρ τι εἶναι
αὐτὴν κατὰ τὸν ἴδιον λόγον καὶ ἄλλο τι γίνεσθαι τῇ μετ-
ουσίᾳ τοῦ καλοῦ καὶ τοῦ χείρονος ὁ ταῦτα λέγων κατα-
σκευάσει. οἷον ἐπὶ τοῦ σιδήρου συμβαίνει, ὃς ἐπὶ πλέον
μὲν τοῦ πυρὸς καθομιλήσας τὴν ποιότητα τοῦ θερμοῦ ὑπο-
δύεται, μένων ἐν τῷ σίδηρος εἶναι, εἰ δὲ ἐν χιόνι γένοιτο
ἢ κρυστάλλῳ, μεταβάλλει πρὸς τὸ ἐπικρατοῦν τὴν ποιότητα,
τὸ ψυχρὸν τῆς χιόνος τοῖς ἰδίοις μορίοις ἀναδεξάμενος.
285 Ὥσπερ οὖν οὐκ ἐκ τῆς ἐπιθεωρουμένης τῷ σιδήρῳ
ποιότητος τὴν ὕλην προσαγορεύομεν (οὐ γὰρ πῦρ αὐτὸν ἢ
κρύσταλλον ὀνομάζομεν τὸν ἑνὶ τούτων πεποιωμένον), οὕτως
εἰ δοθείη κατὰ τὸν τῶν ἀσεβῶν λόγον ἐπὶ τῆς ζωοποιοῦ
δυνάμεως μὴ κατ' οὐσίαν ἐνυπάρχειν αὐτῇ τὸ ἀγαθόν, ἀλλ'
ἐκ μετουσίας προσγίνεσθαι, οὐκέτι ἐκ τῆς τοῦ ἀγαθοῦ
προσηγορίας κυρίως ὀνομασθήσεται, ἀλλά τι ἕτερον ἐννοεῖν
ἡ τοιαύτη ὑπόληψις ἀναγκάσει, ὡς μήτε ἀϊδίως αὐτῇ τὸ
ἀγαθὸν ἐνθεωρεῖσθαι μήτε αὐτὸ ὅπερ ἐστὶν ἐν τῇ τοῦ ἀγα-
θοῦ φύσει καταλαμβάνεσθαι, ἀλλ' ὡς καὶ ποτὲ μὴ ὂν ἐν
286 αὐτῇ τὸ ἀγαθὸν καὶ ποτὲ μὴ ἐσόμενον. εἰ γὰρ τῷ μετέ-
χειν τοῦ κρείττονος ἀγαθὰ γίνεται, δῆλον ὅτι πρὸ τῆς μετου-
σίας τοιαῦτα οὐκ ἦν, καὶ εἰ ἄλλο τι ὄντα τῇ παρουσίᾳ τοῦ

1-12 ex Bas c Eun III p 660 B-C 9 Stoicorum σίδηρος πεπυρακτωμένος celeberrimum exemplum cf Arnim Frgm Stoic II 153,8; 155,30; 156,20

VLBCT 4 ὡς δεκτικὴν: ὡς δὲ κτητικὴν T 10 τῷ πυρὶ V v θερμοῦ: πυρὸς V 10-11 ἀποδύεται V 12 κρυστάλωι V 14 θεωρουμένης VLBCT 18 αὐτοῦ L 21 αὐτῇ correxi scilicet τῇ ζωοποιῷ δυνάμει cf 17: αὐτῆς libri αὐτῷ v 22 εἰσὶν L ἐστὶν corr L[2] 25 ἀγαθοῦ V

340 M. ἀγαθοῦ ἐπεχρώσθη, πάντως κἂν μονωθῇ τούτου, ἄλλο τι
παρὰ τὸ ἀγαθὸν νοηθήσεται· καὶ ἐὰν τοῦτο κρατήσῃ, οὐ
μᾶλλον ἀγαθῶν παρεκτικὴ ἡ θεία φύσις καταληφθήσεται
287 ἢ καὶ αὐτὴ προσδεομένη τοῦ ἀγαθύνοντος. πῶς γὰρ ἄν τις
ἑτέρῳ παράσχοι τὸ ὃ μὴ αὐτὸς ἔχει; εἰ μὲν οὖν τελείως
ἔχει, οὐδεμίαν ὕφεσιν ἐπὶ τῆς τελειότητος ἐννοήσομεν, καὶ
μάταιος ὁ κατασκευάζων ἐν τῷ τελείῳ τὸ ἔλαττον. εἰ δὲ
ἀτελὴς ἐν αὐτοῖς ἡ τοῦ ἀγαθοῦ μετουσία νομίζεται καὶ κατὰ
τοῦτο τὸ ἔλαττον λέγουσι, σκόπησον τὴν ἀκολουθίαν, ὅτι τὸ
οὕτως ἔχον οὐχὶ τὸ ὑποδεέστερον εὐεργετήσει, ἀλλ' ὅπως τὸ
ἑαυτῷ ἐνδέον ἀναπληρώσῃ τὴν σπουδὴν ἕξει· ὥστε ψευδὴς
κατ' αὐτοὺς καὶ τῆς προνοίας ὁ λόγος καὶ τῆς κρίσεως καὶ
τῆς οἰκονομίας καὶ πάντων τῶν παρὰ τοῦ μονογενοῦς γεγε-
νῆσθαι καὶ εἰσαεὶ γίνεσθαι πεπιστευμένων, ἐν τῇ περὶ τὸ
ἴδιον ἀγαθὸν ἐπιμελείᾳ κατὰ τὸ εἰκὸς ἀσχολουμένου καὶ τὴν
τοῦ παντὸς ἐπιστασίαν διαφιέντος.
288 Εἰ γὰρ αὕτη κρατήσειεν ἡ ὑπόνοια, τὸ μὴ τετελειῶσθαι
τὸν κύριον ἐν παντὶ ἀγαθῷ, οὐκέτι δύσκολον συνιδεῖν, εἰς ὅ
τι καταστρέφει ἡ βλασφημία. ὄντως γὰρ τῶν τοιούτων μα-
ταία μὲν ἡ πίστις, κενὸν δὲ τὸ κήρυγμα, ἀνυπόστατοι δὲ αἱ
ἐλπίδες, αἳ διὰ τῆς πίστεως τὴν ὑπόστασιν ἔχουσι. τί γὰρ
βαπτίζονται εἰς Χριστόν, ᾧ μὴ ἰδία δύναμις ἀγαθωσύνης;
289 ἀπίτω δὲ τοῦ στόματός μου τὸ βλάσφημον. τί δὲ πι-
στεύουσιν εἰς τὸ πνεῦμα τὸ ἅγιον, εἰ τὰ αὐτὰ καὶ περὶ
τούτου λογίζονται; πῶς δὲ ἀπὸ τῆς φθαρτῆς γεννήσεως διὰ

20 I Cor 15,17 25 I Petr 1,23

VLBCT 1 ἐπεχρώσθη inter χ et ρω ras unius litt L 2 παρὰ om v νοηθήσεται libri: νομισθήσεται v 4 ἢ καὶ: ἡ καὶ V 5 παράσχοι τὸ: παράσχοιτο CT ἔχοι V 6 ὕφεσιν: φύσιν V ἐννοήσωμεν L 10 οὐχὶ τὸ ὑποδεέστερον: οὐχ ὑποδ. V 11 ἑαυτῷ: αὐτῶ V ἑαυτοῦ L ἀναπληρώσει C 17 τελειῶσθαι BCT sed τε supra add B man rec 18 ἀγαθῷ: καιρῶ V 19 ὄντως (ν supra ς add B man alt): ὄντων v cf p 34,3 et testim ad h l 21 πίστεως: ὑποστάσεως V ἔχουσι: ἔχουσαι VL (et αἱ pro αἳ ante διὰ) 22 βαπτίζονται ante ται rasura trium litterarum L ἀγαθωσύνης: ἀγαθοσύνη V 24-25 τὰ αὐτὰ καὶ περὶ τούτου VL et omisso καὶ BCT: περὶ τούτου αὐτὰ v

τοῦ βαπτίσματος ἀναγεννῶνται, οὐδὲ τῆς ἀναγεννώσης αὐτοὺς δυνάμεως τὸ ἄπτωτον καὶ τὸ ἀπροσδεὲς φυσικῶς καθὼς οἴονται κεκτημένης; πῶς δὲ μετασχηματίζεται τὸ σῶμα τῆς ταπεινώσεως αὐτῶν, ὅταν αὐτὸν τὸν μετασχηματίζοντα τῆς πρὸς τὸ κρεῖττον ἀλλοιώσεως ἐπιδεῖσθαι νομίζωσιν, ἄλλου πάλιν τοῦ καὶ αὐτὸν μετασχηματίζοντος προσ-
290 δεόμενον; ἕως γὰρ ἂν ἐν τῷ ἐλάττονι ᾖ, διὰ τὸ ἀγαθὸν τῆς φύσεως τοῦ ὑπερκειμένου ἄπαυστόν τινα πρὸς ἑαυτὸ τὴν ὁλκὴν τοῖς ὑποδεεστέροις φυσικῶς ἐντιθέντος, οὐδενὶ τρόπῳ ἡ τοῦ πλέονος ἔφεσις στήσεται, ἀλλὰ πρὸς τὸ μήπω ληφθὲν ὑπερτεινομένης ἀεὶ τῆς ὀρέξεως πάντοτε τὸ ἐλαττούμενον τοῦ πλέονος ὀρεχθήσεται καὶ ἀεὶ πρὸς τὸ μεῖζον ἀλλοιωθήσεται καὶ οὐδέποτε πρὸς τὸ τέλειον φθάσει, τῷ μὴ εὑρίσκειν τὸ πέρας, οὗ δραξάμενον στήσεται τῆς ἀνόδου.
291 ἐπειδὴ γὰρ ἄπειρον τῇ φύσει τὸ πρῶτον ἀγαθόν, ἄπειρος ἐξ ἀνάγκης ἔσται καὶ ἡ μετουσία τοῦ ἀπολαύοντος, ἐσαεὶ τὸ πλέον καταλαμβάνουσα καὶ πάντοτε εὑρίσκουσα τοῦ καταληφθέντος τὸ περισσότερον καὶ μηδέποτε παρισωθῆναι αὐτῷ δυναμένη, τῷ μήτε τὸ μετεχόμενον περατοῦσθαι μήτε τὸ διὰ τῆς μετουσίας ἐπαυξανόμενον ἵστασθαι.

292 Τοιαῦτα μὲν οὖν ἐστιν ἐκ τῆς κατὰ τὸ ἀγαθὸν δια-
341 M. φορᾶς ἀνακύπτοντα ἐκ τοῦ λόγου τὰ βλάσφημα. εἰ δὲ κατά τινα σωματικὴν ὑπόληψιν τὸ μεῖζόν τε καὶ ἔλαττον ἐπ' αὐτῶν θεωροῦσιν, αὐτόθεν ὁμολογεῖται τοῦ λόγου

3 Phil 3,21 haec inde a 5 usque ad 20 ex Neoplatonicorum doctrina redundant

VLBCT 1 τῆς ante ἀναγεννώσης om v 1-2 αὐτούς: αὐτοῖς V 2 τὸ ante ἀπροσδεὲς om v 3 μετασχηματίζει v 4 τὸν post αὐτὸν om BT 5-6 νομίζωσιν: νομίζουσιν V 6-7 προσδεόμενον: πρὸς τὸ δεόμενον V 7 ἂν ante ἐν om v 7-8 verba διὰ usque ad φύσεως falso cum antecedentibus iunguntur 8 ὑπερκειμένου: ὑποκειμένου L 8-9 τὴν ὁλκὴν πρὸς ἑαυτὸ collocat V 13 τὸ ante τέλειον om v 14 δραξάμενον: δραξάμενος VL 15 ἐν ante τῇ φύσει add v 16 ἔσται om BCT εἰσαεὶ V 18 μηδέπω V 21 τοιαῦτα VL v: ταῦτα BCT κατὰ τὸ ἀγαθὸν VL v: τοῦ ἀγαθοῦ BCT 23 ὑπόληψιν libri: πρόληψιν v 24 ὁμολογεῖται VLBC v: ὁμολογοῦσιν T sed del postea et corr ead man

τὸ ἄτοπον, κἂν μὴ καθ' ἕκαστον ἀκριβῶς ἐξετάζηται. ἀνάγκη γὰρ πᾶσα ποιότητάς τινας καὶ διαστάσεις ὄγκους τε καὶ σχήματα καὶ πάντα δι' ὧν συμπληροῦται ὁ τοῦ σώματος λόγος, ταῖς ὑπονοίαις ταύταις καὶ ἐπὶ τῆς θείας φύσεως συνεισάγεσθαι. ὅπου δὲ τὸ σύνθετον λέγεται, πάν-
293 τως ἐκεῖ συνομολογεῖται καὶ ἡ τοῦ συνθέτου διάλυσις. ἀλλ' ἐκ μὲν τῆς τοῦ δόγματος ἀτοπίας τῆς τὸ ἔλαττον καὶ τὸ ὑπερέχον ἐν τοῖς ἀμεγέθεσι καὶ ἀσυγκρίτοις ἀποφαίνεσθαι τολμώσης ταῦτα καὶ τὰ τοιαῦτα κατασκευάζεται, ὡς ὀλίγα ἐκ πολλῶν ὁ λόγος ὑπέδειξεν· οὐδὲ γὰρ εὔκολον πάντα τὸν ἐγκεκρυμμένον τῷ δόγματι δόλον διακαλύψαι τῷ λόγῳ. καὶ δι' ὀλίγων δὲ τῶν εἰρημένων οὐδὲν ἧττον ἡ ἀτοπία τῶν κατὰ τὸ ἀκόλουθον τῆς βλασφημίας ἀναφαινομένων ἐπι-
294 δειχθήσεται. ἡμεῖς δὲ πρὸς τὰ ἐφεξῆς τοῦ λόγου προέλθωμεν, μικρῶν ἔτι πρὸς σύστασιν τοῦ ἡμετέρου δόγματος προσδιορισθέντων. ἐπειδὴ γὰρ κριτήριον ἀσφαλὲς τῆς ἀληθείας ἐπὶ παντὸς δόγματος ἡ θεόπνευστός ἐστι μαρτυρία, καλῶς ἔχειν ἡγοῦμαι τῇ παραθέσει τῶν θείων καὶ τὸν ἡμέτερον λόγον πιστώσασθαι.

295 Οὐκοῦν ταύτας ἔγνωμεν ἐν τῇ διαιρέσει τῶν ὄντων τὰς διαφοράς, πρῶτον τὸ ὡς πρὸς τὴν ἡμετέραν κατάληψιν πρῶτον, τὸ αἰσθητὸν λέγω, μετὰ τοῦτο δὲ τὸ διὰ τῆς τῶν αἰσθητῶν χειραγωγίας ὑπὸ τοῦ νοῦ θεωρούμενον, ὃ δὴ νοητὸν εἶναί φαμεν· καὶ τοῦ νοητοῦ πάλιν ἑτέραν διαφορὰν κατελάβομεν εἰς τὸ κτιστὸν καὶ ἄκτιστον διαιρουμένην. καὶ τῆς μὲν ἀκτίστου φύσεως τὴν ἁγίαν τριάδα εἶναι διωρισάμεθα, τῆς δὲ κτιστῆς πάντα ὅσα μετ' ἐκείνην λέγεταί τε καὶ ἔστι καὶ

20 cf p 105 § 270

VLBCT 2 καὶ διαστάσεις BCT: καὶ om L v καὶ ἰδιότητας V 3 συμπληροῦται VL: πληροῦται BCT v 6 καὶ ante ἡ om V 7 τὸ alt om V 10 οὐδὲ scripsi: οὔτε libri v 11 δόλον BCT v: λόγον VL διακαλύψαι VC: διακύψαι LB διανακαλύψαι T v (cf Demosth XI 13) 15 πρὸς σύστασιν ἔτι collocat V 16 προσδιορισθέντων LBCT: προδιορισθέντων V προσδιορθωθέντων v 17 μαρτυρία ἐστὶ V 21 πρῶτον post κατάληψιν add VC 24 χορηγίας V θεωρούμενον: χειραγωγούμενον BCT 27 εἶναι om BT

296 ὀνομάζεται. ἵνα τοίνυν μὴ ἀναπόδεικτος ἡμῶν ὁ διορισμὸς
ὑπάρχῃ, ἀλλὰ ταῖς τῆς γραφῆς μαρτυρίαις ἠσφαλισμένος,
τοῦτο τοῖς εἰρημένοις προσθήσομεν, ὅτι οὐκ ἐκτίσθη ὁ
κύριος, ἀλλ' ἐκ τοῦ πατρὸς ἐξῆλθε, καθὼς αὐτὸς ὁ θεὸς
λόγος αὐτοπροσώπως ἐν τῷ εὐαγγελίῳ μαρτύρεται, κατὰ
τὸν ἄρρητον ἐκεῖνον καὶ ἀνεκδιήγητον τῆς γεννήσεως ἤτοι
297 τῆς ἐξόδου τρόπον. καὶ τίς ἂν εὑρεθείη μάρτυς ἀληθέ-
στερος τῆς τοῦ κυρίου φωνῆς, διὰ παντὸς τοῦ εὐαγγελίου
πατέρα καὶ οὐχὶ κτίστην ἑαυτοῦ τὸν ἀληθινὸν ἀποκαλοῦντος
πατέρα καὶ οὐχὶ ἔργον θεοῦ ἀλλ' υἱὸν θεοῦ ἑαυτὸν ὀνο-
298 μάζοντος; ὥσπερ γὰρ τὴν κατὰ σάρκα πρὸς τὸ ἀνθρώ-
πινον κοινωνίαν σημαίνων υἱὸν ἀνθρώπου τὸ φαινόμενον προσ-
ηγόρευσε, δεικνὺς τὴν κατὰ φύσιν τῆς σαρκὸς αὐτοῦ
πρὸς τὴν ἐξ ἧς ἐλήφθη συγγένειαν, οὕτω καὶ τὴν πρὸς
τὸν τῶν ὅλων θεὸν ἀληθῆ καὶ γνησίαν σχέσιν τῇ
προσηγορίᾳ τοῦ υἱοῦ διασημαίνει, τὸ κατὰ τὴν φύσιν
οἰκεῖον διὰ τῆς τοῦ υἱοῦ φωνῆς ἐνδεικνύμενος. κἄν τινες ἐκ
τῆς παροιμιώδους ῥήσεως τὰ ἐν παραβολῇ σκοτεινῶς δι'
344 M. αἰνίγματος εἰρημένα ψιλὰ καὶ ἀνερμήνευτα πρὸς ἀνατροπὴν
τῆς ἀληθείας προφέροντες τὴν τοῦ ἐκτίσθαι φωνήν, ἣν ἐκ
προσώπου τῆς σοφίας ὁ παροιμιαστὴς ἐποιήσατο, εἰς συνη-
γορίαν τῆς τοῦ δόγματος αὐτῶν διαστροφῆς προχειρίζωνται,
λέγοντες τὸ Κύριος ἔκτισέ με ὁμολογίαν εἶναι τοῦ ἐκτίσθαι
τὸν κύριον, ὡς αὐτοῦ τοῦ μονογενοῦς διὰ τῆς φωνῆς ταύτης
τὸ τοιοῦτον οὐκ ἀρνουμένου, ἡμῖν οὐ προσεκτέον τῷ λόγῳ.
299 οὐδὲ γὰρ τοῦ πάντως δεῖν εἰς τὸν κύριον ἀναγαγεῖν τὸν
λόγον τοῦτον τὰς ἀποδείξεις παρέχονται· οὔτε τοῦ ῥητοῦ

5 Joh 8,42. 16,27. 17,8   23 Prov 8,22 cf ad hunc locum quae uberius postea lib III tom 1 exposuit

VLBCT 3 προσθήσωμεν L   4 αὐτὸς om v   7 καὶ ante τίς om VL δ' post τίς supplevit postea L^2 12 ἀνθρώπον V: ποῦ ceteri v   προσηγόρευε v   18 παραβολῇ: προβολῇ V παρα L sed προ in rasura L^2 22 αὐτῶν om BT   προχειρίζονται V   26 ἀνάᵃγειν v   27 οὔτε ante τοῦ ῥητοῦ: οὐδὲ v

τὴν διάνοιαν ἐκ τῆς τῶν Ἑβραίων γραφῆς εἰς τοῦτο τὸ
σημαινόμενον φέρουσαν ἐπιδεῖξαι δυνήσονται, τῶν λοιπῶν
ἑρμηνέων τὸ Ἐκτήσατο καὶ Κατέστησεν ἀντὶ τοῦ Ἔκτισεν
ἐκδεδωκότων, οὔτε δέ, εἰ οὕτως εἶχεν ἡ λέξις ἐν τῇ πρω-
τοτύπῳ γραφῇ, πρόχειρος ἂν ἦν καὶ σαφὴς ἡ διάνοια, τῆς
παροιμιακῆς διδασκαλίας οὐ προδήλως, ἀλλὰ μετ' ἐπικρύ-
ψεως τὸν τῶν λεγομένων σκοπὸν ἐνδεικνυμένης διὰ πλαγίας
ἐμφάσεως, ὡς ἐκ τῆς περὶ τὸν τόπον τοῦτον συμφράσεως
τῶν εἰρημένων πάρεστιν ἐπιγνῶναι τοῦ λόγου τὸ δυσθεώ-
ρητον, ἐν οἷς φησιν Ἡνίκα ἀφώριζε τὸν ἑαυτοῦ θρόνον
300 ἐπ' ἀνέμων καὶ ὅσα τοιαῦτα. τίς γὰρ θεοῦ θρόνος, εἴτε
ὑλικός τις οὗτος εἴτε νοητός; καὶ τίνες ἄνεμοι, πότερον οἱ
συνήθεις οὗτοι καὶ γνώριμοι, οὓς ἐκ τῶν ἀτμῶν τε καὶ τῶν
ἀναθυμιάσεων συνίστασθαι λέγουσιν οἱ ταῦτα φυσιολογοῦντες,
εἴτε καθ' ἕτερον τρόπον ὑπονοούμενοι, ὃν οὐκ ἐπιγινώσκει ἡ
ἀνθρωπίνη συνήθεια, οὕς φησιν ἀντὶ βάσεως τῷ θρόνῳ
γίνεσθαι; καὶ τίς καθέδρα τοῦ ἀσωμάτου καὶ ἀπεριγράπτου
καὶ ἀσχηματίστου θεοῦ; καὶ πάντα τὰ τοιαῦτα τίς ἂν ἐκ
τῆς συνήθους τῶν ῥημάτων τούτων σημασίας κατανοήσειε;
301 Δῆλον οὖν ὅτι αἰνίγματα τινῶν ἐστι τὰ λεγόμενα βα-
θυτέραν τινὰ τῆς προχείρου διανοίας τὴν θεωρίαν ἐμπεριέ-
χοντα, ὡς ἐκ τούτων μηδενὶ λόγῳ τὴν τοῦ ἐκτίσθαι τὸν
κύριον ὑπόνοιαν ἐκ τῆς γραφῆς ταύτης τοῖς εὐσεβῶς λογι-
ζομένοις ἐγγίνεσθαι, τοῖς πεπαιδευμένοις μάλιστα διὰ τῆς
τοῦ εὐαγγελιστοῦ μεγαλοφωνίας τοῦ πάντα τὰ γεγονότα δι'

10 Prov 8,27   14 οἱ φυσιολογοῦντες] cf ad lib III t. 1 § 38 sq ubi ex commentario quodam ad Platonis Timaeum ea aetate usitatissimo talia hauriri docui   25 sq Joh 1,3 cum Col 1,16-17 coniungit

VLBCT 1 τῶν ante ἑβραίων om VL   τὸ post τοῦτο om LBC 3 ἑρμηνέων inter ε et ω rasura unius litterae V   ἐκτήσατο: ἐκτίσατο VCT   5 σαφὴς: αὐτῆς V   7 ἐνδεικνυμένης: ἐνδεικνυμένη V 8 verba inde ab ὡς usque ad συμφράσεως om V   τοῦτον om BCT 10 ἀφώριζε: ἠφώριζε V   12 τις οὗτος om v   16 ἀντὶ βάσεως: ἀντιβάσεως VL ἀντὶ β. distinxit L   19 τῆς: τοῦ V   25 εὐαγγελιστοῦ v ex coniectura cf p 116,3 διορισάμενος et 116,10 εὐαγγελιστοῦ: εὐαγγελίου VLBCT   25 τοῦ ante πάντα VL: τὸ BCT v

302 αὐτοῦ γεγενῆσθαι καὶ ἐν αὐτῷ συνεστάναι λέγοντος. Πάντα
γάρ, φησί, δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ
ἓν ὃ γέγονεν ἐν αὐτῷ, οὐκ ἂν τοῦτο διορισάμενος, εἰ καὶ
αὐτὸν τὸν κύριον ἓν τῶν γεγονότων ἐπίστευε. πῶς γὰρ δι'
ἐκείνου πάντα γίνεται καὶ ἐν αὐτῷ τὰ γεγονότα τὴν σύστασιν
ἔχει, εἰ μὴ πάντως ἄλλο τι παρὰ τὴν τῶν πεποιημένων
φύσιν ὁ ποιητὴς ὑπάρχων οὐχ ἑαυτὸν ἀλλὰ τὴν κτίσιν
303 εἰργάσατο; εἰ γὰρ ἡ κτίσις δι' ἐκείνου, αὐτὸς δὲ ὁ κύριος
οὐ δι' ἑαυτοῦ, ἄλλο τι πάντως καὶ οὐχὶ κτίσις ἐστί. τοῦ
τοίνυν εὐαγγελιστοῦ φήσαντος, ὅτι Πάντα δι' αὐτοῦ ἐγένετο
καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν ἐν αὐτῷ, καὶ
φανερῶς διὰ τούτων ἐνδειξαμένου, ὅτι καὶ ἐν τῷ υἱῷ τὰ
γενόμενα γέγονε καὶ οὐ δι' ἑτέρου τινὸς τὴν εἰς τὸ γενέσθαι
304 πάροδον ἔσχεν, ἐκδέχεται τὸν λόγον τοῦτον ὁ Παῦλος, καὶ
345 M. ὡς ἂν μηδεμίαν καταλίποι πρόφασιν τῇ βλασφήμῳ φωνῇ
τοῦ συναριθμεῖν τοῖς γεγονόσι καὶ τὴν τοῦ πνεύματος
φύσιν, ὑπ' ἀριθμὸν ἄγει τὰ πάντα, ποῖά ἐστι ταῦτα ἃ
πάντα τῷ εὐαγγελιστῇ καὶ εἴρηται καὶ νενόηται· καὶ κα-
θάπερ ὁ μέγας Δαβὶδ πάντα ὑποτετάχθαι τῷ ἀνθρώπῳ
φήσας καὶ τὸ κατ' εἶδος προσέθηκε, ποῖα ἦν τὰ ἐμπερι-
λαμβανόμενα τῇ τῶν πάντων φωνῇ, τουτέστι τὰ χερσαῖα
καὶ τὰ ἔνυδρα καὶ τὰ ἐναέρια ζῷα, οὕτω καὶ ὁ τῶν θείων
δογμάτων ἐξηγητὴς ὁ ἀπόστολος πάντα ἐν αὐτῷ γεγε-

14 Col 1, 16 19 Ps 8,8

VLBCT 2-3 οὐδὲν V 3 ἐν αὐτῷ LCT v om VB ex correctione, cum Gregorius verba ἐν αὐτῷ iam ad Joh 1,4 pertinentia, ut saepius factum erst, ad 1,3 traxerit 5 τὰ ante πάντα addunt v 7 οὐχὶ αὐτὸν BT κτίσιν primum ι in rasura L (erat ῆ) 9 ἑαυτοῦ: ἐκείνου L 9-10 τοῦ τοίνυν: τοῦτο τοίνυν C 10 εὐαγγελιστοῦ: εὐαγγελίου CT (cf ad p 115,25) 11 οὐδὲ ἓν ὃ: οὐδὲν V ὃ γέγονεν post γέγονεν add V ex coniectura ut vid verba ἐν αὐτῷ erasit V cf ad 3) 12 ἐνδειξαμένου διὰ τούτων collocat V καὶ post ὅτι om BCT 14 post ἔσχεν falso sententiam divellunt et ab ἐκδέχεται novum capitulum incipiunt vulgo 15 καταλίποι prim ι in rasura L 15-16 τοῦ post φωνῇ VBCT v: τὸ L 17 ὑπαριθμῶν L 20-21 ἐμπρολαμβανόμενα L περὶ corr L^2 23 Παῦλος post ἀπόστολος add B v

νῆσθαι εἰπὼν περιγράφει τοῖς ὑπαριθμηθεῖσι τῶν πάν-
305 των τὴν ἔννοιαν. Ὁρατὰ γάρ, φησί, καὶ ἀόρατα, διὰ μὲν
τῶν ὁρατῶν καθὼς εἴρηται τὰ τῇ αἰσθήσει γνώριμα πε-
ριλαβὼν τῷ ὀνόματι, διὰ δὲ τῶν ἀοράτων τὴν τῶν νοητῶν
ἐνδειξάμενος φύσιν.
306 Ἀλλὰ περὶ μὲν τῶν αἰσθητῶν οὐδὲν ἐδεήθη λεπτομερῶς
διεξελθεῖν ἐπ' ὀνόματος. οὐδεὶς γὰρ οὕτω σάρκινος οὐδὲ
κτηνώδης ἐστίν, ὡς ἐν τοῖς αἰσθητοῖς ὑποπτεῦσαι καὶ τὸ
πνεῦμα τὸ ἅγιον εἶναι. τῶν δὲ ἀοράτων μνησθείς, ἐπειδὴ
νοερὰ καὶ ἀσώματος καὶ ἡ τοῦ πνεύματος φύσις ἐστίν, ὡς
ἂν μή τις ἐν τούτοις ὑπονοήσειεν ὑφεστάναι τὸ πνεῦμα διὰ
τὴν κατὰ τὸ ἀόρατον κοινωνίαν, ἐναργεστάτην ποιεῖται τὴν
διαίρεσιν τῶν τε διὰ τῆς κτίσεως γεγονότων καὶ τῆς ὑπὲρ
307 τὴν κτίσιν οὐσίας. τὰ μὲν γὰρ κτισθέντα καταριθμεῖται
τῷ λόγῳ, θρόνους τινὰς καὶ ἀρχὰς καὶ ἐξουσίας καὶ κυριό-
τητας λέγων, γενικοῖς τισι καὶ περιληπτικοῖς ὀνόμασι τῶν
ἀοράτων τούτων δυνάμεων τὴν διδασκαλίαν ποιούμενος, τὰ
δὲ ὑπὲρ τὴν κτίσιν δι' αὐτῆς τῆς σιωπῆς ἀποχωρίζει τοῦ
308 ἀριθμοῦ τῶν κτισθέντων. ὥσπερ ἂν εἴ τις προσταχθεὶς
ἐπὶ στρατοπέδου τὰς λεπτομερεῖς καὶ ὑποβεβηκυίας ἀρχὰς
εἰπεῖν ἐπ' ὀνόματος, ταξιάρχας καὶ λοχαγοὺς ἑκατοντάρ-
χους τε καὶ χιλιάρχους καὶ εἴ τινες ἄλλαι τῶν κατὰ μέρος
δυναστειῶν ὠνομασμέναι εἰσὶ πάσας διεξελθὼν τῷ λόγῳ τῆς
πάντων κρατούσης καὶ πᾶσαν τὴν δύναμιν διεπούσης ἀρχῆς
μηδεμίαν μνήμην ποιήσαιτο, οὐ δι' ὑπεροψίαν ἢ λήθην τὴν
ὑπερέχουσαν ἀρχὴν σιωπήσας, ἀλλ' ὅτι μόνον τὴν ὑπήκοόν
τε καὶ ὑποχείριον τάξιν διεξελθεῖν ἢ προσταχθεὶς ἢ προ-
θέμενος ὑβρίσειεν ἂν ἐν τῇ τῶν ὑποκειμένων μνήμῃ συμ-

VL(A)BCT 1 ἀριθμηθεῖσι BCT v 4 τὴν νοητὴν VL 5 ἐνδειξάμενος: αἰνιξάμενος BT v 6 ἐδέησε v 8 καὶ om VL 10 καὶ ante ἡ τοῦ om BCT 12 *inde a verbis* κατὰ τὸ ἀόρατον *incipit* A 13 τῆς ante κτίσεως om VLBT 14 κτισθέντα: σθέντα L κτι addidit L^2 21-22 ἑκατοντάρχους sed prius -άρχας scriptum fuisse videtur V 22 τινες: τις L τινες corr L^2 23 εἰσὶν ὠνομασμέναι V 24 πᾶσαν: πάντων C 26 ὅτι om VL 28 οὐχ ὕβρισεν ἂν V ὕβρισεν ἂν C προκειμένων V 28-p. 118, 1 μνήμῃ μὴ συμπεριλαβὼν V unde illud 28 οὐχ redundavisse apparet

περιλαβὼν καὶ τὴν ἄρχουσαν, οὕτω μοι δοκεῖ καὶ ὁ ἐν
παραδείσῳ μυηθεὶς τὰ ἀπόρρητα Παῦλος, ὅτε ἁρπαγεὶς ἐν
αὐτῷ ἐγένετο καὶ τῶν ὑπερουρανίων θαυμάτων θεατὴς
καταστὰς τὰ ἀνθρώποις ἄρρητα καὶ εἶδε καὶ ἤκουσεν,
οὗτος τὰ ἐν τῷ κυρίῳ κτισθέντα διδάξαι προθέμενος, ἐπειδὴ
διεξῆλθε ταῦτα τῷ λόγῳ, περιληπτικαῖς τισι φωναῖς δια-
δραμὼν τὴν ἀγγελικὴν καὶ ὑπερκόσμιον δύναμιν, ἔστησεν ἐν
τοῖς μνημονευθεῖσι τὸν λόγον, τῶν ὑπὲρ τὴν κτίσιν οὐδὲν
εἰς τὸν κατάλογον τῶν κτιστῶν καθελκύσας, ὡς ἐκ τούτου
σαφῶς ἄνω τῆς κτίσεως εἶναι τὸ πνεῦμα τὸ ἅγιον ὑπὸ τῆς
γραφῆς μαρτυρεῖσθαι.

348 M. Εἰ δέ τις ἀνατρέποι τὸν λόγον ὡς οὐδὲ τῶν Χερουβὶμ
309 ὑπὸ τοῦ Παύλου μνημονευθέντων, ἀλλὰ καὶ τούτων μετὰ
τοῦ πνεύματος ἐν τῇ τῶν γεγονότων ἀπαριθμήσει σιωπη-
θέντων, καὶ κατασκευάζοι διὰ τοῦ παραλελεῖφθαι τὴν περὶ
τούτων μνήμην ἢ καὶ ταῦτα ὑπὲρ τὴν κτίσιν ἢ μηδὲ τὸ
πνεῦμα δεῖν οἴεσθαι, λογισάσθω τὴν τῶν ἀπηριθμημένων
διάνοιαν, καὶ τὸ παρεῖσθαι δοκοῦν, ὅτι μὴ ἐξ ὀνόματος ἡ
310 μνήμη γέγονεν, ἐν τοῖς εἰρημένοις κατόψεται· ὁ γὰρ θρό-
νων μνημονεύσας ἄλλῳ ὀνόματι τὰ Χερουβὶμ διηγήσατο,
τῇ γνωριμωτέρᾳ προσηγορίᾳ τὸ ἀσαφὲς τῆς Ἑβραΐδος ἐξ-
ελληνίσας. καθῆσθαι γὰρ τὸν θεὸν ἐπὶ τῶν Χερουβὶμ
ἀκούσας τὰς δυνάμεις ταύτας τοῦ ἐπ' αὐτῶν καθεζομένου
θρόνους ὠνόμασεν· ὡσαύτως δὲ καὶ τὰ παρὰ τῷ Ἠσαΐᾳ
Σεραφίμ, παρ' ὧν ἐναργῶς τὸ τῆς τριάδος ἐκηρύχθη μυ-
στήριον, ὅτε τὴν „ἅγιος" φωνὴν τὸ ἐν ἑκάστῳ τῶν ἐν τῇ
τριάδι κάλλος καταπλησσόμενα θαυμαστικῶς ἐξεβόησαν,
περιείληπται τῷ καταλόγῳ τῶν μνημονευθέντων, τῇ προση-

2-3 II Cor 12,2 sq   3 θεατὴς] Pauli ἔκστασιν neoplatonice intellegit   19-20 Col 1, 16   22 Jes 37, 16   26 Jes 6, 3

VLABCT 5 ἐν om v   οὗτος corruptum: οὕτως (scil sicut viderat) temptat Wilamowitz, immo αὐτὸς conicio cf p 117, 19 et 27   12 ἀνατρέπει V   15 καὶ om VL   κατασκευάζει VL   21 τῇ γὰρ γνωριμωτέρα prius L sed γὰρ erasum   23 ταύτας om V   24 θρόνον V

γορίᾳ τῶν „δυνάμεων" ὀνομασθέντα παρά τε τοῦ μεγάλου
311 Παύλου καὶ πρὸ τούτου παρὰ τοῦ προφήτου Δαβίδ. ὁ μὲν
γάρ φησιν· Εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ,
ποιοῦντες τὸ θέλημα αὐτοῦ, ὁ δὲ Ἠσαΐας ἀντὶ τοῦ „εὐλο-
γεῖτε" εἰπεῖν τὰ ῥήματα τῆς εὐλογίας ἀνέγραψεν· Ἅγιος
ἅγιος ἅγιος κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης
αὐτοῦ. τὸ δὲ λειτουργοὺς εἶναι τὰς δυνάμεις ταύτας <τὰς>
ποιούσας τὸ θέλημα τοῦ θεοῦ διὰ τῆς γενομένης ἁμαρτιῶν
καθάρσεως κατὰ τὸ βούλημα τοῦ ἀποστείλαντος παρ' ἑνὸς
τῶν Σεραφὶμ ὑπηνίξατο· αὕτη γάρ ἐστιν ἡ λειτουργία τῶν
πνευμάτων τούτων, ἐπὶ σωτηρίᾳ τῶν σῳζομένων ἐκπέμπεσθαι.
312 ἅ μοι δοκεῖ κατανοήσας ὁ θεῖος ἀπόστολος καὶ μαθὼν
ὅτι τὸ αὐτὸ πρᾶγμα παρὰ τῶν δύο προφητῶν ἐν διαφόροις
ταῖς προσηγορίαις σημαίνεται, τὴν γνωριμωτάτην τῶν φωνῶν
ἐκλεξάμενος „δυνάμεις" τὰ Σεραφὶμ ὠνόμασεν, ὡς μηδεμίαν
ἀφορμὴν τοῖς συκοφάνταις καταλελεῖφθαι τοῦ κατὰ τὸ ἴσον
τούτων ἑνὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν τῷ καταλόγῳ τῆς
313 κτίσεως περιειλῆφθαι λέγειν. τὰ μὲν γὰρ εἴρηται, καθὼς
ἀποδέδεικται, τὰ δὲ σεσιώπηται, καθὼς ἔστιν ἐκ τῶν κατει-
λεγμένων ὑπὸ τοῦ Παύλου μαθεῖν τοῦ πᾶσαν μὲν πλη-
θυντικῶς ἀπαριθμησαμένου τὴν κτίσιν, τῶν δὲ μοναδικῶς
λεγομένων οὐδενὸς μνημονεύσαντος. τοῦτο γὰρ ἴδιον τῆς
ἁγίας τριάδος ἐστί, τὸ μοναχῶς ἐξαγγέλλεσθαι, εἷς πατὴρ
καὶ εἷς υἱὸς καὶ ἓν πνεῦμα ἅγιον. τὰ δὲ εἰρημένα πάντα
ἐν πλήθει κατείλεκται, ἀρχαὶ καὶ ἐξουσίαι καὶ κυριότητες
καὶ δυνάμεις, ὡς μηδεμίαν παρέχειν ὑπόνοιαν τοῦ ἓν τού-
των εἶναι καὶ τὸ πνεῦμα τὸ ἅγιον.

3 Ps 102,21   10 Jes 6,7

VLABCT 3 post αὐτοῦ add λειτουργοὶ αὐτοῦ VA   7 τὰς supplevi   18 περιειλῆφθαι correxi: παραλελεῖφθαι VLA v περιλελῆφθαι BCT cf p 118, 28   19 τὸ δὲ L   21 ἀναριθμησαμένου VA v (sed cf p 118, 14 et 17)   22 οὐδενὸς μνημονεύσαντος VLCT: ἑνικῶς μνημονεύσαντος AB v ἑνικῶς, quae fuisse videtur varia lectio ad μοναχῶς suprascripta, in versum superiorem aberravit (ad οὐδενὸς cf 19 τὰ δὲ σεσιώπηται et p 120,1 σιωπᾷ τὰ ἀπόρρητα)   24 τὸ ante ἅγιον addidit L   27 τὸ ante ἅγιον om v

314 Ἀλλὰ Παῦλος μὲν σιωπᾷ τὰ ἀπόρρητα, καὶ καλῶς
ποιεῖ· οἶδε γὰρ ἀκούειν μὲν ἐν παραδείσῳ τὰ ἄρρητα ῥή-
349 M. ματα, φείδεσθαι δὲ τῆς τῶν ἀνεκφωνήτων ἐξαγορεύσεως,
ὅταν περὶ τῶν κατωτέρων ποιῆται τὸν λόγον. οἱ δὲ τῆς
ἀληθείας πολέμιοι καὶ τῶν ἀρρήτων κατατολμῶσι, τὸ μεγα-
λεῖον τοῦ πνεύματος τῷ ταπεινῷ τῆς κτίσεως καθυβρίζοντες,
ὥσπερ οὐκ ἀκηκοότες, ὅτι αὐτὸς ὁ θεὸς λόγος παραδιδοὺς
τοῖς μαθηταῖς τὸ τῆς θεογνωσίας μυστήριον ἐν ὀνόματι
πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος τοῖς ἀναγεννωμένοις
εἶπε τὴν ζωὴν καὶ συμπληροῦσθαι καὶ παραγίνεσθαι, καὶ
διὰ τοῦ συντάξαι τῷ πατρὶ καὶ ἑαυτῷ τῆς περὶ τὴν
315 κτίσιν ὑπονοίας τὸ πνεῦμα ἐχώρισεν· ὡς ἐξ ἀμφοτέρων
εὐσεβῆ καὶ πρέπουσαν γίνεσθαι περὶ αὐτοῦ τὴν ὑπόληψιν,
Παύλου μὲν ἐν τῇ μνήμῃ τῆς κτίσεως τὴν τοῦ πνεύματος
φύσιν ἀποσιγήσαντος, τοῦ δὲ κυρίου ἐν τῇ μνήμῃ τῆς ζωο-
ποιοῦ δυνάμεως τὸ πνεῦμα τὸ ἅγιον τῷ πατρὶ καὶ ἑαυτῷ
συναρμόσαντος. οὕτως ἡμῖν ὁ λόγος διὰ τῆς ἁγίας γραφῆς
ὁδηγούμενος ὑπερτίθησι μὲν τῆς κτίσεως τόν τε μονογενῆ
καὶ τὸ πνεῦμα τὸ ἅγιον, κατὰ δὲ τὴν τοῦ σωτῆρος ἀπό-
φασιν ἐν τῇ μακαρίᾳ τε καὶ ζωοποιῷ καὶ ἀκτίστῳ φύσει
316 θεωρεῖν διὰ πίστεως ὑποτίθεται· ὥστε τὸ ἄνω τῆς κτίσεως
καὶ τῆς πρωτευούσης καὶ διὰ πάντων τελείας φύσεως
εἶναι πιστευόμενον μηδενὶ τρόπῳ τὸν τῆς ἐλαττώσεως
παραδέχεσθαι λόγον, κἂν ὁ τῆς αἱρέσεως προστάτης περι-
κόπτῃ τὸ ἀόριστον, ἐν τῇ τοῦ ἐλάττονος ἐπινοίᾳ οἱονεὶ δια-

8 Matth 28; 19

VLABCT 1 ἄρρητα V 4 ποιεῖται LT prius, sed postea ποιῆται corr T 9 τοῦ ter addidit ante πατρὸς et υἱοῦ et ἁγίου πνεύματος V 10 καὶ ante συμπληροῦσθαι om A v 11 διὰ τοῦ συντάξαι VL: διὰ τοῦτο συντάξας ABCT v 14 Παύλου erasum V verba ab ἐν τῇ μνήμῃ usque ad 15 κυρίου om V 14-15 τὴν τοῦ πνεύματος φύσιν L (V deficit) BCT: τὴν μνήμην A v 15 τοῦ κυρίου δὲ BCT 18 τε om v 23 ἓν πιστευόμενον LABCT v ἐμπιστευόμενον V εἶναι πιστευόμενον correxi 24-25 *inde a verbo* περικόπτῃ *deficit omnino cod B phototypia* περικόπτει C v

κολοβῶν καὶ συστέλλων τῆς θείας οὐσίας τὴν τελειότητα
ἐν τῷ τὸ μεῖζον καὶ τὸ ἔλαττον αὐτοῖς ἐνθεωρεῖν διορί-
ζεσθαι.
317 Τί τοίνυν προστίθησι τῇ ἀκολουθίᾳ τῶν εἰρημένων, σκο-
πήσωμεν. μετὰ τὸ εἰπεῖν· ἐξ ἀνάγκης ἐλάττους τε
καὶ μείζους τὰς οὐσίας οἴεσθαι δεῖν εἶναι καὶ
τὰς μὲν πρώτην ἐπέχειν τάξιν κατά τινα μεγέ-
θους καὶ ἀξίας διαφορὰν ἐν τῇ προτιμήσει τε-
ταγμένας, τὰς δὲ ἐν δευτέροις διὰ τὸ ὑποβε-
βηκὸς τῆς φύσεώς τε καὶ τῆς ἀξίας ἀπεωσμένας,
318 ταῦτα ἐπήγαγεν· πρὸς τοσαύτην φησὶν ἐξικνεῖσθαι
διαφοράν, πρὸς ὁπόσην ἂν ἐξικνῆται τὰ ἔργα, ἐπεὶ
μηδὲ θεμιτὸν τὴν αὐτὴν ἐνέργειαν εἰπεῖν, καθ' ἣν
τοὺς ἀγγέλους ἐποίησεν ἢ τοὺς ἀστέρας καὶ τὸν
οὐρανὸν ἢ τὸν ἄνθρωπον, ἀλλ' ὅσῳ τὰ ἔργα τῶν
ἔργων πρεσβύτερα καὶ τιμιώτερα, τοσούτῳ καὶ
τὴν ἐνέργειαν τῆς ἐνεργείας ἀναβεβηκέναι φαίη
ἄν τις περὶ τούτου διαβεβαιούμενος, ἅτε δὴ τῶν
αὐτῶν ἐνεργειῶν τὴν ταυτότητα τῶν ἔργων ἀποτε-
λουσῶν καὶ τῶν παρηλλαγμένων ἔργων παρηλλαγ-
μένας καὶ τὰς ἐνεργείας ἐμφαινόντων.
319 Ταῦτα τοίνυν ἐγὼ μὲν ὑπολαμβάνω μηδὲ αὐτὸν τὸν
συγγραφέα δύνασθαι ἂν εὐπόρως εἰπεῖν ὅ τι ποτὲ νοήσας
συνέγραψεν· οὕτως ἀνατεθόλωται τῇ ἰλύϊ τῆς φράσεως ἡ
διάνοια τῶν εἰρημένων, ὡς μηδένα ἂν διϊδεῖν εὐκόλως ἐν

VLACT(S) 6 μείζονας T 7 post πρώτην rasura duarum litterarum L 9 ἐν δευτέροις VLCT: δευτέραν A δευτέρας v 10 ἀπεωσμένας ACT v: ἀπεω///μένας L σ add supra rasuram L κατηγμένας V (fons huius classis videtur legi vix potuisse) 12-13 *ab* ἐπεὶ μηδὲ θεμιτὸν *incipit S* 15 ἢ τὸν ἄνθρωπον om L 16 καὶ τιμιώτερα om VL 18 τις ἂν S τούτου VLAS v: τούτων CT 18 περὶ τούτου διαβεβαιούμενος: εὐσεβῶς δια-νοούμενος (om περὶ τούτου) citat p 72, 25 et 124,22 dubito an εὐσεβῶς περὶ τούτου διανοούμενος scripserit Eunomius; etiam verba εὐλόγως διανοούμενον p 122,18 neglegenter citari apparet 19-20 ἀποτιλουσῶν S 21 καὶ om VLCTS ἀπεμφαινόντων V

τῷ βορβόρῳ τῆς ἑρμηνείας δυνηθῆναι τὸ βούλημα. τὸ
γὰρ πρὸς τοσαύτην ἐξικνεῖσθαι διαφοράν, πρὸς
ὁπόσην ἂν ἐξικνῆται τὰ ἔργα, Λοξίου τινὸς κατὰ
352 M. τὸν ἔξωθεν μῦθον ὑπονοήσειεν ἄν τις εἶναι πρὸς ἀπάτην
320 τῶν ἀκουόντων φληναφουμένου. εἰ δὲ χρὴ τοῖς προεξη-
τασμένοις ἑπόμενον καὶ τῶν ἐνταῦθα αὐτῷ κατασκευαζο-
μένων στοχάζεσθαι, τοῦτό ἐστιν ὃ ἐνδείκνυται, ὅτι ὅση τῶν
ἔργων ἡ πρὸς ἄλληλά ἐστι παραλλαγή, τοσαύτη καὶ τῶν
ἐνεργειῶν ἡ διαφορὰ πρὸς ἀλλήλας ἐπιγνωσθήσεται. περὶ
τίνων τοίνυν ἔργων ἐνταῦθα ποιεῖται τὸν λόγον, οὐκ ἔστιν
321 ἐκ τῶν εἰρημένων εὑρεῖν. εἰ μὲν γὰρ περὶ τῶν ἐν τῇ
κτίσει λέγει θεωρουμένων, οὐκ οἶδα ποίαν ἀκολουθίαν ἔχει
ταῦτα πρὸς τὰ προάγοντα. τῆς γὰρ ζητήσεως περὶ πατρὸς
καὶ υἱοῦ καὶ ἁγίου πνεύματος οὔσης, τίνα καιρὸν ἔχει γῆν
καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ καὶ τὰς τῶν ζῴων διαφορὰς
φυσιολογεῖν καὶ διεξιέναι τῷ λόγῳ καὶ διαγράφειν ἔργα
ἔργων πρεσβύτερα καὶ τιμιώτερα καὶ ἐνέρ-
γειαν ἐνεργείας ἀναβεβηκέναι λέγειν εὐλόγως
322 διανοούμενον; εἰ δὲ τὸν μονογενῆ υἱὸν καὶ τὸ ἅγιον
πνεῦμα προσαγορεύει τὰ ἔργα, τίνας λέγει πάλιν τὰς τῶν
ἐνεργειῶν διαφοράς, δι' ὧν τὰ ἔργα ταῦτα ἀποτελεῖται;
τίνες δὲ κἀκεῖναι αὖ αἱ ἐνέργειαι αἱ τὰς ἐνεργείας ἀνα-
323 βαίνουσαι; οὔτε γὰρ τὴν ἀνάβασιν ἣν ἀναβαίνει, καθώς
φησιν αὐτός, ἡ ἐνέργεια τὴν ἐνέργειαν, ὅ τι ποτὲ νοεῖ διε-
σάφησεν, οὔτε τι περὶ τῆς φύσεως τῶν ἐνεργειῶν διελέχθη,
ἀλλ' ἐπ' οὐδενὸς μέχρι τοῦ νῦν βέβηκεν ὁ λόγος αὐτῷ,
οὔτε τὸ οὐσιωδῶς ὑφεστάναι κατασκευάζων οὔτε θελή-
ματός τινα κίνησιν ἀνυπόστατον ἐνδεικνύμενος. δι' ὅλου
γὰρ ἡ διάνοια τῶν εἰρημένων ἐπὶ τοῦ μέσου τῶν ὑπολή-

VLACTS 1 ἑρμηνείας: μαρτυρίας V 5 φληναφουμένου: φληναφούμενα V φληναφωμένου L genitivum poscit clausula 7 στοχάσασθαι A v 9 πρὸς ἀλλήλας ἐπιγνωσθήσεται om V 19 διανοούμενον A v: διανοούμενος VLCTS cf ad 121,18 22 κἀκεῖναι αὖται αἱ ἐνέργειαι VLACT v κἀκεῖναι αἱ ἐνέργειαι αὐταὶ S, correxi 23-24 καθὼς αὐτός φησιν VL

ψεων ῥιφεῖσα πρὸς ἑκατέρας τὰς ὑπονοίας μεταρριπίζεται.
324 Προστίθησι δὲ ὅτι οὐδὲ θέμις τὴν αὐτὴν ἐνέρ-
γειαν εἰπεῖν καθ' ἣν τοὺς ἀγγέλους ἐποίησεν ἢ
τοὺς ἀστέρας καὶ τὸν οὐρανὸν ἢ τὸν ἄνθρωπον.
πάλιν ταῦτα ἐκ ποίας ἀνάγκης ἢ ἀκολουθίας τοῖς εἰρημέ-
νοις ἐπήγαγεν ἢ τί μᾶλλον διὰ τούτων κατασκευάζεται τὸ
παρηλλάχθαι τὰς ἐνεργείας κατὰ τοσοῦτον ἀλλήλων, ὅση
καὶ τῶν ἔργων ἐστὶν ἡ πρὸς ἄλληλα διαφορά, τῷ μὴ τοῦ
αὐτοῦ τυγχάνειν ἔργα τὰ πάντα ἀλλ' ἕτερον ἐξ ἑτέρου γε-
325 γενῆσθαι κατασκευάζειν, ἐγὼ μὲν οὐ συνορῶ. οὐρανὸν γὰρ
καὶ ἄγγελον καὶ ἀστέρα καὶ ἄνθρωπον καὶ πάντα, ὅσα ἐστὶν
ἐν τῇ κτίσει νοούμενα, ἑνὸς ἔργα τὰ πάντα παρὰ τῆς γρα-
φῆς μεμαθήκαμεν· ὁ δὲ τοῦ δόγματος αὐτῶν κατασκευάζει
λόγος ὅτι οὐχ ἑνὸς ἔργα ὁ υἱὸς καὶ τὸ πνεῦμα, ἀλλ' ὁ μὲν
υἱὸς τῆς παρεπομένης τῇ πρώτῃ οὐσίᾳ ἐνεργείας ἔργον ἐστί,
326 τὸ δὲ πνεῦμα τοῦ ἔργου πάλιν ἕτερον ἔργον. τίνα οὖν κοι-
νωνίαν ἔχει πρὸς τὴν ἐκείνου κατασκευὴν οὐρανὸς καὶ ἄν-
θρωπος ἄγγελός τε καὶ ἀστὴρ νῦν συμπαραληφθέντες ὑπὸ
τοῦ λόγου, αὐτὸς εἰπάτω, ἢ εἴ τις τῆς ἀπορρήτου σοφίας
αὐτοῦ κοινωνός ἐστιν. ἐν τούτοις γὰρ τὸ μὲν ἀσεβὲς φα-
νερῶς τοῖς εἰρημένοις ἐμφαίνεται, ἡ δὲ τῆς ἀσεβείας κατα-
327 σκευὴ καὶ πρὸς ἑαυτήν ἐστιν ἀσύμφωνος. τὸ μὲν γὰρ οἴεσθαι
τοσαύτην ἐν τῇ ἁγίᾳ τριάδι διαφορὰν θεωρεῖσθαι, ὅσην
ἔστι κατανοῆσαι οὐρανοῦ τοῦ πᾶσαν τὴν κτίσιν ἐμπεριειλη-

12 cf Joh 1,3 sim

VLACTS 1 ὑπονοίας: ἐπινοίας VS μεταριπίζεται V μεταρραπίζεται T 2 θεμιστὴν L θέμις τὴν distinxit L^2 τὴν ἐνέργειαν αὐτὴν V 6 post κατασκευάζεται sententiam continuavit Oehler τῷ παρηλλάχθαι S et Oehler falso, haec enim evincenda sunt iis quae sequuntur 8 τῷ μὴ κτλ 8 τὸ μὴ VL 9 ἕτερον: ἕτερα v 11 ἀστέρα καὶ ἄγγελον V 15 τῇ ante πρώτῃ om L add L^2 17 ἐκείνου correxi: ἐκεῖ 19 post εἰπάτω ras trium litt L 20 αὐτῶ S 21 ἐμφαίνεται: ἐμφέρεται A v 23 ὅσην L: ὅσον VACTS v 24 τὴν κτίσιν: τὴν αἰσθητὴν φύσιν VL videlicet scholium pro var lect receperunt (cf ad p 124,1)

φότος πρὸς τὸν ἕνα τῷ ἀριθμῷ ἄνθρωπον ἢ ἀγγέλου πρὸς
353 M. τὸν ἐν οὐρανῷ φαινόμενον ἀστέρα, φανερὰν τὴν ἀσέβειαν
ἔχει· τὸ δὲ συντεταγμένον τῶν νοημάτων καὶ ἀκόλουθον
τῆς περὶ αὐτὸ τοῦτο κατασκευῆς, τοῦτό φημι μήτε ἐμοὶ
μήτε αὐτῷ τάχα τῷ πατρὶ τῆς βλασφημίας εὐσύνοπτον
328 εἶναι. εἰ μὲν γὰρ τοιαῦτα περὶ τῆς κτίσεως ἐλογίζετο, ὅτι
οὐρανὸς μὲν ἔργον ἐστὶν ὑπερκειμένης τινὸς ἐνεργείας, τῆς
δὲ τῷ οὐρανῷ παρεπομένης ἐνεργείας ἀποτέλεσμα ὁ ἀστήρ,
ἐκείνου δὲ ὁ ἄγγελος καὶ τούτου ὁ ἄνθρωπος, εἶχεν ἄν
τι ὁ λόγος αὐτῷ, διὰ τῆς τῶν ὁμοίων παραθέσεως κατα-
σκευάζων τὸ δόγμα. εἰ δὲ ταῦτα μὲν δι᾽ ἑνὸς γεγενῆ-
σθαι καὶ αὐτὸς συντίθεται (εἴ γε μὴ παντελῶς τῇ τῶν
γραφῶν φωνῇ διαμάχεται), τῆς δὲ ἐκείνων κατασκευῆς
ἕτερόν τινα διορίζεται τρόπον, τίς ἡ κοινωνία τῶν ἐπα-
χθέντων πρὸς τὰ προάγοντα;
329 Δεδόσθω δέ τι καὶ κοινὸν ἔχειν ταῦτα πρὸς ἀπόδειξιν
τῆς τῶν οὐσιῶν παραλλαγῆς (ταῦτα γὰρ ἐπιθυμεῖ δι᾽ ὧν
λέγει κατασκευάζειν), ἀλλὰ τὰ ἐφεξῆς πῶς συνήρτησε τοῖς
εἰρημένοις, ἀκούσωμεν. ὅσῳ, φησί, τὰ ἔργα τῶν
ἔργων πρεσβύτερα καὶ τιμιώτερα, τοσούτῳ
καὶ τὴν ἐνέργειαν τῆς ἐνεργείας ἀναβεβηκέναι
φαίη ἄν τις εὐσεβῶς διανοούμενος. ταῦτα γὰρ
εἰ μὲν περὶ τῶν αἰσθητῶν λέγει, πόρρω τῶν προτεθέντων
330 ἐστὶν ὁ λόγος. τίς γὰρ ἡ ἀνάγκη τὸν περὶ τῶν δογμάτων
εἰπεῖν τι προθέμενον περὶ τῆς τάξεως τῶν ἐν τῇ κοσμο-
γονίᾳ δημιουργηθέντων φιλοσοφεῖν καὶ ὑψηλοτέρας καὶ

VLACTS 1 ἀγγέλου πρὸς τὸν T: ἀγγέλου ὅ ἐστι νοερὰ καὶ ἀσώματος φύσις πρὸς τὸν VL (sed ἄγγελον L²) ἀγγέλου ὅς ἐστι νοερὰ φύσις καὶ ἀσώματος πρὸς τὸν S ἀγγέλου πρὸς om AC v angeli mentionem fieri oportet (cf 123, 3, 11, 18; 124, 9), sed verba ὅ ἐστιν — φύσις a margine intrusa sunt (cf ad p 123,24) 4 αὐτὸ τοῦτο: τούτων V αὐτὸν τοῦτο L αὐτὸ effecit L² 5 τὸ πατρὶ v 8 ἐστιν post ἀποτέλεσμα add V 9 ὁ ante ἄγγελος om v 10 τι ACTS v: τινα VL πρόφασιν sscr L² e coniectura 11 κατασκευάζειν S 15 ἐπάγοντα S 20 καὶ τιμιώτερα om T 22 φαίη: δώη S γὰρ: μὲν v 23 λέγεται S πόρρω: ἐναντίος S προτεθέντων: προτέρων V 25-26 κοσμογενία V κοσμογενεία T

ὑφειμένας τὰς ἐνεργείας τοῦ κτίσαντος πρὸς λόγον τῆς
ἑκάστου τῶν γεγονότων πηλικότητος εἶναι διϊσχυρίζεσθαι;
331 εἰ δὲ περὶ ἐκείνων ποιεῖται τὸν λόγον καὶ ἔργα ἔργων
πρεσβύτερά τε καὶ τιμιώτερα λέγει τὰ διαπλασθέντα
παρ᾽ αὐτοῦ νῦν ἐν τῷ δόγματι, τουτέστι τὸν υἱὸν καὶ τὸ
πνεῦμα τὸ ἅγιον, τάχα καλῶς ἔχει σιωπῇ μᾶλλον τὸν λόγον
βδελύξασθαι ἢ διὰ τοῦ συμπλακῆναι τὸ δοκεῖν αὐτὸν καὶ
λόγον εἶναι κατασκευάσαι. πῶς γὰρ ἂν εὑρεθείη τὸ προτι-
332 μότερον ἐν οἷς οὐκ ἔστι τὸ ἀτιμότερον; εἰ μὲν γὰρ μέχρι
τούτου τῇ πρὸς τὸ κακὸν εὐκολίᾳ καὶ ἑτοιμότητι πρόεισιν,
ὥστε τοῦ ἀτιμοτέρου καὶ τὴν φωνὴν καὶ τὴν ἔννοιαν ἐπί
τινος τῶν ἐν τῇ ἁγίᾳ τριάδι πιστευομένων ὑπονοῆσαι, βῦσαι
τὰ ὦτα προσήκει καὶ φυγεῖν ὅση δύναμις ἀπὸ ἀκοῆς πο-
νηρᾶς, ὡς ἂν μὴ κοινωνία τις τοῦ μιάσματος γένοιτο τῷ
ἀκούοντι, καθάπερ ἐξ ἀγγείου τινὸς πλήρους ἀκαθαρσίας
εἰς τὴν τοῦ ἀκούοντος καρδίαν μεταχεομένου τοῦ λόγου.
333 Πῶς γὰρ ἄν τις ἐπὶ τῆς θείας τε καὶ τιμίας καὶ
ὑπερκειμένης φύσεως εἰπεῖν τι τοιοῦτο τολμήσειε, δι᾽ οὗ
τὸ ἀτιμότερον συγκριτικῶς ὑπὸ <τοῦ> λόγου κατασκευ-
άζεται; Ἵνα πάντες, φησί, τιμῶσι τὸν υἱόν, καθὼς τι-
μῶσι τὸν πατέρα. τῆς οὖν φωνῆς ταύτης τὸ ἴσον τῆς
τιμῆς νομοθετούσης (νόμος γάρ ἐστιν ἡ θεία φωνή) οὗτος
καὶ τὸν νόμον καὶ τὸν νομοθέτην αὐτὸν παραγράφεται καὶ
τῷ μὲν πλείονα, τῷ δὲ ἐλάττονα τὴν τιμὴν διανέμει, οὐκ
οἶδα ὅπως τὰ μέτρα τοῦ πλεονάζοντος τῆς τιμῆς ἐξευρίσκων.
356 M. ἐπὶ μὲν γὰρ τῆς ἀνθρωπίνης συνηθείας αἱ κατὰ τὰς ἀξίας
διαφοραὶ τὰς τιμὰς τοῖς κρατοῦσιν ὁρίζονται, ὡς μὴ ἐν
ὁμοίῳ καὶ ἴσῳ τῷ σχήματι τοὺς ὑποχειρίους βασιλεῦσί τε

12-13 Ps 57,5 et 111,7 20 Joh 5,23

VLACTS 2 πηλικότητος ο super τ scr sed ι post τ add L² 3 τῶν ἔργων V 5 καὶ ante τὸν υἱὸν add V 8-9 τὸ ante προτιμότερον om A v 10 πρόσεισιν V 12 διαπιστευομένων v 14 γένηται C 16 τῶν ἀκουόντων A v 17 τιμίας καὶ om A v 18 τοιοῦτον VLS 19 τοῦ om libri v add L² ex coniectura 27 ὁρίζουσιν VL 28 καὶ ἐν ἴσῳ VL ἐν a man pr postea additum vid L

προσιέναι καὶ ταῖς ὑποβεβηκυίαις ἀρχαῖς· ἀλλ' ἡ πλείων
τε καὶ ὑφειμένη τοῦ φόβου καὶ τῆς αἰδοῦς τῶν προσ-
ιόντων ἐπίδειξις τὸ ἐνδέον καὶ περιττεῦον τῆς τιμῆς ἐπὶ
τῶν τιμωμένων ἐνδείκνυται, καὶ τούτῳ μάλιστα τοὺς προ-
τιμοτέρους ἐν τῇ διαθέσει τῶν ὑποχειρίων ἔστιν εὑρεῖν,
ὅταν τις ὑπὲρ τοὺς πέλας φοβερὸς εἶναι μᾶλλον καὶ πλεί-
ονος τῆς αἰδοῦς ἢ κατὰ τοὺς λοιποὺς ἀξιοῦσθαι δοκῇ.
334 ἐπὶ δὲ τῆς θείας φύσεως διὰ τὸ πᾶσαν τὴν κατὰ τὸ
ἀγαθὸν τελειότητα συνεμφαίνεσθαι τῷ τοῦ θείου προσρή-
ματι οὐκ ἔστιν εὑρεῖν κατά γε τὴν ἡμετέραν διάνοιαν τὸν
τρόπον τῆς προτιμήσεως. ἐν οἷς γὰρ οὐ δυνάμεως, οὐ
δόξης, οὐ σοφίας, οὐ φιλανθρωπίας οὐδέ τινος ὅλως τῆς
κατὰ τὸ ἀγαθὸν ἐννοίας πλεονασμὸς ἢ ἐλάττωσις ἐπινοεῖται,
ἀλλὰ πάντα, ὅσα ἔχει ὁ υἱὸς ἀγαθά, τοῦ πατρός ἐστι καὶ
τὰ τοῦ πατρὸς πάντα ἐν τῷ υἱῷ καθορᾶται, πῶς διατε-
θέντες τὸ πλέον τῆς τιμῆς ἐπὶ τοῦ πατρὸς ἐνδειξόμεθα;
335 εἰ βασιλικὴν δύναμιν καὶ ἀξίαν τῇ διανοίᾳ λάβοιμεν, βασι-
λεὺς ὁ υἱός· ἐὰν κριτὴν ἐννοήσωμεν, ἡ κρίσις πᾶσα τοῦ
υἱοῦ ἐστιν· ἐὰν τὸ μεγαλεῖον τῆς κτίσεως τῇ ψυχῇ δεξώ-
μεθα, πάντα δι' αὐτοῦ ἐγένετο· ἐὰν τῆς ἡμετέρας ζωῆς
τὴν αἰτίαν κατανοήσωμεν, οἴδαμεν τὴν ἀληθῆ ζωὴν τὴν
μέχρι τῆς φύσεως ἡμῶν καταβᾶσαν· κἂν <τὴν> ἐκ τοῦ
σκότους μετάστασιν καταμάθωμεν, οὐκ ἀγνοοῦμεν τὸ φῶς
τὸ ἀληθινόν, δι' οὗ τοῦ σκότους ἠλλοτριώθημεν· εἰ δέ τινι
τίμιον ἡ σοφία δοκεῖ, Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ
σοφία.
336 Πρὸς τοίνυν τὰ τοιαῦτα καὶ τηλικαῦτα τοῦ Χριστοῦ
θαύματα τῆς ψυχῆς ἡμῶν κατὰ τὸ εἰκός, ὅσον χωρεῖ,
τοσοῦτον θαυμαστικῶς διατιθεμένης, τίς ὑπερβολὴ τιμῆς

17 I Tim 1, 17; 6, 15 18 Joh 5, 22 20 Joh 1,3 21 Joh 6,33 23 Joh 1,9 25 I Cor 1,24

VLACTS 1 προιέναι VL 2 τῶν om VL add L^2 6 ὑπὲρ τούς: ὑπὸ τοῦ A ὑπὸ τοῦ τοῖς CT ὑπὲρ τ.τ. v φοβερῶς A v 7 δοκεῖ v 15 τὰ om VL 17 κατ' ἀξίαν v 20 ἐάν: ἂν ACTS ut vid 22 τὴν addidi 23 μετάθεσιν CT 27 καὶ τηλικαῦτα om T τοῦ om V 29 θαυμαστικῶς καὶ τιμητικῶς V διατιθέμενος CT

καταληφθῆναι δυνήσεται τῆς τῷ πατρὶ μόνῳ κατ' ἐξαίρετον
337 προσαγομένης, ἧς ἀμοιρήσει πρεπόντως ὁ κύριος; αὐτὸ
γὰρ τοῦτο ἡ ἀνθρωπίνη πρὸς τὸ θεῖον τιμὴ κατὰ τὸν εἰ-
κότα νοῦν θεωρουμένη οὐδεμία τις ἄλλη ἐστὶν ἀλλ' ἢ ἀγα-
πητικὴ σχέσις καὶ ἡ τῶν προσόντων αὐτῷ ἀγαθῶν ὁμο-
λογία, καί μοι δοκεῖ τὸ οὕτω δεῖν τιμᾶσθαι τὸν υἱὸν
ὡς ὁ πατὴρ τιμᾶται, ἀντὶ τῆς ἀγάπης ὑπὸ τοῦ λόγου
τετάχθαι· ὁ γὰρ νόμος ἐν τῷ ἀγαπᾶν τὸν θεὸν ἐξ
ὅλης καρδίας καὶ δυνάμεως τὴν πρέπουσαν αὐτῷ τιμὴν
ἀπονέμειν κελεύει, καὶ ἐνταῦθα τὸ ἰσοστάσιον τῆς
ἀγάπης ὁ θεὸς λόγος νομοθετῶν οὕτω φησὶ δεῖν τιμᾶσθαι
338 τὸν υἱόν, ὡς ὁ πατὴρ τιμᾶται. τοῦτον τὸν τρόπον τῆς τι-
μῆς ἐπλήρου καὶ ὁ μέγας Δαβὶδ πρὸς τὸν κύριον ἔν τινι
προοιμίῳ τῆς ψαλμῳδίας ἀγαπᾶν ὁμολογῶν τὸν κύριον καὶ
διεξιὼν τὰ τῆς ἀγάπης αἴτια, ἰσχὺν καὶ κραταίωμα καὶ
καταφυγὴν καὶ ῥύστην καὶ θεὸν βοηθὸν καὶ ἐλπίδα καὶ
ὑπερασπιστὴν καὶ σωτηρίας κέρας καὶ ἀντιλήπτορα καὶ τὰ
339 τοιαῦτα καλῶν. εἰ μὲν οὖν οὐκ ἔστιν ὁ μονογενὴς [υἱὸς]
357 M. ταῦτα τοῖς ἀνθρώποις γινόμενος, ὑποστελλέσθω τὸ πλεο-
νάζον τῆς τιμῆς ἐπὶ τούτου κατὰ τὸν τῆς αἱρέσεως νόμον·
εἰ δὲ πάντα ταῦτα καὶ ὑπὲρ ταῦτα τὸν μονογενῆ θεὸν εἶναί
τε καὶ ὀνομάζεσθαι πεπιστεύκαμεν, κατὰ πᾶσαν ἀγαθοῦ
πράγματος καὶ νοήματος ἐπίνοιαν πρὸς τὸ μεγαλεῖον τῆς
ἐν τῷ πατρὶ ἀγαθότητος ἐξισαζόμενον, πῶς ἄν τις εὔλογον
εἶναι λέγοι ἢ μὴ ἀγαπᾶν τὸ τοιοῦτον ἢ ἀτιμάζειν τὸ ἀγα-
340 πώμενον; οὐ γὰρ ἂν εἴποι τις τὴν μὲν ἀγάπην δεῖν ἐξ
ὅλης γίνεσθαι τῆς καρδίας καὶ τῆς δυνάμεως, τὴν δὲ τιμὴν

6 Joh 5, 23 8-9 Marc 12,30 Luc 10,27 13-16 Ps 17, 1-3

VLACTS 1 μόνον V 4 νοῦν: νῦν L νῦν λόγον add ex coniectura ut vid L^2 ἀλλ' ἤ: ἀλλ' ἡ VL 4-5 ἀγαπητική τις σχέσις S 9 πρέ-που L σαν postea add L^2 11 ὁ θεὸς λόγος correxi: ὃν ὁ λόγος VLACT v corruptum, ὃ ὁ λόγος male politum S δεῖ VL δεῖν corr L^2 17-18 τὰ τοιαῦτα: ταῦτα V 18 υἱὸς om V ὁ υἱὸς CT v.l. seclusi 19 γενόμενος v 19-20 τί πλεονάζον VL τὸ corr L^2 20 νόμον: τρόπον V 24 ἐξισαζόμενος VL 25-26 τὸν ἀγαπώ μενον V 27 γίνεσθαι: ἔρχεσθαι v

ἐξ ἡμισείας. εἰ οὖν ἐξ ὅλης τῆς καρδίας τιμᾶται ὁ υἱὸς
διὰ τοῦ πᾶσαν ἀνατιθέναι αὐτῷ τὴν ἀγάπην, τίς ἐπίνοια τὸ
πλέον τῆς τιμῆς ἐξευρήσει, ὅλης τῆς καρδίας, ὅσον χωρεῖ,
τοσοῦτον αὐτῷ διὰ τῆς ἀγάπης τὸ τῆς τιμῆς μέτρον δωρο-
φορούσης; ὥστε μάταιος ἐπὶ τῶν κατὰ φύσιν τιμίων ὁ τὸ
προτιμότερον δογματίζων καὶ διὰ τῆς τοιαύτης συγκρίσεως
τοῦ ἀτιμοτέρου παριστῶν τὴν ἔννοιαν.
341 Ἀλλὰ καὶ τὸ πρεσβύτερον ἐπὶ μὲν τῆς αἰσθητῆς
κτίσεως λέγειν ἀληθές ἐστι· τῆς γὰρ ἀκολουθίας τῶν ἔρ-
γων ἐν τῇ τάξει τῶν ἡμερῶν δεικνυμένης, εἴποι τις ἂν τῆς
τοῦ ἀνθρώπου κατασκευῆς τοσόνδε προγενέστερον εἶναι τὸν
οὐρανόν, καὶ διαμετρήσει τὸν διὰ μέσου χρόνον τῷ τῶν
ἡμερῶν διαστήματι· ἐπὶ δὲ τῆς πρώτης φύσεως τῆς πᾶσαν
μὲν χρονικὴν ἔννοιαν ὑπεραιρούσης πᾶσαν δ' ἐπίνοιαν κατα-
ληπτικὴν ἀπολειπούσης τὸ μέν τι προάγειν ἐν τοῖς κατὰ
τὸν χρόνον πρεσβείοις τὸ δὲ ἐφυστερίζειν οἴεσθαι τῆς νῦν
342 ἀναφανείσης σοφίας ἐστίν. ὁ γὰρ πρεσβύτερον τὸν
πατέρα τῆς τοῦ μονογενοῦς ὑποστάσεως ἀποφαινόμενος οὐδὲν
ἄλλο ἢ νεώτερον τῶν διὰ τοῦ υἱοῦ γενομένων αὐτὸν τὸν
υἱὸν ἀποφαίνεται, εἴπερ ἀληθὲς πάντας αἰῶνας καὶ πᾶν
διάστημα χρονικὸν μετὰ τὸν υἱὸν καὶ διὰ τοῦ υἱοῦ γεγε-
343 νῆσθαι λέγειν. καὶ ἔτι πρὸς τούτοις, ὅπερ καὶ μᾶλλον
ἀπελέγχει τὴν ἀτοπίαν τοῦ δόγματος, οὐ μόνον τῷ υἱῷ
κατασκευασθήσεται χρονική τις ἡ ἀρχὴ τῆς ὑπάρξεως ἐκ
τοῦ τοιούτου λόγου, ἀλλ' οὐδὲ τοῦ πατρὸς ἐκ τῆς τοιαύτης
ἀκολουθίας φείσονται τὸ μὴ οὐχὶ κἀκεῖνον ἀπὸ χρόνου τὴν
ἀρχὴν ἐσχηκέναι κατασκευάσαι. εἰ γάρ τι σημεῖον ὑπέρ-
κειται γνωριστικὸν τῆς τοῦ υἱοῦ γεννήσεως, ἐκεῖνο δηλονότι
καὶ τῷ πατρὶ τὴν ἀρχὴν ὁρίσει τῆς ὑποστάσεως.
344 Σαφηνείας δὲ χάριν οὐκ ἄκαιρον ἴσως φιλοπονώτερον

VLACTS 2 τὴν om v 3 ὅλως S 5 τιμῶν VL τὸ om VL 8 αἰσθητῆς om ACTS v 11 τόσον γε S 14 ἔννοιαν om T 15 μέντοι A 24 ἡ om S 25-26 τῆς ἀκολουθίας ταύτης VL 26 οὐχὶ om S 26-27 τὴν ἀρχὴν om S 28 γνωριστὸν V γνωστικὸν L

ἐξετάσαι τὸν λόγον. ὁ πρεσβυτέραν τῆς τοῦ υἱοῦ ζωῆς τὴν
τοῦ πατρὸς δογματίζων διαστήματί τινι τὸν μονογενῆ τοῦ ἐπὶ
πάντων θεοῦ πάντως διΐστησι· τοῦτο δὲ ἢ ἄπειρόν τι ὑπο-
θήσεται τὸ διὰ μέσου διάστημα ἤ τισι πέρασι καὶ σημείοις
345 φανεροῖς ὁριζόμενον. ἀλλ' ἄπειρον μὲν εἰπεῖν οὐκ ἐάσει ὁ
τῆς μεσότητος λόγος ἢ παντελῶς τὴν τοῦ πατρός τε καὶ
υἱοῦ ἔννοιαν διαγράψει τῷ λόγῳ, καὶ οὐδὲ μέσον αὐτὸ νοήσει,
ἕως ἂν ἄπειρον ᾖ πρὸς οὐθέτερον ὁριζόμενον, οὔτε ἐπὶ τὸ
ἄνω τῆς τοῦ πατρὸς ἐννοίας ἀποτεμνούσης τοῦ ἀπείρου τὴν
πρόοδον, οὔτε ἐπὶ τὸ κάτω τοῦ υἱοῦ τὴν ἀπειρίαν ἐκκό-
360 M. πτοντος. αὕτη γὰρ τοῦ ἀπείρου ἡ ἔννοια, τὸ πανταχόθεν
ἐκκεχύσθαι τῇ φύσει καὶ μηδενὶ πέρατι μηδαμόθεν περι-
346 λαμβάνεσθαι. οὐκοῦν ἵνα παγία καὶ ἀμετάθετος διαμένῃ περί
τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἡ τοῦ εἶναι ὑπόληψις, οὐδεμίαν
ἕξει χώραν ἄπειρον ἐννοεῖν τὸ διάστημα, ἀλλὰ πεπερασμένῳ
τινὶ κατὰ πᾶσαν ἀνάγκην τὸν μονογενῆ τοῦ πατρὸς διαστήσου-
σι. τοῦτο οὖν ἐστιν ὅ φημι, ὅτι ὁ λόγος οὗτος οὐκ ἐξ ἀϊδίου
εἶναι τὸν ἐπὶ πάντων θεόν, ἀλλ' ἀπό τινος ὡρισμένου ση-
347 μείου τὴν ἀρχὴν ἐσχηκέναι κατασκευάσει. ὃ δὲ λέγω,
τοιοῦτόν ἐστι· λέξω δὲ διὰ τῶν γνωρίμων ὑποδειγμάτων σα-
φηνίζων τὸ νόημα, ὡς ἂν γένοιτο διὰ τῶν φαινομένων κατα-
φανὲς ἡμῖν τὸ ἀγνοούμενον. πέμπτῃ μετὰ τὸν οὐρανὸν
ἡμέρᾳ γεγενῆσθαι τὸν ἄνθρωπον λέγοντες ἐκ τῆς Μωϋσέως
γραφῆς συγκατεσκευάσαμεν τῷ λόγῳ τούτῳ κατὰ τὸ σιω-
πώμενον τὸ πρὸ τοῦ ἀριθμοῦ τῶν ἡμερῶν τούτων μηδὲ τὸν
οὐρανὸν εἶναι· οὕτω τὸ μετά τι γενόμενον διὰ τοῦ πρὸ
ἑαυτοῦ διαστήματος ὁρίζει καὶ τὴν τοῦ προϋπονοουμένου
348 ὑπόστασιν. εἰ δὲ οὐχ ἱκανῶς τῷ ὑποδείγματι τὸν λόγον

23 Gen 1,6 et 1,26

VLACTS 1 πρεσβύτερον S 3 πάντως om ACTS v 5 φανερῶς S 7 τοῦ ante υἱοῦ addidit, sed postea expunxit A τῷ λόγῳ om V 10 πρόσοδον v ἐπὶ τῶ κάτω L sed τὸ effecit L² 11 ante αὕτη littera erasa V 13 μένῃ VL 14 τε om A v 17 ἐξ ἀιδίου τὸν πάντων εἶναι θεὸν V 19 παρασκευάσει A v λέγει L 20 λέξω: εἴπω V 26 οὕτω: οὔτε CT 27 προνοουμένου V

ἐσαφηνίσαμεν, δυνατόν ἐστι καὶ δι' ἑτέρων τὸ νοηθὲν παρα-
στῆσαι. τὸν διὰ Μωϋσέως δοθέντα νόμον τετρακοσίοις ἔτεσι
καὶ τριάκοντα τῆς τοῦ Ἀβραὰμ ἐπαγγελίας μεταγενέστερον
λέγοντες, ἐὰν ἀπὸ τοῦ νόμου τὸν κατόπιν χρόνον δι' ἀνα-
λύσεως τῷ λογισμῷ παροδεύσαντες εἰς τὸ πέρας τῶν ἠριθ-
μημένων φθάσωμεν ἐτῶν, σαφῶς καταλαμβάνομεν, ὅτι πρὸ
τοῦ χρόνου τούτου ἡ τοῦ θεοῦ ἐπαγγελία οὔπω ἦν. καὶ
πολλὰ τοιαῦτα λέγειν ἔστιν, οἷς τὸ καθ' ἕκαστον ἐπεξιέναι
ὡς ὀχληρὸν παραιτήσομαι.

349 Κατὰ τοίνυν τὴν ἀκολουθίαν τῶν ἐν τοῖς ὑποδείγμασιν
εἰρημένων καὶ τὸν προκείμενον ἐξετάσωμεν λόγον. ἦν δὲ
οὗτος κατὰ τὴν τῶν ἐναντίων ὑπόληψιν τὸ πρεσβύτερον
καὶ νεώτερον ἐπὶ τῆς τοῦ πατρός τε καὶ τοῦ υἱοῦ καὶ τοῦ
350 ἁγίου πνεύματος ὑποστάσεως ἕτερον ἑτέρου λέγειν εἶναι. οὐκ-
οῦν ἐπειδὰν τὴν τοῦ υἱοῦ γέννησιν διαβάντες, καθὼς ὑφη-
γεῖται ὁ τῆς αἱρέσεως λόγος, ἔπειτα προσβῶμεν τῷ διὰ
μέσου διαστήματι ὅπερ ἡ ματαία τῶν ταῦτα δογματιζόντων
οἴησις ὑποτίθεται τῶν μεταξὺ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς
εἶναί τι λογιζομένων, ἐὰν εἰς τὸ ἄκρον ἐκεῖνο σημεῖον
φθάσωμεν, ᾧ τὸ διάστημα τὸ μεταξὺ περιγράφουσιν, ἐκεῖ
καὶ τοῦ θεοῦ τῶν ὅλων ἱσταμένην ἐπὶ τὸ ἄνω τὴν ζωὴν
εὑρίσκομεν, ὡς ἐξ ἀνάγκης κατασκευάζεσθαι τὸ πρὸ ἐκείνου
μηδὲ τὸν ἀεὶ ὄντα θεὸν πιστεύειν εἶναι.

351 Εἰ δὲ ἀμφιβάλλεις ἔτι, πάλιν τὸν λόγον δι' ὑποδειγμά-
των κατανοήσωμεν. ὥσπερ γὰρ ἐπὶ δύο κανόνων, ὅταν ὁ
μὲν ἐλάττων ὁ δὲ ὑπερέχων ᾖ, τὰς βάσεις ἀμφοτέρων ἰσώ-
σαντες ἐν ταῖς κορυφαῖς τὸ πλεονάζον ἐπιγινώσκομεν (παρα-

2 Gal 3,17 Exod 12,41

VLACTS 2 ἔτεσι τετρακοσίοις S 6 φθάσομεν V καταλαμβάνω-μεν L sed ex ω corr ο L^2 10 τοίνυν post ἀκολουθίαν collocat S 11 λόγον om S 13 τοῦ ante υἱοῦ et ἁγίου om L 16 προβῶμεν T 18 μεταξὺ τῆς υἱοῦ V τοῦ πατρὸς καὶ τοῦ υἱοῦ S 19 τι post εἶναί om V 21 ἱσταμένην ante τὴν ζωὴν collocat V 23 τὸν om A v 25-26 οἱ μὲν L corr L^2 26 ᾖ: εἰ L 26-27 ἰσώσαντες L ἰσώσαι-μεν corr L^2 (propter 26 εἰ) 27 πλεονάζων L corr L^2 ἐπιγινώσκο-μεν: εὑρίσκομεν V

θέντες γὰρ τὸ τοῦ ἐλάττονος πέρας ἀπ' ἐκείνου τὸ περισσὸν
τοῦ ὑπερέχοντος ἔγνωμεν, καὶ ὅσον ἐνδεῖ τῷ βραχυτέρῳ,
διά τινος μέτρου τὸ λεῖπον πρὸς τὸ πέρας τοῦ μείζονος
361 M. παρισώσαντες εὕρομεν, εἴτε πῆχυς εἴτε ὁποσονοῦν ἐστιν,
352 ὅσον τοῦ ἐλάττονος τὸ μεῖζον ἀφέστηκεν) οὕτως εἴ τίς ἐστι
κατὰ τὸν τῶν ὑπεναντίων λόγον τῆς τοῦ πατρὸς ζωῆς ὡς
πρὸς τὴν ζωὴν τοῦ υἱοῦ πλεονασμός, ἔν τινι ῥητῷ διαστή-
ματι πάντως ἐστί, τοῦτο δὲ οὐκ εἰς τὸ ἐφεξῆς περισσεύειν
ἀναγκαίως συνθήσονται. ἀθάνατον γὰρ ὁμοίως ἑκάτερον
εἶναι καὶ οἱ ἐχθροὶ τῆς ἀληθείας ὁμολογοῦσιν, ἀλλ' εἰς τὸ
ἄνω τὴν διαφορὰν ταύτην ἐπινοοῦσιν, οὐκ ἰσοῦντες πρὸς τὸν
πατέρα τοῦ υἱοῦ τὴν ζωήν, ἀλλ' ὑπερεκτείνοντες τὴν περὶ
353 τοῦ πατρὸς ἔννοιαν τῷ τῆς ζωῆς διαστήματι. ἐπεὶ οὖν
πᾶν διάστημα διπλοῖς πέρασι περιγράφεται πάντως, ἀνάγκη
πᾶσα καὶ τοῦ ἐπινοηθέντος παρ' αὐτῶν διαστήματος τὰ δύο
σημεῖα τὰ γνωριστικὰ τῶν περάτων καταληφθῆναι. ὥσπερ
οὖν τὸ ἓν μέρος κατ' αὐτοὺς ἀπὸ τῆς γεννήσεως τοῦ μονο-
γενοῦς τὴν ἀρχὴν ἔχει, οὕτω καὶ τὸ ἕτερον ἄκρον ἑτέρῳ
τινὶ πέρατι πάντως συναπολήξει, ᾧ συναπαρτιζόμενον τὸ
διάστημα ἑαυτὸ περιγράφει. τί οὖν ἐστι τοῦτο τὸ πέρας,
αὐτοὶ εἰπάτωσαν, εἴπερ τοῖς ἰδίοις λόγοις ἀκολουθεῖν οὐκ
αἰσχύνονται.

354 Ἀλλ' οὐδεμίαν ἀμφιβολίαν ὁ λόγος ἔχει, ὅτι οὐδὲν
εὑρήσουσι τὸ ἕτερον πέρας ἐπὶ τὸ ἕτερον μέρος τοῦ ἀνα-
πλασθέντος παρ' αὐτῶν διαστήματος, εἰ μή τινα πάντως
ἀρχὴν ὑποθοῖντο τῆς τοῦ ἀγεννήτου <ζωῆς> ἀφ' ἧς τὸ

VLACTS 2 ὑπερέχοντος L sed ὑπερ in rasura corr L^2 4 εὕραμεν VL ὁποσωνοῦν V 5 ἐλάττονος L -ονος effecit L^2 τὸ add L^2 11 οὐκ ἰσοῦντες: . . οῦντες L οὐκ ἰσο . . addidit L^2 12 ἐκτείνοντες A v 14 πᾶν om v 16 γνωριστηκὰ L 19 ὃ T 20 ἑαυτῷ VLCTS ἑαυτὸ A v si ex coniectura, recte. intervallum finem nisi haberet, infinitum esset, quare fine se ipsum circumscribit vel (ut p 132, 24) sibi finem circumscribit 23 ὅτι οὐδὲ v 24 πέρας correxi: μέρος libri v (cf 18 et praecipue 14-16 sq) ἐπὶ τὸ ἕτερον μέρος om S 26 ὑπόθοιντο S τῆς om A v ζωῆς supplevi

μέσον ὡς πρὸς τὴν τοῦ υἱοῦ γέννησιν τῷ λόγῳ διαλαμβά-
355 νουσι. τοῦτο οὖν ἐστιν ὃ λέγομεν, ὅτι ὁ μεταγενέστερον
τὸν υἱὸν ἔν τινι διαστηματικῇ παρατάσει τῆς τοῦ πατρὸς
ζωῆς λέγων ὡρισμένην δώσει καὶ τῷ πατρὶ τὴν ἀρχὴν τῆς
ὑπάρξεως, τῷ ἐπινοηθέντι κατὰ τὸ μέσον διαστήματι συμ-
περιγραφομένην· καὶ οὕτως αὐτοῖς εὑρεθήσεται ἡ πολυ-
θρύλλητος τοῦ πατρὸς ,,ἀγεννησία'' διὰ τῆς τοιαύτης κατα-
σκευῆς ὑπ' αὐτῶν τῶν προμάχων τῆς ,,ἀγεννησίας'' ἐκ-
κλεπτομένη, ὡς τὸν ἀγέννητον θεὸν μὴ ἀεὶ εἶναι λέγειν,
ἀλλ' ἀπό τινος ὡρισμένης ἀρχῆς τοῦ εἶναι τὴν ἀρχὴν
356 ἐσχηκέναι κατασκευάζειν. ὁ γὰρ ἀρχὴν τοῦ εἶναι ἔχων
ἄναρχος οὐκ ἔστιν. εἰ δὲ παντὶ τρόπῳ τὸ ἄναρχον τοῦ
πατρὸς ὁμολογεῖσθαι προσήκει, μηδὲ τῆς τοῦ υἱοῦ ζωῆς
ὡρισμένον τι πολυπραγμονείσθω σημεῖον, ἀφ' οὗ τοῦ εἶναι
ἀρξάμενος τῆς εἰς τὸ ἐπέκεινα τοῦ σημείου ζωῆς ἀποτέ-
μνεται· ἀλλ' ἀρκεῖ κατὰ μόνον τὸν τῆς αἰτίας λόγον προ-
επινοεῖν τοῦ υἱοῦ τὸν πατέρα, καὶ μὴ κεχωρισμένην καὶ
ἰδιάζουσάν ποτε τοῦ πατρὸς τὴν ζωὴν πρὸ τῆς τοῦ υἱοῦ
γεννήσεως, ἵνα μὴ συνεισέλθῃ τῇ ὑπολήψει ταύτῃ διαστη-
ματικόν τι νόημα πρὸ τῆς τοῦ υἱοῦ ἀναδείξεως τῇ ζωῇ τοῦ
γεγεννηκότος παραμετρούμενον, ᾧ κατ' ἀνάγκην ἀκολου-
θήσει τὸ καὶ τοῦ πατρὸς ἀρχήν τινα τῆς ζωῆς ὑποθέσθαι,
καθ' ἣν τὸ ἀναπλασθὲν πρὸ τοῦ υἱοῦ διάστημα προϊὸν
ἐπὶ τὸ ἄνω στήσεται, συμπεριγράφον αὐτῷ τῆς προεπινοη-
357 θείσης τοῦ πατρὸς ζωῆς τὴν ἀρχήν. ἀλλὰ <δεῖ> τὸ ,,ἐξ
αὐτοῦ'' ὁμολογοῦντας, κἂν τολμηρόν τι φαίνηται, καὶ τὸ
,,σὺν αὐτῷ'' μὴ ἀρνεῖσθαι, ὑπὸ τῆς ἐν ταῖς ὑποθήκαις
358 γραφῆς πρὸς τὴν ἔννοιαν ταύτην ὁδηγουμένους· ἀπαύγασμα

28 Sap 7,26

VLACTS 1 τοῦ ante υἱοῦ om V 3 παραστάσει CT 9 ὡς om v 10 ὡρισμένης om A v ἀρχὴν om CT add C^2 16 ἀρκεῖν S 17 τὸν πατέρα τοῦ υἱοῦ V 22 ὑπερθέσθαι CT v sed περ in ras T 23 καθ' ἥντινα S τοῦ υἱοῦ: αὐτοῦ AS v προϊὼν LT 24 αὐτῷ correxi: αὐτῷ 25 δεῖ addidi 26 τι: τινι S φαίνεται VL corr L^2

γὰρ ἀϊδίου φωτὸς παρὰ τῆς σοφίας ἀκούσαντες συνεπιθεω-
ροῦμεν τῇ ἀϊδιότητι τοῦ πρωτοτύπου φωτὸς τὸ ἀπαύγασμα,
364 M. καὶ τὸ αἴτιον τοῦ ἀπαυγάσματος ἐννοοῦντες καὶ τὸ πρε-
σβύτερον οὐ δεχόμενοι· καὶ οὕτως ἡμῖν ὁ τῆς εὐσεβείας
διασωθήσεται λόγος, οὔτε τῷ υἱῷ τῆς ζωῆς ἐπὶ τὸ ἄνω
λειπούσης οὔτε τῆς ἀϊδιότητος τοῦ πατρὸς ἐν τῷ ὁριστὴν
ὑποτίθεσθαι τοῦ υἱοῦ τὴν ἀρχὴν κολοβουμένης.
359 Ἀλλ' ἴσως ἐρεῖ τις τῶν ἐνισταμένων τῷ λόγῳ, ὅτι
καὶ ἡ κτίσις ὁμολογουμένην ἀρχὴν τοῦ εἶναι ἔχει, καὶ οὔτε
συνεπινοεῖται τῇ ἀϊδιότητι τοῦ δημιουργοῦ τὰ γενόμενα
οὔτε ἵστησι διὰ τῆς ἰδίας ἀρχῆς τὸ ἀόριστον τῆς θείας
ζωῆς, ὥσπερ ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ἐξεταζόμενος ὁ
λόγος τὴν ἀτοπίαν ὑπέδειξεν· ὡς ἀκόλουθον εἶναι διὰ τού-
του ἢ καὶ τὴν κτίσιν συναΐδιον τῷ θεῷ ἢ καὶ τὸν υἱὸν
μεταγενέστερον ἀφόβως λέγειν. ὁ γὰρ τοῦ διαστήματος λόγος
ὁμοίως ὑποδείξει τὸ ἄτοπον καὶ ἀπὸ τῆς κτίσεως ἐπὶ τὸν
360 πεποιηκότα διαμετρούμενος. ὁ δὲ τὸ τοιοῦτον ἀνθυποφέ-
ρων οὐκ ἀκριβῶς τάχα τῇ διανοίᾳ τοῦ δόγματος ἐπιστὰς
διὰ τῶν ἀλλοτρίων καὶ παντάπασιν ἀκοινωνήτων τοῦ προ-
κειμένου τὴν πρὸς τὰ εἰρημένα ποιεῖται μάχην. εἰ μὲν γάρ
τι τῶν ὑπὲρ τὴν κτίσιν δεικνύειν εἶχεν ἔν τινι διαστηματικῷ
σημείῳ τὴν ἀρχὴν ἔχον τῆς ὑποστάσεως, καὶ τοῦτο παρὰ
πάντων ὡμολογεῖτο δυνατὸν εἶναι, τὴν τοῦ διαστήματος ἔν-
νοιαν καὶ πρὸ τῆς κτίσεως ἐννοεῖν, εἶχεν ἂν ἴσως καιρὸν
τὴν ἐπὶ τοῦ μονογενοῦς ἀποδειχθεῖσαν διὰ τῶν εἰρημένων
ἀϊδιότητα τοῖς τοιούτοις ἐπιχειρήμασιν ἀναλύειν πειρᾶσθαι.
361 ἐπεὶ δὲ πάσαις ταῖς τῶν εὐσεβούντων ψήφοις ὁμολογεῖται,
ὅτι πάντων τῶν ὄντων τὸ μὲν διὰ τῆς κτίσεώς ἐστι, τὸ δὲ
πρὸ τῆς κτίσεως, καὶ ὅτι ἡ μὲν θεία φύσις ἄκτιστος εἶναι

VLACTS 1 ἰδίου VL 5 σωθήσεται CT 7 κολοβουμένην L sed ς suprascr L^2 9 τοῦ εἶναι om A v 14 καὶ prius om A v υἱόν: θεὸν ligatura scr L^2 corr 16 ἀποδείξει V 18 ἐφιστὰς ACTS v 20 τὰ om L in marg add L^2 22 ἔχων L corr L^2 23 ὡμολόγητο V ὡμολογεῖτο L sed -όγητο corr L^2 καὶ ante τὴν add A v 26 ἀναλύειν sed υ ex corr ut videtur V 28 διὰ κτίσεως S

πεπίστευται, ἐν ᾗ τὸ μὲν αἴτιον, τὸ δὲ ἐξ αἰτίου τὴν ὑπό-
στασιν ἀδιαστάτως ἔχειν ὁ τῆς εὐσεβείας διδάσκει λόγος,
τῆς δὲ κτίσεως ἐν παρατάσει τινὶ διαστηματικῇ θεωρου-
μένης, πᾶσα χρονικὴ τάξις καὶ ἀκολουθία τῶν γεγονότων
διὰ τῶν αἰώνων καταλαμβάνεται, ἡ δὲ προαιώνιος φύσις
ἐκπέφευγε τὰς κατὰ τὸ πρεσβύτερόν τε καὶ νεώτερον
διαφορὰς τῷ μὴ συνθεωρεῖσθαι τῇ θείᾳ τε καὶ μακαρίᾳ
362 ζωῇ, ὅσα περὶ τὴν κτίσιν ἰδίως ὁ λόγος βλέπει. ἡ μὲν
γὰρ κτίσις πᾶσα, καθὼς εἴρηται, κατά τινα τάξεως ἀκο-
λουθίαν γεγενημένη τῷ τῶν αἰώνων διαστήματι παραμε-
τρεῖται, καὶ εἴ τις ἀνίοι τῷ λόγῳ διὰ τῆς τῶν κτισθέντων
ἀκολουθίας ἐπὶ τὴν τῶν γεγονότων ἀρχήν, τῇ τῶν αἰώνων
363 καταβολῇ περιορίσει τὴν ζήτησιν. ἡ δὲ ὑπὲρ τὴν κτίσιν
οὐσία ἅτε παντὸς διαστηματικοῦ νοήματος κεχωρισμένη
πᾶσαν χρονικὴν ἀκολουθίαν ἐκπέφευγεν, ἀπ' οὐδεμιᾶς τοι-
αύτης ἀρχῆς εἰς οὐδὲν πέρας δι' οὐδενὸς τρόπου τοῦ κατά
364 τινα τάξιν εὑρισκομένου προϊοῦσα καὶ καταλήγουσα. τῷ
γὰρ διαβάντι τοὺς αἰῶνας καὶ πάντα τὰ ἐν αὐτοῖς γεγο-
νότα καθάπερ τι πέλαγος ἀχανὲς ἡ τῆς θείας φύσεως
365 M. θεωρία τοῖς λογισμοῖς προφανεῖσα οὐδὲν δώσει σημεῖον ἐφ'
ἑαυτῆς γνωριστικὸν ἀρχῆς τινος τῷ εἰς τὰ ἐπέκεινα δια-
τείνοντι τὴν καταληπτικὴν φαντασίαν· ὥστε τὸν πολυπραγ-
μονοῦντα τὸ τῶν αἰώνων πρεσβύτερον καὶ ἀνιόντα ἐπὶ τὴν
τῶν ὄντων ἀρχὴν ἐν μηδενὶ στῆναι τῷ λογισμῷ δυνηθῆναι,
ἀεὶ τοῦ ζητουμένου ὑπεκπροθέοντος καὶ μηδεμίαν στάσιν
τῇ πολυπραγμοσύνῃ τῆς διανοίας ὑποδεικνύοντος.

365 Σαφὴς δὲ ὁ λόγος καὶ τῷ μετρίως ἐπεσκεμμένῳ τὴν
τῶν ὄντων φύσιν, ὅτι τῇ μὲν θείᾳ τε καὶ μακαρίᾳ ζωῇ τὸ

VLACTS 1 ἐξ om T 3 παραστάσει ACT v 5 διὰ τῶν: ἐξ V διὰ om L 6 τε om A 8 ἀϊδίως CT 11 ἀνίῃ S 11-12 διὰ τῆς τῶν κτισθέντων ἀκολουθίας διὰ τῶν συνεστώτων ἐπὶ VLS var lect 12 τὴν om VL add L² 15 τῆς ante τοιαύτης add V 16 τοῦ add S om ceteri v 17 καὶ: ἢ v 20 γνωστικὸν L 24 ὄντων: αἰώνων V 25 ἀπεκπροθέοντος libri v, corr Wilamowitz σύστασιν L 26 ἀποδεικνύοντος V ὑποδεικνύντος A v 27 συνεσκεμμένῳ S

παραμετρούμενόν ἐστιν οὐδέν. οὐ γὰρ ἐκείνη ἐν χρόνῳ,
ἀλλ' ἐξ ἐκείνης ὁ χρόνος· ἡ δὲ κτίσις ἀπό τινος ὁμολο-
γουμένης πάντως ἀρχῆς ἐπὶ τὸν ἴδιον σκοπὸν διὰ τῶν χρο-
νικῶν διαστημάτων ὁδεύουσα φέρεται, ὡς ταύτης μὲν δυ-
νατὸν εἶναι, καθώς φησί που ὁ Σολομών, ἀρχὴν καὶ τέλος
καὶ μεσότητα διασκοπῆσαι, διὰ τῶν χρονικῶν τμημάτων
366 τὴν ἀκολουθίαν τῶν κατ' αὐτὴν σημειούμενον. ἡ δὲ ὑπερ-
κειμένη τε καὶ μακαρία ζωὴ ἅτε μηδενὸς συμπαροδεύοντος
αὐτῇ διαστήματος τὸ διαμετροῦν καὶ διαλαμβάνον οὐκ ἔχει.
τὰ μὲν γὰρ γεγονότα πάντα τοῖς ἰδίοις μέτροις ἐμπεριγε-
γραμμένα κατὰ τὸ ἀρέσαν τῇ σοφίᾳ τοῦ κτίσαντος οἷόν
τινι ὅρῳ τῷ προσήκοντι μέτρῳ ὡς πρὸς τὴν τοῦ παντὸς
367 εὐαρμοστίαν ἐμπεριείληπται. καὶ διὰ τοῦτο κἂν τῇ ἀσθενείᾳ
τῶν ἀνθρωπίνων λογισμῶν ἀνέφικτος <ᾖ> ἡ τῶν ἐν τῇ
κτίσει θεωρουμένων ἔφοδος, ἀλλ' οὖν τὸ πεπερατῶσθαι τὰ
πάντα τῇ τοῦ πεποιηκότος δυνάμει καὶ ἐντὸς εἶναι τῶν τῆς
κτίσεως ὅρων οὐκ ἀμφιβάλλεται· ἡ δὲ ποιητικὴ τῶν ὄντων
δύναμις τὴν τῶν γεγονότων ἐν ἑαυτῇ περιγράφουσα φύσιν
αὐτὴ τὸ περιέχον οὐκ ἔχει, πᾶν νόημα τὸ πρὸς τὴν ἀρχὴν
τῆς θείας ζωῆς ἀνελθεῖν ἐπειγόμενον ἐντὸς ἑαυτῆς κατα-
κλείουσα καὶ πάσης περιεργίας καὶ φιλοπραγμοσύνης τῆς
πρὸς τὸ πέρας τοῦ ἀορίστου φθάσαι φιλονεικούσης ὑπερ-
368 εκπίπτουσα. ἅπασα γὰρ ἡ μετὰ τοὺς αἰῶνας ἄνοδος καὶ
διάστασις τοῦ νοῦ τοσοῦτον ὑψωθήσεται μόνον, ὅσον κατι-
δεῖν τὸ τοῦ ζητουμένου ἀδιεξίτητον, καὶ ἔοικεν οἷόν τι μέ-
τρον καὶ ὅρος τῆς τῶν ἀνθρωπίνων λογισμῶν κινήσεως καὶ
ἐνεργείας ὁ αἰὼν καὶ τὰ ἐντὸς τούτων εἶναι, τὰ δὲ ὑπερ-
κείμενα τούτων ἄληπτα καὶ ἀνεπίβατα λογισμοῖς μένει,
παντὸς τοῦ δυναμένου ὑπὸ κατάληψιν ἀνθρωπίνην ἐλθεῖν

5 Sap 7,18

VLACTS 2-3 πάντως ὁμολογουμένης V 5 που om V 7 σημειούμενος v 13 καὶ om A v 14 ᾖ supplevi 15 τῷ πεπερατῶσθαι CT 18 προγεγονότων CT αὐτῇ V περιγράφουσα VCTS: περιγράφουσι L α ex ι corr L² συμπεριγράφουσα Av

369 καθαρεύοντα. ἐν οἷς γὰρ οὐκ εἶδος, οὐ τόπος, οὐ μέγεθος, οὐ τὸ ἐκ τοῦ χρόνου μέτρον οὐδὲ ἄλλο τι τῶν καταληπτῶν ἐπινοεῖται, ἐξ ἀνάγκης καὶ ἡ καταληπτικὴ τοῦ νοῦ δύναμις, ζητοῦσά τινος περιδράξασθαι <τῶν> περὶ τοὺς αἰῶνας καὶ τὴν ἐν τούτοις κτίσιν, εἰς τὸ συγγενὲς ἑαυτῇ καὶ ὁμόφυλον συνιζήσει, τῆς ἀλήπτου φύσεως πανταχόθεν ἀπολισθαίνουσα.

370 Παντὶ γὰρ οἶμαι τοῦτο γνώριμον εἶναι τῷ καὶ μετρίως
ἐπεσκεμμένῳ τὰ ὄντα, ὅτι τοὺς αἰῶνας καὶ τὸν ἐν τούτοις
τόπον οἷόν τι χώρημα δεκτικὸν τῶν γινομένων προκατα-
368 M. βαλλόμενος ὁ τῶν ὅλων δημιουργὸς ἐν τούτοις κτίζει τὰ
πάντα. οὐ γὰρ ἐνδέχεταί τι τῶν διὰ κτίσεως γεγονότων ἢ
γινομένων μὴ πάντως ἢ ἐν τόπῳ ἢ ἐν χρόνῳ τὸ εἶναι ἔχειν.
371 ἡ δὲ ἀπροσδεὴς καὶ ἀΐδιος καὶ τῶν ὄντων ἐμπεριεκτικὴ
φύσις οὔτ᾽ ἐν τόπῳ ἐστὶν οὔτε ἐν χρόνῳ, ἀλλὰ πρὸ τούτων
καὶ ὑπὲρ ταῦτα κατὰ τὸν ἄφραστον λόγον αὐτὴ ἐφ᾽ ἑαυτῆς
διὰ μόνης τῆς πίστεως θεωρεῖται, οὔτε αἰῶσι παραμετρου-
μένη οὔτε χρόνοις συμπαρατρέχουσα, ἀλλ᾽ ἐφ᾽ ἑαυτῆς
ἑστῶσα καὶ ἐν ἑαυτῇ καθιδρυμένη, οὔτε τῷ παρῳχηκότι
οὔτε τῷ μέλλοντι συνδιαιρουμένη· οὐδὲ γάρ ἐστί τι παρ᾽
αὐτὴν ἔξω αὐτῆς, οὗ παροδεύοντος τὸ μέν τι παρέρχεται
372 τὸ δὲ μέλλει. ταῦτα γὰρ ἴδια τῶν ἐν τῇ κτίσει τὰ πάθη,
πρὸς ἐλπίδα καὶ μνήμην κατὰ τὴν τοῦ χρόνου διαίρεσιν
τῆς ζωῆς σχιζομένης· ἐκείνῃ δὲ τῇ ὑψηλῇ καὶ μακαρίᾳ
δυνάμει, ᾗ πάντα κατὰ τὸ ἐνεστὸς ἀεὶ πάρεστιν ἐπίσης,
καὶ τὸ παρῳχηκὸς καὶ τὸ προσδοκώμενον ὑπὸ τῆς περι-
εκτικῆς τῶν πάντων δυνάμεως ἐγκρατούμενα καθορᾶται.

VLACTS 1-2 οὐ μέγεθος οὐ τόπος S   3 ἐννοεῖται C   4 περὶ ante τοὺς om ACTS v τῶν addidi   6 συνιζήσει corr Wilamowitz: συζήσει L συζητήσει ACTS v συζητεῖ V ex coniectura videlicet ἁπανταχόθεν VL   12 γενομένων V   13 γενομένων CT   ἢ ἐν χρόνω ἢ ἐν τόπω V   14 περιεκτικὴ T   17 τῆς om ACTS v   20 συνδιαιρουμένη: συνθεωρουμένη ACTS v   γὰρ: μὴν v   25 πάντα τὰ κατὰ T   τὸ om v   πάρεστιν ἀεὶ T   26 καὶ τὸ παρῳχηκὸς om v   27 τῶν om ACTS v   πάντως A v   ἐγκρατούμενον v

373 Αὕτη τοίνυν ἡ οὐσία ἐστίν, ἐν ᾗ πάντα, καθώς φησιν
ὁ ἀπόστολος, συνέστηκε, καὶ οἱ καθ᾽ ἕκαστον τοῦ εἶναι
μετέχοντες ζῶμέν τε καὶ κινούμεθα καὶ ἐσμέν, ἡ ἀνωτέρα
μὲν πάσης ἀρχῆς, σημεῖα δὲ τῆς ἰδίας φύσεως οὐ παρε-
χομένη, ἀλλ᾽ ἐν μόνῳ τῷ μὴ δύνασθαι καταληφθῆναι γι-
νωσκομένη. τοῦτο γὰρ αὐτῆς ἰδιαίτατον γνώρισμα, τὸ
παντὸς χαρακτηριστικοῦ νοήματος ὑψηλοτέραν αὐτῆς εἶναι
374 τὴν φύσιν. ἡ τοίνυν κτίσις διὰ τὸ μὴ τὸν αὐτὸν τῷ
ἀκτίστῳ λόγον ἔχειν αὐτῷ τούτῳ τῆς πρὸς τὸν πεποιηκότα
συγκρίσεώς τε καὶ κοινωνίας χωρίζεται, τῇ κατὰ τὴν
οὐσίαν λέγω διαφορᾷ καὶ τῷ ἴδιον ἐφ᾽ ἑαυτῇ τὸν παραστα-
τικὸν τῆς φύσεως ἐπιδέχεσθαι λόγον οὐδὲν ἐπικοινωνοῦντα
375 τῷ ἐξ οὗ γέγονεν. ἡ δὲ θεία φύσις πάντων τῶν ἰδιαζόντως
ἐπιθεωρουμένων τῇ κτίσει σημείων ἀλλοτρίως ἔχουσα κάτω
ἑαυτῆς καταλείπει τά τε χρονικὰ τμήματα, τὸ πρεσβύτερον λέγω καὶ τὸ νεώτερον καὶ τὰς τοπικὰς ἐπινοίας, ὡς μηδὲ ἀνώτερον ἐπ᾽ αὐτῆς τι κυρίως λέγεσθαι. πᾶν γὰρ τὸ νοούμενον ἐπὶ τῆς ἀκτίστου δυνάμεως ἄνω ἐστὶ καὶ ἀρχή ἐστι καὶ τὸν τοῦ κυριωτάτου λόγον ἐπέχει.

376 Ἐπεὶ οὖν δέδεικται διὰ τῶν εἰρημένων μὴ ἐν τῇ
κτίσει τὸν μονογενῆ υἱὸν καὶ τὸ τοῦ θεοῦ πνεῦμα <δεῖν>
διερευνᾶσθαι, ἀλλ᾽ ἄνω τῆς κτίσεως πιστεύειν εἶναι, ἡ
μὲν κτίσις ἐπί τινος ἰδιαζούσης ἀρχῆς διὰ τῆς πολυ-
πραγμοσύνης τῶν τὰ τοιαῦτα ζητεῖν φιλονεικούντων ἴσως
καταληφθήσεται, τὸ δὲ ὑπὲρ ταύτην οὐδὲν ἂν διὰ τού-
των μᾶλλον εἰς γνῶσιν ἔλθοι, οὐδενὸς ἐν αὐτῷ σημείου
377 δεικτικοῦ πρὸ τῶν αἰώνων εὑρισκομένου. εἰ οὖν ἐν τῇ
ἀκτίστῳ φύσει νοεῖται τὰ θαυμαστὰ πράγματά τε καὶ
ὀνόματα, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον,

1-2 Col 1,17   3 Act 17,28

VLACTS 2 τοῦ om v   6 ἰδιώτατον VL (cf 108,10)   9 τὸν ante λόγον add VL   11 καὶ τὸ VL   17 μηδὲ correxi: μήτε τι om T   18 post ἐστι add καὶ ἀρχή ἐστι V   21 δεῖν supplevi 23-24 φιλοπραγμοσύνης A v

πῶς ἔσται δυνατόν, ὅπερ ἐπὶ τῶν κάτω περιεργαζομένη καὶ
πολυπραγμονοῦσα καταλαμβάνει ἡ ἔννοια, ἕτερον ἑτέρου
συγκριτικῶς ὑπερτιθεῖσα διά τινος χρονικοῦ διαστήματος,
369 M. τοῦτο καὶ ἐπὶ τῆς ἀκτίστου καὶ προαιωνίου νομίζειν οὐσίας
378 εἶναι; ἐν ᾗ πατὴρ μὲν ἄναρχος καὶ ἀγέννητος καὶ ἀεὶ
πατὴρ νοεῖται, ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστάτως
ὁ μονογενὴς υἱὸς τῷ πατρὶ συνεπινοεῖται, δι' αὐτοῦ δὲ καὶ
μετ' αὐτοῦ, πρίν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου
παρεμπεσεῖν νόημα, εὐθὺς καὶ τὸ πνεῦμα τὸ ἅγιον συνημ-
μένως καταλαμβάνεται, οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν
μετὰ τὸν υἱόν, ὥστε ποτὲ τὸν μονογενῆ δίχα τοῦ πνεύματος
νοηθῆναι, ἀλλ' ἐκ μὲν τοῦ θεοῦ τῶν ὅλων καὶ αὐτὸ τὴν
αἰτίαν ἔχον τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ
δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν, οὔτε διαστήματι οὔτε φύ-
σεως ἑτερότητι τοῦ πατρὸς ἢ τοῦ μονογενοῦς ἀποτεμνόμενον.
379 διάστημα μὲν γὰρ ἐπὶ τῆς προαιωνίου φύσεως οὐκ ἔστιν,
ἡ δὲ κατὰ τὴν οὐσίαν διαφορὰ οὐδεμία. οὐδὲ γὰρ ἔστι
δυνατὸν ἀκτίστου πρὸς ἄκτιστον διαφορὰν ἐννοῆσαι, ἄκτιστον
δὲ τὸ πνεῦμα τὸ ἅγιον, καθὼς ἐν τοῖς προλαβοῦσιν ἀπο-
δέδεικται λόγοις.
380 Τούτων οὖν οὕτως ἔχειν ὑπειλημμένων παρὰ πᾶσι τοῖς
καταδεχομένοις τὸν ἰδιωτισμὸν τοῦ ἁπλουστέρου κηρύγματος,
τίνα καιρὸν ἔχει τὴν τοῦ υἱοῦ πρὸς τὸν πατέρα συνάφειαν
διὰ τῆς κτίσεως ἀναλύειν πειρᾶσθαι, ὡς ἐπάναγκες εἶναί
τι καὶ ταύτῃ συναΐδιον ἢ καὶ τὸν υἱὸν μεταγενέστερον
381 οἴεσθαι; οὔτε γὰρ ἡ γέννησις τοῦ μονογενοῦς ἐντὸς τῶν
αἰώνων οὔτε ἡ κτίσις πρὸ τῶν αἰώνων, ὥστε οὐδενὶ τρόπῳ
προσήκει τὴν ἀδιάστατον φύσιν καταμερίζεσθαι, καὶ μεταξὺ
τῆς πάντων ποιητικῆς αἰτίας διαστηματικήν τινα παρενείρειν

14 Joh 1,9 19-20 cf supra § 278 sq

VLACTS 1 ἐστί v 3 ὑποτιθεῖσα v 6 verba ab ἐξ αὐτοῦ δὲ usque ad 7 συνεπινοεῖται om T 11 ποτὲ (om τὸν) T δίχα τοῦ πνεύματος τὸν μονογενῆ VL 15 ἀποτέμνεται libri v, correxi 21 οὖν om V v 22 ὑποδεχομένοις CT 25 ταύτην S

ὑπόνοιαν ἐν τῷ λέγειν ποτὲ μὴ εἶναι τὸν πᾶσι δεδωκότα τὸ
382 εἶναι. οὐκοῦν ἀληθὴς ὁ προαποδεδομένος λόγος, ὅτι τῇ
μὲν ἀγεννησίᾳ τοῦ πατρὸς ἡ τοῦ μονογενοῦς ἀϊδιότης γεν-
νητῶς συνεπινοεῖται· εἰ δέ τι διάστημα μεταξὺ νομισθείη,
ᾧ ἡ γέννησις τοῦ υἱοῦ τῆς τοῦ πατρὸς ζωῆς διατέμνεται,
τούτῳ καὶ ἡ ἀρχὴ τῆς ζωῆς τοῦ ἐπὶ πάντων θεοῦ ὁρισθή-
383 σεται, ὅπερ ἄτοπον. τὴν δὲ κτίσιν κωλύει οὐδέν, ἄλλο τι
οὖσαν κατὰ τὴν ἰδίαν φύσιν παρὰ τὸν κτίσαντα, ἀπό τινος
ἰδιαζούσης νοηθῆναι ἀρχῆς, καθὼς ἔφαμεν, κατ' οὐδὲν τῇ
ἀκηράτῳ καὶ προαιωνίῳ φύσει συμβαίνουσαν. τὸ γὰρ ἐκ
μὴ ὄντων ἤ, ὥς φησιν ὁ ἀπόστολος, ἐκ μὴ φαινομένων
οὐρανὸν ἢ γῆν ἢ ἄλλο τι τῶν ἐν τῇ κτίσει θεωρουμένων
γεγενῆσθαι λέγειν οὐδεμίαν τῷ ποιητῇ τῶν ὅλων ἀδοξίαν
προστρίβεται, ἐπεὶ καὶ μεμαθήκαμεν παρὰ τῆς θείας γρα-
384 φῆς μήτε ἐξ ἀϊδίου ταῦτα εἶναι μήτε εἰσαεὶ διαμένειν. εἰ
δέ τι τῶν ἐν τῇ ἁγίᾳ τριάδι πεπιστευμένων μὴ ἀεὶ συνυπ-
άρχειν τῷ πατρὶ πιστευθείη, ἀλλά τις κατὰ τὸν τῆς αἱρέ-
σεως λόγον ἐπινοηθείη διάνοια γυμνοῦσά ποτε τὸν ἐπὶ
πάντων θεὸν τῆς τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος δόξης
οὐδὲν ἕτερον ἢ παντὸς ἀγαθοῦ καὶ θείου πράγματός τε καὶ
νοήματος κατὰ τὸν τῆς αἱρέσεως λόγον ὁ θεὸς κεχωρι-
372 M. σμένος ἐπιδειχθήσεται. εἰ δὲ ἀεὶ ἔνδοξος ὁ πατὴρ ὁ ὑπάρ-
385 χων πρὸ τῶν αἰώνων, δόξα δὲ τοῦ πατρὸς ὁ προαιώνιος
υἱός, ὁμοίως δὲ καὶ τοῦ υἱοῦ δόξα τὸ τοῦ Χριστοῦ πνεῦμα
τὸ ἀεὶ συνθεωρούμενον τῷ υἱῷ καὶ τῷ πατρί, πόθεν ὁ
σοφὸς οὗτος καὶ ἐκ ποίας παιδεύσεως τὸ *πρεσβύτερον*
ἐν τοῖς ἀχρόνοις καὶ τὸ *τιμιώτερον* ἐν τοῖς κατὰ τὴν
φύσιν τιμίοις ἀποφαίνεται, συγκριτικῶς ὑπερτιθεὶς τοῦ ἑτέρου
τὸ ἕτερον καὶ διὰ τῆς τοῦ ἑνὸς προτιμήσεως τὸ ἐφεξῆς

11 Hebr 11,3 15 Gen 1,1 Matth 24,35

VLACTS 1 μή: μὲν CT 5 ᾧ: ὧν VL τῆς τοῦ πατρὸς: νομισθείη L cf 4 23-24 ὁ υἱὸς ὁ προαιώνιος L 24 καὶ om VL 25 τῷ πατρὶ καὶ τῷ υἱῷ V 27 τὴν om v 29 τὸν ante ἕτερον L sed expunxit v

ἀτιμάζων; ἡ γὰρ ἀντιδιαστολὴ τοῦ τιμιωτέρου φανερωτέρα πάντως ἐστὶν εἰς ὅ τι φέρει.

386 Οἷα δὲ τοῖς εἰρημένοις ἐπάγει καὶ τὰ ἀκόλουθα. ἅτε, φησί, τῶν αὐτῶν ἐνεργειῶν τὴν ταὐτότητα τῶν ἔργων ἀποτελουσῶν, καὶ τῶν παρηλλαγμένων ἔργων παρηλλαγμένας καὶ τὰς ἐνεργείας ἀποφαινόντων. καλῶς ὁ γεννάδας ἦλθεν ἐπὶ τὴν ἄμαχον συνηγορίαν τοῦ λόγου. αἱ αὐταὶ ἐνέργειαι τὴν ταὐτότητα τῶν ἔργων ἀποτελοῦσι, φησίν. ἴδωμεν τοίνυν ἐπὶ τῶν πραγμάτων τὸν λόγον. μία τοῦ πυρὸς ἡ διὰ τοῦ θερμαίνειν ἐνέργεια, ἀλλὰ τὰ ἔργα οἵαν ἔχει τὴν
387 συμφωνίαν ἐπισκεψώμεθα. τήκεται ὁ χαλκός, ὁ πηλὸς πήγνυται, ὁ κηρὸς ἀναλίσκεται, τὰ λοιπὰ τῶν ζῴων εἰ ἐν αὐτῷ γένοιτο φθείρεται, ἡ σαλαμάνδρα ζῳογονεῖται, τὸ στυππεῖον καίεται, τὸ ἀμίαντον ὥσπερ ἐν ὕδατι τῇ φλογὶ καταπλύνεται· τοσαύτη ἡ ταὐτότης τῶν ἔργων ἐκ τῆς μιᾶς ἐνεργείας. τί δὲ ὁ ἥλιος; ἆρ᾿ οὐχὶ καὶ αὐτὸς ἐκ τῆς αὐτῆς δυνάμεως ὁμοίως ἐπιθάλπων τὰ πάντα τὸ μέν τι τῶν φυτῶν ηὔξησε, τὸ δὲ κατεμάρανε, πρὸς τὴν ὑποκειμένην
388 δύναμιν ὑπαλλάσσων τῆς ἐνεργείας τὸ τέλος; τὸ μὲν γὰρ ἐπὶ τῆς πέτρας ἐξήρανε, τὸ δὲ ἐκ τῆς βαθείας γῆς ἑκατοντάχουν ἐποίησεν. εἰ δὲ εἰσέλθοις εἰς τὰ τῆς φύσεως ἔργα καὶ ἴδοις ἐν τοῖς σώμασιν ὅσα φιλοτεχνοῦσα ἐργάζεται, μᾶλλον ἂν τὸ περιεσκεμμένον καταμάθοις τοῦ λέγοντος, ὅτι ἡ αὐτὴ ἐνέργεια τὴν ταὐτότητα τῶν
389 ἔργων ἀποτελεῖ. μία ἐνέργεια τῆς συλλήψεώς ἐστιν ἡ αἰτία, ἀλλὰ τὸ σύγκριμα τοῦ ἔνδον οἰκονομουμένου πολυειδές, ὡς ἂν μὴ δυνηθῆναι ῥᾳδίως τινὰ τὴν διαφορὰν τῶν

21-22 Luc 8, 6, 8

VLACTS 2 φέροι A v 6 καὶ post παρηλλαγμένας om L 13 καὶ ante ὁ κηρὸς addunt VL ἁλίσκεται VL 14 γένοιντο VL ἡ σαλαμάνδρα ζῳογονεῖται om VL 15 στυππεῖον scripsi: στυπεῖον A v στυπίον S στιππεῖον T στίπυον V στίππυον CL ἐν om T 21 ἐκ: ἐπὶ S 22 ἑκατοντάρχουν v εἰσέλθῃς ACTS 27 οἰκοδομουμένου VL 28 τὴν διαφορὰν ante 141,1 ἀπαριθμήσασθαι collocat S

ἐν τῷ σώματι ποιοτήτων ἀπαριθμήσασθαι. μία πάλιν ἐνέργεια ἐπὶ τῶν νηπίων ἡ τοῦ γάλακτός ἐστιν ὁλκή, τὸ δὲ ποικίλον τῶν ἀποτελεσμάτων τῆς τοιαύτης τροφῆς τίς ἂν
390 διεξέλθοι λόγος; ἡ μὲν γὰρ καθάπερ διὰ σωλῆνος ἐκ τοῦ στόματος ἐπὶ τοὺς ἀποκριτικοὺς διεξέρχεται πόρους, ἡ δὲ ἀλλοιωτικὴ τῆς φύσεως δύναμις ἑκάστῳ τῶν μελῶν καταλλήλως προσάγει τὸ γάλα, διὰ τῆς πέψεως εἰς μυρίας διαφορὰς τὴν τροφὴν κερματίζουσα καὶ τοῖς ὑποκειμένοις ὁμο-
391 φυὲς ἀπεργαζομένη τὸ ἑκάστῳ κατάλληλον. ἐκ γὰρ τῆς αὐτῆς τρέφονται βρώσεως ἀρτηρίαι φλέβες ἐγκέφαλος μήνιγγες μυελὸς ὀστᾶ νεῦρα σύνδεσμοι τένοντες σάρκες ἐπιφάνεια χόνδροι πιμελαὶ τρίχες ὄνυχες ἱδρῶτες ἀτμοὶ φλέγμα χολὴ καὶ ὅσα λοιπὰ περιττὰ καὶ ἀχρεῖα τῆς αὐτῆς αἰτίας
392 ἐξῆπται. κἂν τὰ τῶν μελῶν εἴπῃς ὀνόματα τά τε ὀργανικὰ καὶ τὰ αἰσθητήρια καὶ ὅσα ἄλλα πληροῖ τὸν τοῦ σώματος
373 M. ὄγκον, ἐκ μιᾶς καὶ τῆς αὐτῆς κατὰ τὴν τροφὴν ἐνεργείας εἰς τὰς τοσαύτας διαφορὰς ἀλλοιοῦται. εἰ δέ τις καὶ τὰς τέχνας ἀναλογίσαιτο, εὑρήσει καὶ διὰ τούτων τὸ κατεξητασμένον τοῦ δόγματος· μίαν γὰρ ὡς ἐπὶ τὸ πολὺ τῶν διὰ χειρός τι ποιούντων ἐπὶ πάσης τέχνης ὁρῶμεν ἐνέργειαν, αὐτὴν λέγω τῆς χειρὸς τὴν κίνησιν, ἀλλὰ τίς ἡ κοινωνία
393 τῶν ἀποτελεσμάτων, σκοπήσωμεν. τί κοινὸν ἔχει ναοῦ κατασκευὴ πρὸς ἱμάτιον, τῆς ἐν ἑκατέρῳ τέχνης κινήσει χειρὸς ἐνεργουμένης; κινεῖ τὴν χεῖρα καὶ ὁ τοιχωρύχος, κινεῖ καὶ ὁ φρεωρύχος, καὶ γῆ μεταλλεύεται καὶ φονεύεται ἄνθρωπος· κινήσεως χειρὸς ἔργα τὰ πάντα. ὅ τε γὰρ πολεμιστὴς ἐπὶ τῆς μάχης διὰ χειρὸς ἐνεργεῖ τὴν τῶν ἐναντίων σφαγήν, καὶ ὁ γεωπόνος πάλιν τῇ χειρὶ διὰ τῆς δικέλλης ἐπιθρύπτει
394 τὴν βῶλον. πῶς οὖν ἡμῖν ὁ δογματιστὴς ἀποφαίνεται τὰς αὐτὰς ἐνεργείας τὴν ταὐτότητα τῶν ἔργων

VLACTS 1-2 ἡ ante ἐνέργεια add VLCTS 4 ἐξέλθοι L 5 πόρους: λόγους V 6 ἑκάστη V 11 ὀστέα (sic) V σύνδεσμος A v 14 εἴποις V 19 ὡς ἐπὶ πολὺ S 20 τῆς post πάσης addidit V 22 τί: τί οὖν V 23 ἑκατέρα V 24-25 φρεωρύχος et τοιχωρύχος commutant VL ἡ ante γῆ addidit V 27 ἐναντίων: πολεμίων V

ἀποτελεῖν; ἐὰν δὲ δοθῇ τι καὶ ἀληθὲς ἔχειν τὰ εἰρη-
μένα, πάλιν καὶ διὰ τούτου τὸ κατὰ τὴν οὐσίαν οἰκεῖον
τοῦ τε υἱοῦ πρὸς τὸν πατέρα καὶ τοῦ πνεύματος πρὸς τὸν
υἱὸν πλέον συνίσταται. εἰ μὲν γὰρ ἦν τις τῶν ἐνεργειῶν
παραλλαγή, ὡς ἄλλως μὲν τοῦ πατρός, ἑτέρως δὲ τοῦ υἱοῦ
τὸ δοκοῦν ἐργαζομένου, καλῶς εἶχεν ἐκ τοῦ παρηλλαγμένου
τῶν ἐνεργειῶν καὶ τὸ τῆς ἐργασθείσης ὑφ' ἑκατέρου τούτων
395 οὐσίας παρηλλαγμένον τεκμαίρεσθαι. εἰ δὲ ᾧ τρόπῳ ἐνεργεῖ
ὁ πατήρ, πάντα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ, κατά τε τὴν αὐτοῦ
τοῦ κυρίου φωνὴν καὶ κατὰ τὸν εἰκότα λόγον (οὐ γὰρ ὁ
μὲν ἀσωμάτως, ὁ δὲ διὰ σώματος, οὐδὲ ἐκεῖνος μὲν ἐκ
τῆσδε τῆς ὕλης, ἐκ δὲ τῆς ἑτέρας ὁ ἕτερος, οὐδὲ ἐν χρόνῳ
οὐδὲ ἐν τόπῳ ἄλλος ἄλλῳ τὸ δοκοῦν κατεργάζεται, οὐδ' αἱ
τῶν ὀργάνων διαφοραὶ τὸ παρηλλαγμένον κατασκευάζουσιν·
396 ἀλλ' ἀρκεῖ μόνη θελήματος κίνησις καὶ προαιρέσεως ὁρμή,
σύνδρομον ἔχουσα καὶ ἐπακολουθοῦσαν πρὸς τὴν τῶν ὄντων
ὑπόστασιν τὴν ὑφιστῶσαν τὰ πάντα δύναμιν), καὶ ἐν πᾶσιν
ὁμοίως ὁ πατὴρ ἐξ οὗ τὰ πάντα καὶ ὁ υἱὸς δι' οὗ τὰ πάντα
κατὰ ταὐτὸ τῆς ἐνεργείας εἶδος ἐργάζονται, πῶς οὗτος τὴν
κατὰ τὰς οὐσίας διαφορὰν ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος
ἀποδεικνύειν οἴεται διὰ τοῦ παρηλλαγμένου τῆς τοῦ πατρὸς
καὶ τοῦ υἱοῦ ἐνεργείας ἀπ' ἀλλήλων χωριζομένης; τοὐναν-
397 τίον γάρ, καθὼς προέφην, κατασκευάζεται· ἐπειδὴ οὐδεὶς
τρόπος τῆς τῶν ἐνεργειῶν παραλλαγῆς ἐν πατρὶ καὶ υἱῷ
θεωρεῖται, καὶ τὸ μηδεμίαν ἐν ταῖς οὐσίαις τοῦ υἱοῦ καὶ
τοῦ πνεύματος εἶναι διάστασιν ἐν τῇ ταὐτότητι τῆς ὑπο-
στησαμένης δυνάμεως ἐπιδείκνυται, καθὼς καὶ ἡ τοῦ λογο-

10 Joh 5, 19

VLACTS 3 πνεύματος: πατρὸς V 4 συνίσταται πλέον V 12 τῆς δὲ om τῆς v 13-14 αἱ τῶν: τῶν VL αὐτῶν v αἱ ante διαφοραὶ add V 17 ὑφεστῶσαν AT καὶ om VL 18 ὅμοιος VL verba inde a καὶ ὁ usque ad τὰ πάντα om V 19 κατ' αὐτὸ AT v τὸ ante εἶδος add A v 20 καὶ ἐπὶ τοῦ πν. VL 23 προέφημεν CTS ἔφαμεν A v παρασκευάζεται v 25 καὶ ante τὸ om VL 25-26 τοῦ υἱοῦ κ. τ. πνεύματος: τοῦ πατρὸς καὶ τοῦ υἱοῦ T

γράφου μαρτυρία βεβαιοῖ τὸν λόγον οὕτως ἐπὶ λέξεως
ἔχουσα· ἅτε, φησί, τῶν αὐτῶν ἐνεργειῶν τὴν ταὐ-
398 τότητα τῶν ἔργων ἀποτελουσῶν. ὥστε εἰ ταὐτό-
της ἐπιτελεῖται τῶν ἔργων ἐν τῇ τῶν ἐνεργειῶν ὁμοιότητι,
ἔργον δὲ κατ' αὐτοὺς τοῦ μὲν πατρὸς ὁ υἱός, τούτου δὲ τὸ
πνεῦμα τὸ ἅγιον, ἡ ὁμοιοτροπία τῆς τοῦ πατρὸς καὶ τοῦ
υἱοῦ ἐνεργείας τὴν ταὐτότητα πάντως τῆς ἀποτελεσθείσης
οὐσίας ἐνδείξεται.
399 Ἀλλὰ προστίθησι· καὶ τῶν παρηλλαγμένων
ἔργων παρηλλαγμένας καὶ τὰς ἐνεργείας ἐμφαι-
νόντων. πάλιν τοίνυν καὶ τοῦτο σκοπήσωμεν, τίνι τὸ
376 M. ἰσχυρὸν ὁ λόγος ἔχει, καὶ εἰ δοκεῖ διὰ τῶν ἐναργῶν
ὑποδειγμάτων ταῦτα κατανοήσωμεν. ἆρ' οὐχὶ μία ἐστὶν
ἡ διὰ τοῦ προστάσσειν ἐνέργεια τοῦ πάντα τὸν κόσμον καὶ
400 τὰ ἐν αὐτῷ συστησαμένου διὰ μόνου θελήματος; Αὐτὸς
γὰρ εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.
οὐκ ἐπὶ πάντων ὁμοίως οὐσιώθη τὸ πρόσταγμα καὶ ἤρ-
κεσεν ἡ βούλησις μόνη τὸ μὴ ὂν ὑποστήσασθαι; πῶς οὖν
ἐκ μιᾶς τῆς διὰ τοῦ προστάσσειν ἐνεργείας τοσαύτης τῆς
διαφορᾶς καθορωμένης οὗτος ὥσπερ οὐχ ὁρῶν τὰ πράγ-
ματα τὴν τῶν ἔργων παραλλαγὴν τὸ παρηλλαγμένον τῆς
401 ἐνεργείας ἐνδείκνυσθαι λέγει; τοὐναντίον γὰρ ἔδει μονο-
ειδῆ πάντα τὰ ἐν τῷ κόσμῳ εἶναι, εἴπερ κατὰ τὸν δογμα-
τιστὴν τῷ διαλλάσσοντι τῶν ἔργων καὶ τὸ τῶν ἐνεργειῶν
παρηλλαγμένον ἐμφαίνεται. ἢ ταῦτα ὅμοια πάντα βλέπει,
ἐν μόνῳ δὲ τῷ πατρὶ καὶ τῷ υἱῷ ἐνθεωρεῖ τὸ ἀνόμοιον;
402 Οὐκοῦν ἐπισκεψάσθω νῦν, εἰ καὶ μὴ πρότερον, τὴν ἐν
τοῖς στοιχείοις διαφορὰν καὶ ὡς ἕκαστον τῶν ἐν τῷ κόσμῳ

15 Ps 32, 9

VLACTS 2 αὐτῶν om A v 5 καθ' αὐτοὺς VL (sed ὑ V) 6 ὁμοτροπία VCTS 8 οὐσίας: ἐνεργείας V 9 ἀλλὰ προστίθησιν ἀλλὰ VL τῶν om A v 10 καὶ om V 11 verba a τίνι usque ad 13 κατανοήσωμεν om V 14 διὰ om A v τὸν om S 16 ἐγεννήθησαν VLCT 19 τῆς διὰ: τοῦ διὰ L 22 λέγει post ι rasura L 23 εἴπερ: ὅπερ L 25 πάντα ὅμοια S

πρὸς τὴν τοῦ παντὸς σύστασιν συντελούντων πρὸς τὸ ἐναντίον ἀπῆκται τῆς φύσεως. τὰ μὲν γὰρ κοῦφά τε καὶ ἀνωφερῆ πέφυκε, τὰ δὲ βαρέα καὶ εἰς τὸ κάτω βρίθοντα, καὶ τὰ μὲν ἀεὶ ἑστῶτα, τὰ δὲ διόλου κινούμενα, καὶ ἐν τοῖς κινουμένοις τὰ μὲν ἀπαράβατον ἐπὶ τὸ ἓν ἔχει τὴν κίνησιν, ὡς ὁ οὐρανὸς καὶ τῶν ἀστέρων οἱ πλανώμενοι, οἷς ὁ δρόμος εἰς τὸ ἔμπαλιν τοῦ παντὸς ἀνελίσσεται, τὰ δὲ πανταχόθεν διαχεόμενα κατὰ τὸ συμβαῖνον ἀεὶ φέρεται, ὡς ὁ ἀὴρ καὶ
403 ἡ θάλασσα καὶ ἡ πᾶσα τῆς ὑγρᾶς οὐσίας φύσις. τί δ' ἂν εἴποι τις τὴν τοῦ θερμοῦ πρὸς τὸ ψυχρὸν ἐναντίωσιν ἢ τοῦ ὑγροῦ τὴν πρὸς τὸ ξηρὸν διαφορὰν τοῦ τε ἄνω τὴν πρὸς τὸ κάτω διάστασιν; ὅσαι δὲ τῶν ζῴων αἱ κατὰ τὴν φύσιν ἀνομοιότητες, τὰς δὲ ἐν τοῖς φυτοῖς κατά τε τὰ σχήματα καὶ τὰ μεγέθη καὶ τὰς τῶν καρπῶν καὶ ποιοτήτων παραλ-
404 λαγάς τίς ἂν ἐπέλθοι λόγος ἀνθρώπινος; ἀλλ' ὁ σοφὸς οὗτος τῶν παρηλλαγμένων ἔργων παρηλλαγμένας καὶ τὰς ἐνεργείας ἡμῖν ἀποφαίνεται, ἢ τὸ εἶδος τῆς θείας ἐνεργείας μήπω μαθών, ὅ φησιν ἡ γραφή, ὅτι τῷ λόγῳ τοῦ προστάγματος πάντα γεγένηται, ἢ πρὸς τὴν τῶν γεγονότων διαφορὰν ἀμβλυώττων. καὶ οὕτως ἡμῖν ἀπερισκέπτως φθεγγόμενος περὶ θείων δογμάτων νομοθετεῖ, οὔπω τάχα τινὸς ἀκηκοώς, ὅτι πᾶν τὸ ἀποφαντικῶς λεγόμενον, ἐὰν μὴ καθόλου τὸ ἄμαχόν τε καὶ ὁμολογούμενον περὶ τοῦ προκειμένου πράγματος ἔχῃ, ἀλλὰ περὶ ὧν οὐκ ἄν τις τῶν ἐπεσκεμμένων συνθοῖτο, περὶ τούτων κατ' ἐξουσίαν ὁ δογματίζων λέγῃ, οὐδὲν διαφέρει τῶν ὀνείρους ἢ
405 μύθους παρὰ πότον διηγουμένων. καὶ τοιαύτης οὔσης τῆς

18 Hebr 1, 3 et Ps 32, 9

VLACTS 2-3 ἀναφερῆ V 3 βαρέα L ut videtur sed ρ erasum 4 ἀεὶ ante διόλου add T est var lect ad διόλου 5 τὰ μὲν ἐπὶ τὸ ἀπαράβατον ἔχει (om ἓν) V 8 ἐμβαῖνον V 11-12 τὰ κάτω ACTS v 12 κατὰ φύσιν T 13 δὲ: τε malim 14 τῶν ante ποιοτήτων add V 18 μηδέπω T 19 τῷ: τὸ L τοῦ om v 21 ἀπερισκόπως S 24 sententiam ultra ἔχῃ usque ad 27 διηγουμένων continuat Oehler cf ad 26 25 σύνθοιτο ACTS v 26 λέγει v om VL 27 πότων LC

ἐν τοῖς εἰρημένοις ἀναρμοστίας, καθάπερ οἱ δι' ἐνυπνίου φαντασίας τῶν καθ' ὕπαρ σπουδαζομένων ὁρᾶν τι νομίσαντες προθύμως ἔχονται τῶν ἀνυπάρκτων καὶ τῆς περὶ τὸ φαινόμενον ἐπιθυμίας διὰ τῆς ἠπατημένης ὄψεως ἀναπειθούσης ἔχειν οἴονται, οὕτω καὶ αὐτὸς διὰ τῆς ὀνειρώδους ταύτης τῶν δογμάτων ἀνατυπώσεως ἰσχύειν αὐτῷ φαντα-
377 M. σθεὶς τὰ εἰρημένα ταῦτα οὕτως ἔχειν διαβεβαιοῦται καὶ δι' αὐτῶν κατασκευάζειν ἐπιχειρεῖ τὰ ὑπόλοιπα. ἄξιον δὲ καὶ αὐτὴν παραθέσθαι τὴν λέξιν ἔχουσαν οὕτως.
406 Οὕτω δὲ τούτων ἐχόντων καὶ τῇ πρὸς ἄλληλα σχέσει τὸν εἱρμὸν ἀπαράβατον διατηρούντων, προσήκει δήπου τοὺς κατὰ τὴν συμφυῆ τοῖς πράγμασι τάξιν τὴν ἐξέτασιν ποιουμένους καὶ μὴ φύρειν ὁμοῦ πάντα καὶ συγχεῖν βιαζομένους, εἰ μὲν περὶ ταῖς οὐσίαις κινοῖτό τις ἀμφισβήτησις, ἐκ τῶν πρώτων καὶ προσεχῶν ταῖς οὐσίαις ἐνεργειῶν ποιεῖσθαι τῶν δεικνυμένων τὴν πίστιν καὶ τῶν ἀμφιβαλλομένων τὴν διάλυσιν, τὴν δὲ ἐπὶ ταῖς ἐνεργείαις
407 ἀμφιβολίαν διαλύειν ἐκ τῶν οὐσιῶν. ἐγὼ τοίνυν ἀρκεῖν ἡγοῦμαι πρὸς ἀπόδειξιν τῆς ἀτοπίας τῶν εἰρημένων αὐτὰ τὰ ῥήματα τῆς ἀσεβείας. ὥσπερ γὰρ ὁ τὸ λελωβημένον ἐκ πάθους πρόσωπον ὑπογράφων τῷ λόγῳ μᾶλλον ἂν ἐπιδείξειεν ἀπογυμνώσας τῶν προκαλυμμάτων τὴν νόσον, ὡς μηδὲν δεῖσθαι λόγῳ μαθεῖν τοὺς τὸ φαινόμενον βλέποντας, οὕτως ἡγοῦμαι τὸ εἰδεχθὲς τοῦτο καὶ περικεκομμένον τοῦ αἱρετικοῦ δόγματος ἱκανῶς φανεροῦσθαι τοῖς διορατικοῖς τὴν ψυχὴν καὶ διὰ μόνης τῆς ἀναγνώσεως ἐκ-
408 καλυπτόμενον. ἀλλ' ἐπειδὴ χρὴ καθάπερ τινὰ δάκτυλον ἐπὶ τὰ σαθρὰ τοῦ δόγματος τὸν δεικτικὸν λόγον ἐπάγοντα

VLACTS 3 ἔχονται v: ἔχοντες libri καὶ v: om VLACTS 5 οἴονται ἔχειν S 9 παραθέσθαι post λέξιν V 10 οὕτω δέ φησι VL 12 τοῖς et 13 ποιουμένοις V 15 τῆς οὐσίας S v 25 μηδὲν: μηδὲ TS 26-27 περικείμενον V 27 τοῦ δόγματος τοῦ αἱρετικοῦ V

φανερωτέραν τοῖς πολλοῖς καταστῆσαι τὴν ἐγκειμένην λώ-
βην τῷ δόγματι, πάλιν ἐφεξῆς τὸ ῥηθὲν ἀναλήψομαι.
409 Οὕτω δέ, φησί, τούτων ἐχόντων. τί λέγει ὁ ἐν-
υπνιαστής; ποίων τούτων καὶ πῶς ἐχόντων; ὅτι μόνη
κυρία καὶ ἀνωτάτω τοῦ πατρὸς ἡ οὐσία, ἄκυρος δὲ
κατὰ τὸ ἀκόλουθον πάντως ἡ ἐφεξῆς καὶ ἀκυροτέρα ἡ
410 τρίτη; ταῦτα γὰρ οἷς εἶπεν ἐνομοθέτησεν. ἢ ὅτι παρε-
πομένης τῇ οὐσίᾳ τῇ πρώτῃ ἐνεργείας τινός, ἧς ἀποτέ-
λεσμα καὶ ἔργον ὁ μονογενής ἐστιν υἱός, τῷ μέτρῳ τῆς
ὑποστησαμένης αὐτὸν ἐνεργείας ἐνδεδεμένος; ἢ ὅτι ἐλάτ-
τους τε καὶ μείζους αἱ οὐσίαι νοοῦνται διὰ τὸ ἐγκεῖσθαί
πως ἀλλήλαις καὶ περιέχεσθαι ὑπὸ τῆς εὐρυχωροτέρας τὴν
ἥσσονα, ὥσπερ ἐπὶ τῶν κάδων συμβαίνει τῶν ἀλλήλοις
ἐντιθεμένων, καθ' ὃ μείζους τε καὶ ἐλάττους ἐνορᾷ τὰς
411 οὐσίας τὰς οὐδενὶ πέρατι καὶ ὅρῳ περιειλημμένας; ἢ ὅτι
τῶν δημιουργημάτων αἱ διαφοραὶ καὶ τὴν τῶν δημιουργῶν
ἑτερότητα συνεμφαίνουσιν, ὡς ἀμήχανον ἐκ τῶν ὁμοίων
ἐνεργειῶν διαφόρους τὰς δημιουργίας συνίστασθαι; ἆρ' οὖν
ἔστι τις τοσούτῳ κώματι κατεχόμενος τὰ τῆς ψυχῆς αἰσθη-
τήρια, ὥστε ἀκούσας τῶν τοιούτων δογμάτων εὐθὺς συν-
θέσθαι τῷ διαβεβαιουμένῳ ὅτι οὕτω δὲ τούτων ἐχόν-
των καὶ ἐν τῇ πρὸς ἄλληλα σχέσει τὸν εἱρμὸν
412 ἀπαράβατον διατηρούντων; τῆς γὰρ αὐτῆς οἶμαι
παραπληξίας εἶναι λέγειν τε τὰ τοιαῦτα καὶ λεγόντων
ἀκούειν ἀνεξετάστως, ὅτι εἱρμῷ τινι διὰ τῆς πρὸς ἄλληλα
σχέσεως εὐθύνεται τὰ διὰ τῆς κατὰ τὴν φύσιν ἀνομοιότητος
ἀπ' ἀλλήλων διεσχισμένα. ἢ γὰρ ἥνωται διὰ τῆς οὐσίας
κατὰ τὸν ἡμέτερον λόγον καὶ οὕτως ἐν τῇ πρὸς ἄλ-
ληλα σχέσει τὸν εἱρμὸν ἀπαράβατον διατη-
380 M. ρήσει, ἢ ἀφέστηκεν ἀλλήλων διὰ τῆς κατὰ τὴν φύσιν ἀλ-

VLACTS 4 ποίων ἢ τούτων v 6 πάντως ante κατὰ coll T 7-8 παρεπομένην L sed ς suprascripsit L^2 8 ἧς del Diekamp 19 ἔστί τι CT 22 ἐν om A v (velut 145, 10 sed cf 146, 28) 24 εἶναί τε λέγειν VL 27 ἀπ': ὑπ' S 27-28 κατὰ τῆς οὐσίας διὰ τὸν V 30 τὴν post κατὰ VLCS suprascr A om T v

λοτριότητος, καθὼς ἐκεῖνος οἴεται. καὶ τίς εὑρεθήσεται
καθ' εἱρμὸν σχέσις ἐν τοῖς ἀλλοτρίως ἔχουσιν ἡ
συντηροῦσα τὸ ἀπαράβατον; τίς δὲ ἡ συμφυὴς
τῶν πραγμάτων τάξις, καθ' ἣν ποιεῖσθαι νομοθετεῖ
413 τὴν ἐξέτασιν; εἰ μὲν γὰρ εἰς τὸ δόγμα τῆς ἀληθείας ἑώρα
καὶ μόνῃ τῇ τάξει κατὰ τὸ ἀκόλουθον τῶν ἐν τῇ ἁγίᾳ
τριάδι πεπιστευμένων πραγμάτων τὴν διαφορὰν ἐλογίζετο,
τῆς συμφυοῦς ταύτης, ὥς φησι, τάξεως ἀσύγχυτον
ποιουμένης τὴν τῶν ὑποστάσεων κρίσιν, ὥστε καὶ κοινωνεῖν
κατὰ τὴν οὐσίαν καὶ διῃρῆσθαι κατὰ τὸν τῆς ὑποστάσεως
λόγον οἴεσθαι, οὐκ ἂν πάντως ἐν τοῖς ὑπεναντίοις ἐτέτακτο,
ταῦτα λέγων, ὧν καὶ ἡμεῖς προϊστάμεθα.
414 Νυνὶ δὲ ἅπας ὁ λόγος αὐτῷ πρὸς τὸ ἐναντίον βλέ-
πων ἄπορον εἶναι κατασκευάζει τῆς ἐνταῦθα νοηθείσης
αὐτῷ τάξεως τὴν κατανόησιν. πλεῖστον γὰρ δήπου διενή-
νοχε τῶν τε ἐκ προβουλεύσεως καὶ τῶν κατὰ τὸ αὐτόματον
415 ἐκ φυσικῆς τινος ἀνάγκης ἀποβαινόντων τὸ πέρας. συμ-
φυής ἐστι τῷ πυρὶ ἡ θερμότης καὶ ἡ λαμπηδὼν τῇ ἀκτῖνι
καὶ τὸ ῥέειν τῷ ὕδατι καὶ τῷ λίθῳ ἡ ἐπὶ τὸ κάτω φορὰ
καὶ πολλὰ τοιαῦτα ἔστιν εἰπεῖν. εἰ δέ τις οἰκίαν ἐδομή-
σατο ἢ μετῆλθεν ἀρχὴν ἢ ἐμπορίαν ἐστείλατο ἢ ἄλλο τι
τῶν ἐκ προβουλεύσεως καὶ παρασκευῆς κατορθουμένων
μετεχειρίσατο, οὐκ ἔστιν ἐπὶ τούτου κυρίως λέγειν ὅτι
συμφυής τις τοῖς παρ' αὐτοῦ πεπραγμένοις ἔπεστι τάξις·
κατὰ γὰρ τὸ βούλημα τοῦ προαιρουμένου καὶ κατὰ τὸ
χρήσιμον τοῦ ἐπιτελουμένου πράγματος ἡ τάξις παρὰ τῶν
416 τὰ καθ' ἕκαστον ἐνεργούντων ἐπάγεται. ἐνταῦθα τοίνυν
ἐπειδὴ ἀποσχίζει τῆς φυσικῆς οἰκειότητος τοῦ πατρὸς τὸν
υἱὸν ὁ τῆς αἱρέσεως λόγος, τὰ αὐτὰ δὲ καὶ περὶ τοῦ πνεύ-
ματος οἴεται, ὡς ἀπεξενωμένου τῆς τε πρὸς τὸν υἱὸν καὶ

VLACTS 2 σχέσις in rasura L 8 συμφυοῦς: συμφορᾶς T 9 τῆς ὑποστάσεως V 12 ὧν καί: ὧν ἂν v 14 παρασκευάζει LA v 14-15 νοηθείσης αὐτῷ συμφυοῦς τάξεως VL sed συμφυοῦς glossema ad τῆς ἐνταῦθα νοηθείσης est 15 πολὺ γὰρ δήπου V 16 τε καὶ ἐκ v 21 ἐμπορεῖαν S 26 ἀποτελουμένου VL 27 τὰ om CT καθέκαστα S

τὸν πατέρα ἑνώσεως, ἐν παντὶ δὲ τῷ λόγῳ κατασκευάζεται
τὸ ἔργον εἶναι τοῦ πατρὸς τὸν υἱόν, ἔργον δὲ πάλιν τοῦ
υἱοῦ τὸ πνεῦμα, πάντα δὲ τὰ ἔργα προαιρέσεως, οὐ φύσεως
ἀποτελέσματα, πῶς οὗτος τὸ τοῦ θελήματος ἔργον συμ-
φυῆ τινα τάξιν πραγμάτων εἶναι ὁρίζεται, οὐκ οἶδα τί
νοῶν ἐν τῷ λόγῳ. ὡς ταύτην τοῦ θεοῦ τῶν ὅλων τὴν φύσιν
ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου δημιουργήσαντος
καὶ τὸ ὑπερβεβηκὸς τῶν οὐσιῶν τοιοῦτον εἶναι ποιήσαντος,
417 ὥστε ὑποχειρίως ἔχειν τῷ ἑτέρῳ τὸ ἕτερον; καὶ εἰ ταῦτα
νοεῖ, διὰ τί τὸ εἰρημένον οὐ διεσάφησε, κατὰ τίνα λόγον
προεπινοεῖται ταῦτα περὶ θεοῦ γινώσκειν; ὡς ἐν τῇ βρα-
χύτητι τῶν ἔργων μείζονος ἐπιδειχθησομένης αὐτοῦ τῆς
δυνάμεως; καὶ τίς τούτῳ συνθήσεται, τῷ μεγάλην αἰτίαν
καὶ δύναμιν τῇ τῶν ἀποτελεσμάτων ἐνθεωρεῖσθαι βραχύ-
τητι; ἀλλ' ὡς οὖν οὐ δυναμένου τὸ τέλειον ἐν πᾶσι τῷ ἐξ
αὐτοῦ συνυποστῆσαι; καὶ πῶς αὐτῷ συμμαρτυρεῖ τὸ ἀνώ-
τατόν τε καὶ κυριώτατον, εἴπερ ἐλάττονα τῆς προ-
418 αιρέσεως ἐπιδείξει τὴν δύναμιν; ἢ οὐδὲ προτεθεῖσθαι λέγει
τὸν τοῦ τελείου λόγον τῷ ἐξ αὐτοῦ ἐγγενέσθαι, ἵνα μὴ
πάντως ἡ τιμὴ καὶ ἡ δόξα τοῦ διὰ τὸ ὑπερέχον τιμωμένου
381 M. κατασμικρύνηται. καὶ τίς οὕτως ἄθλιος ὥστε μηδὲ τὴν
θείαν τε καὶ μακαρίαν φύσιν καθαρεύειν ἀπὸ τοῦ κατὰ τὸν
φθόνον πάθους ὑπολογίζεσθαι; ποία οὖν εὐπρεπὴς αἰτία
τοῦ ταῦτα οὕτω παρὰ τοῦ θεοῦ τῶν ὅλων ἐπὶ τοῦ μονο-
γενοῦς καὶ τοῦ πνεύματος διατετάχθαι;
419 Ἀλλ' οὐκ ἐκεῖθεν, φησίν. πόθεν οὖν ἄλλοθεν, εἰ μὴ
κατὰ τὴν φύσιν οἰκείως ἔχουσιν ἡ συμφυὴς αὐτοῖς
τάξις ἐνθεωρεῖται; ἀλλ' ἴσως τὸ ὑφειμένον τῆς οὐσίας
ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τὸ συμφυὲς ὀνομάζει τῆς
τάξεως. ἀλλ' ἐγὼ καὶ αὐτοῦ τούτου δέομαι τὴν αἰτίαν

VLACTS 1 τῷ om CTA v 2 τὸ: τοῦ V 9 τῷ ἑτέρῳ: τοῦ ἑτέρου V 12 τοῦτο v 13 συνθήσεται τὸ VL v 14 θεωρεῖσθαι V 15 ἀλλ' ὡς οὐ A v, ἄλλως οὖν οὐ VLCTS correxi, ante ὡς c part 6 et 11 distinxi πᾶσι τῶν V cf 18 16 συμμαρτυρεῖ καὶ τὸ CT 19 ἀτελείου V 20 διὰ τῷ A

μαθεῖν, δι' ἣν ὁ υἱὸς κατὰ τὴν οὐσίαν ἠλάττωται, τῆς
οὐσίας καὶ ἐνεργείας ἐν τοῖς ἴσοις καὶ τοῖς αὐτοῖς γνωρί-
420 σμασί τε καὶ ἰδιώμασιν εὑρισκομένων. εἰ δὲ οὐχ ὁ αὐτὸς
τῆς τε οὐσίας καὶ τῆς ἐνεργείας ὁ λόγος, ἀλλὰ διάφορον ἐφ'
ἑκατέρου τὸ σημαινόμενον, πῶς διὰ τῶν ξένων καὶ ἀλλο-
τρίων αἱ ἀποδείξεις τοῖς ζητουμένοις ἐπάγονται; ὥσπερ ἂν
εἴ τις, πολυπραγμονουμένης τῆς ἀνθρωπίνης οὐσίας καὶ
ζητουμένου εἰ γελαστικὸν ζῷον ὁ ἄνθρωπος ἢ γραμματικῆς
δεκτικόν, εἰς ἀπόδειξιν τοῦ προτεθέντος παραλαμβάνοι
οἰκίας ἢ πλοίου κατασκευήν, ἣν ὁ οἰκοδόμος ἢ ὁ ναυπηγὸς
ἐτεκτήνατο, ἔπειτα ἰσχυρίζοιτο τῷ σοφῷ τούτῳ λόγῳ, ὅτι
ταῖς ἐνεργείαις τὰς οὐσίας γνωρίζομεν, ἐνέργεια δὲ τοῦ
421 ἀνθρώπου ἡ οἰκία καὶ τὸ πλοῖον. ἐκ τούτων ἄρα κατα-
λαμβάνομεν τὸ πλατυώνυχον καὶ γελαστικὸν εἶναι τὸν ἄν-
θρωπον, ἁπλούστατε; ἀλλ' οὐ τοῦτο, φαίη τις ἄν, τὸ
ζητούμενόν ἐστιν, εἴ τινα κίνησιν καὶ ἐνέργειαν ὁ ἄν-
θρωπος ἔχει, ἀλλ' αὐτὸ τὸ ἐνεργοῦν τί ποτε κατὰ τὴν
φύσιν ἐστίν· ὃ πολλοῦ δέω μαθεῖν ἐκ τῆς ἀποκρίσεως.
422 καὶ γὰρ εἰ περὶ ἀνέμου τι μαθεῖν ἐβουλόμην, οὐκ ἂν
ψάμμου σωρείαν ἐξ ἀνέμου συστᾶσαν ἢ ἀχύρου θημῶνα ἢ
κόνεως διάχυσιν δείξας ἐντελῆ ἂν τοῦ ζητουμένου τὸν λόγον
ἀπέδωκας. ἕτερος γὰρ τοῦ ἀνέμου ὁ λόγος καὶ ἄλλα
ταῦτα τὰ ἀντὶ τοῦ ζητουμένου δεικνύμενα. πῶς οὖν οὗτος
ταῖς ἐνεργείαις τὰς οὐσίας δείκνυσι καὶ τὸν τοῦ εἶναι
λόγον αὐτοῦ τοῦ ὄντος ἐκ τῶν γενομένων παρὰ τοῦ ὄντος
παρίστησιν;
423 Εἶτα κἀκεῖνο σκοπήσωμεν, τί <τὸ> ἔργον τοῦ
πατρός, δι' οὗ καταλαμβάνεσθαι λέγει τὴν οὐσίαν τοῦ

VLACTS 1 δι' ἧς VL 2 verba ab ἐν τοῖς usque ad αὐτοῖς om VL 3 οὐκ αὐτὸς libri v, correxi 9 παραλαμβάνει T 10 πλοίου in ras corr ex πλούτου V 11 ἐτεκτήναντο S λόγω τούτω V 14 πλατυόνυχον V πλατυώνυχα S 15-16 τῶν ζητουμένων VL 16 εἰ—κίνησιν: οὐχ(sic!)εἴ τινα κτῆσιν ἢ κίνησιν ·|· V et in marg σημείωσαι 21 verba τὸν λόγον usque ad 23 τοῦ ζητουμένου om L 23 τὰ post ταῦτα add S om ceteri v 25 γινομένων S παρὰ τοῦ ὄντος om T 27 κἀκεῖνα S τὸ addidi

ἐνεργήσαντος; τὸν υἱὸν λέξει πάντως, εἴπερ τὰ συν-
ήθη λέγοι. ἀλλ' οὗτος, ὦ σοφώτατε, κατὰ τὸν σὸν λόγον
τῇ ἐργασαμένῃ αὐτὸν ἐνεργείᾳ παραμετρού-
μενος ἐκείνην δεικνύει μόνην, τὸ δὲ ζητούμενον οὐδὲν
ἧττον ἐν ἀδήλῳ μένει, εἴπερ ἡ ἐνέργεια τῶν παρεπομένων
τις εἶναι τῇ πρώτῃ οὐσίᾳ καὶ παρὰ σοῦ μεμαρτύρηται.
424 αὕτη γὰρ τῷ ἔργῳ τῷ παρ' αὐτῆς ἀποτελεσθέντι συμ-
παρεκτείνεται, καθὼς σὺ λέγεις, καὶ δείκνυται διὰ τοῦ
ἀποτελέσματος, οὐ δὲ αὐτὴ κατὰ τὴν φύσιν ἡ ἐνέργεια ἥτις
ἐστίν, ἀλλὰ <τὸ> ποσὸν αὐτῆς μόνον ἐνθεωρεῖται τῷ ἔργῳ.
ὡς γὰρ οὐ πᾶσα ἡ τοῦ χαλκεύοντος δύναμις συγκινηθεῖσα
τὸ τρύπανον ἐξειργάσατο, ἀλλ' ὅσον σύμμετρον ἦν πρὸς τὴν
τοῦ σκεύους ἀπεργασίαν, τοσοῦτον ἡ τέχνη διὰ τοῦ χειρουρ-
γοῦντος ἐνήργησε, πολλὰ καὶ παντοδαπὰ κατεργάσασθαι
δυνατῶς ἔχουσα, οὕτω τὸ μέτρον τῆς ἐνεργείας ἐν ἑαυτῷ
425 δείκνυσιν ὁ παρ' ἐκείνης γενόμενος. τὸ δὲ ζητούμενον οὐχὶ
τὸ ποσόν ἐστι τῆς ἐνεργείας, ἀλλ' αὐτὴ τοῦ ἐνεργήσαντος
384 M. ἡ οὐσία. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ εἰ διὰ τοῦ πνεύ-
ματος (ὅπερ ἔργον ὀνομάζει τῆς τῷ υἱῷ παρεπομένης ἐν-
εργείας) κατειληφέναι λέγοι τοῦ μονογενοῦς τὴν φύσιν, οὐ-
δεμίαν σύστασιν ὁ λόγος ἔχει, πάλιν καὶ ἐνταῦθα τῆς ἐν-
εργείας μὲν τῷ ἀποτελέσματι συμπαρεκτεινομένης, τὴν δὲ
φύσιν ἑαυτῆς τε καὶ τοῦ ἐνεργοῦντος διὰ τοῦ κατεργασθέντος
οὐ δεικνυούσης.
426 Ἵνα δὲ καὶ τοῦτο συγχωρήσωμεν, δεδόσθω ταῖς ἐν-
εργείαις τὰς οὐσίας γινώσκεσθαι. οὐκοῦν ἡ πρώτη οὐσία
διὰ τοῦ ἐξ αὐτῆς ἔργου γνωρίζεται καὶ τὴν δευτέραν ὡσαύτως
τὸ ἔργον τὸ παρ' αὐτῆς γενόμενον δείκνυσι. τὴν τρίτην
τοίνυν εἰπέ, ὦ σοφώτατε, τί τὸ δεικνύον ἐστί, μηδενὸς ἔργου

VLACTS 1 τὸν υἱὸν: τὴν οὐσίαν S 3-4 περιμετρούμενος v 6 τις om CT 7 τῶν . . . ἀποτελεσθέντων V 9 οὐ δὲ scripsi: οὐδὲ (ἀλλ' οὐκ vitat propter sequens ἀλλὰ) τὴν om T φύσιν om L 10 πόσον VLAS τὸ supplevi cf 17 11 ἐν om T 17 τὸ ποσόν VL: πόσον ACTS ποσὸν v 18 εἰ διὰ: ἡ διὰ VL 19 ὅπερ om A v 21 ὁ λόγος σύστασιν V 22 δὲ om L 23 τε τῆς L 25 τοῦτο: τοῦ L διδόσθω T 28 γινόμενον ACTS v

τοιούτου τῆς τρίτης οὐσίας θεωρουμένου. εἰ γὰρ ταῖς ἐν-
εργείαις, ὡς σὺ φῄς, αἱ οὐσίαι καταλαμβάνονται, ἀκατάλη-
πτον εἶναι τὴν τοῦ πνεύματος φύσιν ὁμολογήσεις, οὐκ ἔχων
κατὰ τὸ προσεχὲς τοιαύτην ἐνέργειαν καὶ τούτου παραστη-
σάμενος δι' ἐκείνης τὴν τοῦ πνεύματος φύσιν ἀναλογίσασθαι.
427 ἢ τοίνυν δεῖξόν τι οὐσιῶδες ἔργον τοῦ πνεύματος, δι' οὗ
κατειληφέναι φῄς τὴν οὐσίαν τοῦ πνεύματος, ἢ ὅλος ὑμῖν
ὁ ἱστὸς τῆς ἀράχνης τῇ ἐπαφῇ τοῦ λόγου περιρρυήσεται.
εἰ γὰρ ἐκ τῆς προσεχοῦς ἐνεργείας ἡ οὐσία γνωρίζεται
κατὰ τὸν ὑμέτερον λόγον, ἐνέργεια δὲ οὐσιώδης τοῦ πνεύ-
ματος οὐδεμία, καθάπερ τοῦ πατρὸς μὲν τὸν υἱόν, τοῦ δὲ
υἱοῦ τὸ πνεῦμά φατε, ἀνεπίγνωστος πάντως ἡ τοῦ πνεύ-
ματος φύσις καὶ ἀκατάληπτος διὰ τούτων συνωμολόγηται,
μηδεμιᾶς αὐτὴν ἐνεργείας τῆς καθ' ὑπόστασιν νοουμένης
428 παραδηλούσης. εἰ δὲ τοῦτο διαπέφευγε τὴν κατάληψιν,
πῶς διὰ τοῦ μὴ κατειλημμένου ἡ ὑπερκειμένη οὐσία κατα-
λαμβάνεται; εἰ γὰρ ἀγνοεῖται τοῦ υἱοῦ τὸ ἔργον, ὅπερ
ἐστίν, ὥς φασι, τὸ πνεῦμα, οὐδ' ἂν ἐκεῖνος ἐπιγνωσθείη
πάντως, τῇ ἀδηλίᾳ τοῦ τεκμηριοῦντος συσκιαζόμενος· καὶ
εἰ τοῦ μονογενοῦς ἡ οὐσία τῷ τρόπῳ τούτῳ διαλανθάνει,
πῶς διὰ τῆς λανθανούσης ἡ ἀνωτάτω καὶ κυριωτάτη
φανερωθήσεται, τῆς τοῦ πνεύματος ἀδηλίας κατὰ ἀνάλυσιν
διὰ τοῦ υἱοῦ πρὸς τὸν πατέρα διαδοθείσης; ὡς ἐκ τούτων
σαφῶς ἀποδείκνυσθαι καὶ διὰ τῆς τῶν ἐχθρῶν μαρτυρίας
429 τὸ ἀκατάληπτον εἶναι πάντῃ τοῦ πατρὸς τὴν οὐσίαν. πόθεν
οὖν ὁ ὀξυδερκὴς οὗτος ὁ τὰ ἀνύπαρκτα βλέπων τὴν τῶν
ἀφανῶν τε καὶ ἀκαταλήπτων φύσιν δι' ἀλλήλων αὐτός τε
βλέπει καὶ ἡμῖν ἐγκελεύεται, ἐκ τῶν ἔργων τὰς οὐσίας καὶ
ἐξ ἐκείνων τὰ ἔργα λέγων καταλαμβάνεσθαι;

VLACTS 1 τρίτης: θείας CT 2 ὡς: καθὼς VL 3 ὁμολογήσεις φύσιν V φύσιν ἀναλογίσασθαι L (cf ad v 5) 5 ἐκείνου VL ἀναλογίσασθαι φύσιν V 6 ἔργον οὐσιῶδες VL 7 ὑμῖν: ἡμῖν AT 10 ἡμέτερον v 11-12 υἱοῦ δὲ CT v 12 καὶ post πάντως add V 15 διαπέφευγε τοῦτο V πέφευγε CT 16 διὰ om A v 18 φησι S (cf 7 et 12) 20 εἰ: ἡ L διαλανθάνοι A 23 διὰ om V 25 πάντῃ om V

430 Ἀλλὰ καὶ τὸν ἐφεξῆς λόγον ἐπισκοπήσωμεν. καὶ τὴν ἐπὶ ταῖς ἐνεργείαις φησὶν ἀμφιβολίαν διαλύειν ἐκ τῶν οὐσιῶν. πῶς ἄν τις αὐτὸν ἐκ τῶν ματαίων ὑπολήψεων ἐπὶ τοὺς ἀνθρωπίνους λογισμοὺς μεταγάγοι; τὰς ἐπὶ ταῖς ἐνεργείαις ἀμφιβολίας οἴεται δυνατὸν εἶναι διὰ τῆς καταλήψεως τῶν οὐσιῶν διαλύεσθαι; πῶς διὰ τῶν μὴ κατειλημ-
431 μένων τὸ ἀμφιβαλλόμενον εἰς πίστιν ἄγει; εἰ μὲν γὰρ κατείληπτο ἡ οὐσία, τίς χρεία πολυπραγμονεῖσθαι τὴν ἐνέργειαν, ὡς δι' ἐκείνης μελλόντων ἡμῶν τῇ καταλήψει τοῦ ζητουμένου προσάγεσθαι; εἰ δὲ διὰ τοῦτο ἀναγκαία ἡ τῆς ἐνεργείας ἐξέτασις, ὡς ἂν διὰ ταύτης πρὸς τὴν σύνεσιν τῆς ἐνεργούσης αὐτὴν οὐσίας ὁδηγηθείημεν, πῶς ἡμῖν ἡ μήπω γνωσθεῖσα φύσις τὴν ἐπὶ ταῖς ἐνεργείαις ἀμφιβολίαν δια-
385 M. λῦσαι δυνήσεται; παντὸς γὰρ πράγματος ἀμφιβαλλομένου
432 διὰ τῶν ὁμολογουμένων αἱ ἀποδείξεις γίνονται. ὅταν δὲ ἐπίσης ἐν ἀμφοτέροις ᾖ τοῖς ζητουμένοις τὸ ἄδηλον, πῶς τὰ δι' αὐτῶν ἀγνοούμενα δι' ἀλλήλων καταλαμβάνεσθαί
433 φησιν ὁ Εὐνόμιος; ἀμφιβαλλομένης γὰρ τῆς τοῦ πατρὸς οὐσίας, διὰ τῆς παρεπομένης αὐτῷ ἐνεργείας καὶ τοῦ παρὰ ταύτης ἀποτελεσθέντος ἔργου φανεροῦσθαι τὸ ζητούμενον λέγει· πάλιν δὲ τῆς τοῦ μονογενοῦς οὐσίας ζητουμένης ἥτις ἐστίν, ὃν εἴτε ἐνέργειαν εἴτε τι τῆς ἐνεργείας ἀποτέλεσμα λέγει (κέχρηται γὰρ ἑκατέρῳ τῶν λόγων), ἐκ τῆς τοῦ πεποιηκότος φησὶν οὐσίας εὔκολον εἶναι διαλύειν τὴν περὶ τοῦ μονογενοῦς ἀμφισβήτησιν.
434 Ἡδέως δ' ἂν καὶ τοῦτο παρ' αὐτοῦ μάθοιμι. ἐπὶ μόνης τῆς θείας φύσεως τὴν ἐπὶ ταῖς ἐνεργείαις ἀμφιβολίαν ἐκ τῆς ἐργασαμένης οὐσίας διαλύεσθαι λέγει, ἢ καὶ ἐπὶ παντὸς πράγματος, ᾧ τις δύναμις ποιητικὴ συνυπάρχει, διὰ τῆς τοῦ ποιοῦντος οὐσίας καὶ τὴν τῶν γεγονότων φύσιν ἐπι-

VLACTS 2-4 verba ἐπὶ ταῖς usque ad λογισμοὺς om A v 4 καὶ ante τὰς v om libri (S legi non potest) 7 ἀμφιβαλλόμενον: ἀμφίβολον V 7-8 κατείληπται VL sed πτ in ras L 9-10 τὸ ζητούμενον T 12 αὐτῆς V 14 γὰρ om VL 22 τι om A v τῆς διενεργίας L 28 καὶ om T

γινώσκει; εἰ μὲν οὖν ἐπὶ μόνης τῆς θείας δυνάμεως τὸ τοιοῦτον ἀποφαίνεται δόγμα, δειξάτω πῶς τὴν ἀμφισβήτησιν τῶν τοῦ θεοῦ ἔργων διαλύει διὰ τῆς τοῦ ἐνεργή-
435 σαντος φύσεως. ἰδοὺ γὰρ ἀναμφίβολον ἔργον θεοῦ οὐρανὸς γῆ θάλασσα, ὅλος ὁ κόσμος. ζητείσθω δὲ καθ' ὑπόθεσιν τούτων ἑνὸς ἡ οὐσία, καὶ ἔστω οὐρανὸς τῇ θεωρίᾳ τοῦ λόγου προκείμενος. ἀμφιβαλλομένης τοίνυν τοῦ οὐρανοῦ τῆς οὐσίας διὰ τὰς ποικίλας ἐπὶ τούτῳ δόξας τῶν διαφόρως κατὰ τὸ φανὲν ἑκάστῳ περὶ αὐτοῦ φυσιολογούντων, πῶς ἡμῖν ἐπάγει τὴν διάλυσιν τῆς τοῦ ζητουμένου ἀμφιβολίας ἡ τοῦ πεποιηκότος τὸν οὐρανὸν θεωρία; ἐκεῖνος ἄϋλος ἀόρατος ἀσχημάτιστος ἀγέννητός τε καὶ εἰσαεὶ διαμένων, φθορᾶς καὶ τροπῆς καὶ ἀλλοιώσεως καὶ τῶν τοιούτων πάν-
436 των ἀνεπίδεκτος μένων. πῶς οὖν ὁ τοιαύτην περὶ τοῦ ἐνεργήσαντος λαβὼν τὴν διάνοιαν πρὸς τὴν ἐπίγνωσιν τῆς τοῦ οὐρανοῦ φύσεως ἐναχθήσεται; πῶς ἐκ τοῦ ἀοράτου τὸ ὁρατόν, ἐκ τοῦ ἀφθάρτου τὸ φθορᾷ ὑποκείμενον, ἐκ τοῦ ἀγεννήτως ὄντος τὸ ἀπὸ χρόνου τὴν σύστασιν ἔχον, ἐκ τοῦ εἰσαεὶ διαμένοντος τὸ πρόσκαιρον κεκτημένον τὴν ὕπαρξιν, καὶ ἐκ πάντων τῶν ἐναντίων τὴν περὶ τοῦ ζητουμένου ποιή-
437 σεται κατανόησιν; εἰπάτω ὁ περιεσκεμμένος δι' ἀκριβείας τὰ ὄντα, εἰπάτω πῶς ἐστι δυνατὸν τὰ ἀνομοίως κατὰ τὴν φύσιν ἔχοντα δι' ἀλλήλων ἐπιγινώσκεσθαι. καίτοι γε δι' αὐτῶν τούτων ὧν αὐτός φησιν, εἴπερ τοῖς ἰδίοις κατακολουθεῖν ἠπίστατο λόγοις, ὡδηγήθη ἂν πρὸς τὴν τοῦ ἐκ-
438 κλησιαστικοῦ δόγματος συγκατάθεσιν. εἰ γὰρ ἡ τοῦ ποιήσαντος φύσις τὸ παρ' αὐτῆς γεγενημένον δείκνυσι, καθὼς οὗτός φησι, ποίημα δὲ κατ' αὐτοὺς ὁ υἱός ἐστι τοῦ πατρός, πάντως ὁ τὴν τοῦ πατρὸς φύσιν κατανοήσας καὶ τὴν τοῦ μονογενοῦς δι' ἐκείνης ἐγνώρισεν, εἴπερ ἡ τοῦ ἐνεργήσαντος φύσις τὸ ἐνεργηθὲν ἀπεσήμηνεν, ὡς καὶ διὰ

VLACTS 4 ὁ ante οὐρανὸς add V 6 ὁ ante οὐρανὸς add S 7-8 τῆς οὐσίας τοῦ οὐρανοῦ S 8 τούτων V 26 δόγματος κατανόησιν καὶ συγκατάθεσιν V 28 οὗτός: αὐτός C 31 ὑπεσήμηνεν CT

τούτου τὸν τῆς ἀνομοιότητος αὐτοῖς . . . .
. . . .
. . . .
439 . . . μονογενῆ τῶν τῆς προνοίας ἔργων ἀποσχοινίζεσθαι.
μηδὲν πολυπραγμονείσθω ἡ γέννησις μηδὲ βεβιασμένως
388 M. ἐκεῖθεν ἡ ἀνομοιότης τοῦ μονογενοῦς διελεγχέσθω. αὐτάρ-
κης γὰρ καὶ ἡ τῶν προαιρέσεων διαφορὰ τὴν τῆς φύσεως
440 ἑτερότητα φανερῶσαι. διότι ἁπλῆς εἶναι συνομολογηθείσης
καὶ παρὰ τῶν ἐναντίων τῆς πρώτης οὐσίας, ἐπάναγκές ἐστι
τῇ φύσει σύνδρομον ἐννοεῖν τὴν προαίρεσιν, τῆς δὲ προαιρέ-
σεως ἀγαθῆς διὰ τῆς προνοίας ἀποδειχθείσης, ἀγαθὴ συν-
απεδείχθη καὶ ἡ φύσις, ἀφ' ἧς ἡ προαίρεσις. μόνου δὲ
τοῦ πατρὸς τὰ ἀγαθὰ ἐνεργοῦντος, τοῦ δὲ υἱοῦ μὴ τὰ
αὐτὰ προαιρουμένου (λέγω δὲ καθ' ὑπόθεσιν τῶν ἐναντίων
ἕνεκεν), πρόδηλος ἂν ἦν ἡ κατὰ τὴν οὐσίαν διαφορὰ τῷ
441 παρηλλαγμένῳ τῶν προαιρέσεων μαρτυρουμένη. εἰ δὲ προ-
νοεῖ μὲν ὁ πατὴρ τῶν ἁπάντων, προνοεῖ δὲ ὡσαύτως καὶ
ὁ υἱός (ἃ γὰρ βλέπει τὸν πατέρα ποιοῦντα, καὶ ὁ υἱὸς
ὁμοίως ποιεῖ), ἡ τῶν προαιρέσεων ταὐτότης τὸ κοινὸν τῆς
φύσεως τῶν τὰ αὐτὰ προαιρουμένων πάντως ἐνδείκνυται.
διὰ τί οὖν ἀτιμάζεται ὁ τῆς προνοίας λόγος, ὡς οὐδεμίαν
442 παρέχων πρὸς τὸ ζητούμενον τὴν συνεργίαν; καίτοι πολλὰ
καὶ τῶν κατὰ τὸν βίον ὑποδειγμάτων τῷ ἡμετέρῳ λόγῳ
συναγωνίζεται· λέγω δὲ ἀπὸ τῶν πᾶσι γνωρίμων τὰ ὑπο-
δείγματα. ὁ τοῦ πυρὸς τὸ φῶς τεθεαμένος καὶ τῆς θερ-
μαντικῆς αὐτοῦ δυνάμεως εἰς πεῖραν ἐλθών, εἰ ἄλλῳ τοι-

VLACTS 1 αὐτοῖς: αὐτῆς T v post αὐτοῖς lacunam statui, ipsa sententia ita suppleri potest διελέγχεσθαι λόγον. de initio sequentis sententiae nihil certi explorari potest nisi novum exordium ibi factum esse a nova Eunomii citatione, e qua p 156, 5sq nonnulla verba iterantur, quae nondum allata fuerant: maior igitur lacuna est. cap 29 incipit p 148, 26 at cap 32 p 156, 4 ordiri constat. in lacuna igitur periit totum cap 30 (cf p 6) et magna pars capitis 31   4 ἀποσχοινίζουσι VL ex coniectura, ut hiatum explerent   5 γένεσις VLAS v   6 τοῦ: ἡ τοῦ S   ἐλεγχέθω A v

οὕτω φωτὶ καὶ θερμότητι τοιαύτῃ πελάσειε, δηλονότι πρὸς
τὴν τοῦ πυρὸς ἔννοιαν ἀναχθήσεται, ἐκ τῆς ὁμοιότητος
τῶν φανέντων αὐτῷ διὰ τῆς αἰσθήσεως πρὸς τὴν συγγένειαν
τῆς ἀπεργασαμένης αὐτὰ φύσεως ἐναγόμενος· οὐ γὰρ ἄν τι
443 κατὰ πάντα τὰ τοῦ πυρὸς ἐνεργήσειε μὴ πῦρ ὄν. οὕτως
εἴπερ ὅμοιον καὶ ἴσον τὸν αὐτὸν τῆς προνοίας λόγον τῷ τε
πατρὶ καὶ τῷ υἱῷ <ἐγ>καθορῶμεν, διὰ τῶν εἰς τὴν ἡμε-
τέραν γνῶσιν φθανόντων καὶ τῶν ὑπερπιπτόντων τὴν κατά-
ληψιν ἡμῶν στοχαζόμεθα, ὡς οὐκ ἂν τοῦ ἑτερογενοῦς κατὰ
τὴν φύσιν τοῖς ἴσοις τε καὶ ὁμοίοις ἐνεργήμασι καταλη-
φθέντος. καὶ γὰρ ὅπως ἂν ἔχῃ πρὸς ἄλληλα τὰ ἐπιφαινό-
μενα ἑκάστῳ γνωρίσματα, οὕτως ἐξ ἀνάγκης καὶ τὰ ὑπο-
444 κείμενα ἕξει. καὶ εἰ μὲν ἐναντίως ἔχει τὰ γνωρίσματα,
ἐναντία χρὴ πάντως λογίζεσθαι καὶ τὰ διὰ τούτων δηλού-
μενα, εἰ δὲ ταῦτα ὡσαύτως, οὐδὲ ἐκεῖνα ἑτέρως. καὶ
ὥσπερ δι' αἰνίγματος τῆς τῶν δένδρων φύσεως τοὺς καρ-
ποὺς ὁ κύριος εἶναί φησι τὰ σημεῖα, ὡς οὐκ ἐπαλλασσο-
μένων παρὰ φύσιν τῶν τοιούτων, οὐδὲ τοῖς κακοῖς τῶν
ἀγαθῶν οὐδὲ τὸ ἔμπαλιν τοῖς καλοῖς τῶν ἐναντίων ἐφαρ-
μοζόντων (ἐκ γὰρ τῶν καρπῶν, φησί, τὰ δένδρα γνωρίζεται),
οὕτω καὶ τοῦ καρποῦ τῆς προνοίας οὐδεμίαν ἔχοντος δια-
φοράν, μίαν ὁρῶμεν καὶ τὴν τοὺς καρποὺς τούτους ἐκ-
βλαστήσασαν φύσιν, κἂν ἐκ διαφόρων ὁ καρπὸς τῶν δέν-
445 δρων προβάλληται. οὐκοῦν διὰ τῶν τῇ ἡμετέρᾳ καταλήψει
γνωρίμων (γνώριμος δὲ ἡμῖν ἐστι τῆς προνοίας ὁ λόγος
ὡσαύτως ἐπὶ πατρός τε καὶ υἱοῦ θεωρούμενος) ἀναμφί-

20 Matth 7, 16

VLACTS 1 τοιαύτῃ θερμότητι S   2 ἀπαχθήσεται libri v, correxi cf 156, 6 (4 ἐναγ. cf 153, 16)   3 διὰ τῆς αἰσθήσεως om A v   4 ἐναγομένης V   5 ἐνεργήσειε: ἐναργῆ εἶεν V ἐναργὴς εἶναι L   6 in τὸν αὐτὸν suspicio movetur correctionis dogmaticae, sed tamen nihil mutandum esse videtur   7 καθορῶμεν libri v, correxi   8 φθασάντων CT   9 ἑτερογενοῦς: ἑτέρου γένους VL   10 τε om v   11 καὶ γὰρ om VL   12 γνωρίσματι L sed α sscr man ead   16 ὥσπερ om v   17 εἶναί φησιν ὁ κύριος T   19 καλοῖς: κακοῖς L   21 καὶ om VLS   μηδεμίαν S

βολος γίνεται καὶ ἡ κατὰ τὴν φύσιν ὁμοιότης καὶ κοινωνία τοῦ μονογενοῦς πρὸς τὸν πατέρα, διὰ τῆς ταὐτότητος τῶν καρπῶν τῆς προνοίας γνωριζομένη.

446 Ἀλλ' ἵνα μὴ τοῦτο νοηθῇ, ὡς ἐξ ἀνάγκης τινὸς βιασθεὶς ἀποστῆναι μὲν λέγει τῶν τῆς προνοίας **389 M.** ἔργων, ἀναχθῆναι δὲ ἐπὶ τὸν τῆς γεννήσεως τρόπον, διὰ τὸ ἀκολουθεῖν, φησί, τῷ τῆς γεννήσεως τρόπῳ τὸν τρόπον τῆς ὁμοιότητος. ὢ τῆς ἀνάγκης τῶν ἀποδείξεων· ὡς βιαίως ἡμᾶς ἡ περιουσία τῆς ἐν τῷ λέγειν τέχνης καταναγκάζει τοῖς εἰρημένοις συντίθεσθαι. ἀκολουθεῖν λέγει τῷ τρόπῳ τῆς **447** γεννήσεως τὸν τρόπον τῆς ὁμοιότητος. ὅσον τὸ τεχνικὸν καὶ περιεσκεμμένον τῆς ἀποφάσεως. οὐκοῦν ἂν γνωρισθῇ τρόπος γεννήσεως, συναπεδείχθη τούτῳ καὶ ὁ τρόπος τῆς ὁμοιότητος. ἐπειδὴ τοίνυν τῶν διὰ σαρκὸς τικτομένων ζῴων πάντων ἢ τῶν πλείστων ὁ αὐτός ἐστι τῆς γεννήσεως τρόπος, ἀκολουθεῖ δὲ κατ' αὐτοὺς τῷ τρόπῳ τῆς γεννήσεως ὁ τρόπος τῆς ὁμοιότητος, πάντα τὰ κατὰ τὸν αὐτὸν τρόπον τικτόμενα ὁμοίως ἕξει πάντως πρὸς τὰ ὁμοίως γεννώμενα. [τὰ γὰρ τῷ αὐτῷ ὅμοια καὶ **448** ἀλλήλοις ἐστὶν ὅμοια.] εἰ οὖν ὁ τῆς γεννήσεως τρόπος, καθώς φησιν ὁ τῆς αἱρέσεως λόγος, ἑαυτῷ τὸ τικτόμενον ὁμοιοῖ, οὗτος δὲ κατ' οὐδὲν ἐν ταῖς ποικίλαις τῶν ζῴων διαφοραῖς ἀλλοιοῦται, ἀλλ' ὁ αὐτὸς ἐπὶ τῶν πλείστων ἐστίν, εὑρεθήσεται ἡ καθόλου καὶ δίχα τινὸς διορισμοῦ γενομένη

VLACTS 1 τὴν om S 6 ἔργων: λόγων VL fortasse ex p 155, 6, 155, 25 et 159, 12 repetitum ἀναδειχθῆναι V 6-7 τὸν τῆς γεννήσεως τρόπον: haec verba Eunomii iam in lacuna initio § 439 exstitisse ibique intercidisse indicio sunt verba ibi sequentia (p 154, 5 μηδὲν πολυπραγμονείσθω ἡ γέννησις) 7 τρόπον: λόγον V 13-14 ἂν γνωρισθῇ correxi: ἂν γνωρισθείη VLAC (ἀν γνωρ.)S v ἀναγνωρισθείη T 14 τῆς ante γεννήσεως add V τοῦτο L 19 verba ὁμοίως usque ad 20 πρὸς τὰ om V πάντως om T 20 γεννώμεθα S verba inde a τὰ γὰρ τῷ usque ad 21 ἐστὶν ὅμοια om A v, scholium delevi 21 ἐστὶν ante ὅμοια om CT 25 εὑρεθήσεται καὶ ἡ κ. S καὶ om CT

ἀπόφασις πάντα ἀλλήλοις ὅμοια κατασκευάζουσα διὰ τὸ τῆς γεννήσεως ὅμοιον, ἄνθρωπον κύνα κάμηλον μῦν ἐλέφαντα πάρδαλιν καὶ τὰ ἄλλα πάντα, ὅσα κατὰ τὸν ὅμοιον **449** τρόπον τίκτεσθαι πέφυκεν. ἢ οὐκ ἀλλήλοις φησὶν ὅμοια τὰ παραπλησίως τικτόμενα, ἀλλ' ἕκαστον ἐκείνῳ μόνῳ, παρ' οὗ τὴν γένεσιν ἔχει; ἀλλ' εἰ τοῦτο λέγειν ἐβούλετο, τῷ τίκτοντι ὅμοιον ἔδει τὸ τικτόμενον ἀποφήνασθαι, οὐχὶ τρό- **450** πῳ γεννήσεως ὁμοιότητος τρόπον. ἀλλ' ὃ μὲν εἰκός ἐστι καὶ ἐν τῇ φύσει θεωρεῖται, τὸ ὁμοιογενὲς εἶναι τῷ γεννῶντι τὸ γεννώμενον, τοῦτο οὐ δέχεται, ὡς ἂν μὴ εἰς τοὐναντίον αὐτῷ περιτραπείη τὸ κατασκεύασμα. εἰ γὰρ τῷ γεννῶντι τὸ τικτόμενον ὅμοιον ἔλεγε, φροῦδα πάντα καὶ ἀνυπόστατα τὰ φιλοπόνως αὐτῷ συντεθέντα περὶ τῆς ἀνομοιότητος τῶν οὐσιῶν ἀπηλέγχετο.

451 Νυνὶ δὲ τρόπῳ γεννήσεως τρόπον φησὶν ὁμοιότητος ἕπεσθαι. τοῦτο δὲ τοῖς ἀκριβῶς ἐπισταμένοις ἐξετάζειν ἐννοίας λόγων ἀδιανόητον παντελῶς πῶς οὐχ εὑρεθήσεται; τί γὰρ δεῖ νοῆσαι γεννήσεως τρόπον ἀκούσαντα, πάνυ τῶν ἀπόρων ἐστί. τὸ σχῆμα τοῦ ἀποτίκτοντος ζῴου λέγει ἢ τὴν ὁρμὴν ἢ τὴν διάθεσιν ἢ τόπον ἢ χρόνον ἢ τὸ διὰ συλλήψεως τελειοῦσθαι τὸ ἔμβρυον; ἢ αὐτῶν τῶν γεννητικῶν μέμνηται τόπων; ἢ ταῦτα μὲν οὐχί, ἕτερον δὲ τῶν κατὰ τὴν γέννησιν θεωρουμένων λέγει; καὶ **452** πῶς ἂν μάθοιμεν τὸ λεγόμενον; τὸ γὰρ ἄκυρον καὶ ἀσήμαντον τῆς τοῦ τρόπου λέξεως ἐπιδιστάζειν ἡμᾶς τοῖς σημαινομένοις παρασκευάζει, ἐπίσης πάντων ταῖς ὑπονοίαις ὑποπιπτόντων καὶ κατ' ἴσον ἑκάστου τὸ ἀσυνάρτητον πρὸς τὸ προκείμενον ἐχόντων. ὡσαύτως δὲ καὶ ὅ φησιν ὁμοιό-

VLACTS 4 φήσει S 5 ἐκεῖνο μόνον S 6 interrogationem indicavi 9 καὶ ante εἰκός add VL καὶ om S θεωρεῖσθαι S ὁμοιογεννὲς V ὁμογενὲς CT 11 εἰς om v 12 λέγεται V συντιθέντα VL 15 φησὶν τρόπον V 17 λόγον VLCS v λόγωι A ἀνόητον L πῶς οὐχ S: πῶς om VLACT πῶς οὐχ om A v 18 τί δεῖ γὰρ V 18-19 ἀκούσαντες v 20 ζῴου om A v 23 δέ τι τῶν L 24 μάθωμεν v 25 ὑμᾶς S 27-28 ἐχόντων πρὸς τὸ προκείμενον T

τητος τρόπον οὑτωσὶ λεγόμενον, ἀλλότριον πάσης δια-
νοίας ὑπονοοῦμεν πρὸς τὰ ὑποδείγματα τῶν διὰ τῆς συνη-
453 θείας γνωρίμων ἀποσκοποῦντες. οὐ γὰρ πρὸς τὸ εἶδος ἢ
τὸν τρόπον τοῦ τόκου καὶ τὸ γεννώμενον ὁμοιοῦται. ὁ
μὲν γὰρ τόκος ἐπὶ τῆς διὰ σαρκὸς γεννήσεως σώματός
392 M. ἐστι διαστολή, τὸ τελειωθὲν ζῷον ἐν τῇ διαπλάσει τῶν
σπλάγχνων ἐπὶ τὸ ἔξω προάγουσα, τὸ δὲ γεννώμενον ἄν-
θρωπός ἐστιν ἢ ἵππος ἢ βοῦς ἢ ὅ τι ἂν τύχῃ διὰ γεννή-
454 σεως ὑφιστάμενον. πῶς τοίνυν ὁ τῆς ὁμοιότητος τοῦ
τικτομένου τρόπος ἕπεται τῷ τρόπῳ τῆς γεν-
νήσεως, εἰπάτω αὐτὸς οὗτος ἢ εἴ τις ὑπ' αὐτοῦ τὴν
μαιευτικὴν ἐπαιδεύθη τέχνην. ἄλλο γάρ τι ὁ τόκος καὶ
τὸ ἐκ τοῦ τόκου ἄλλο καὶ διάφορος ἐφ' ἑκατέρου ὁ λόγος.
Ὅτι μὲν οὖν ἐπὶ τῶν διὰ σαρκὸς τικτομένων ψεῦδός
ἐστι τὸ λεγόμενον, οὐδεὶς ἂν ἀντείποι τῶν νοῦν ἐχόντων.
455 εἰ δὲ τὸ ποιεῖν καὶ τὸ κατασκευάζειν τρόπον γεν-
νήσεως ὀνομάζει, ᾧ ἕπεσθαι τὸν τρόπον τῆς τοῦ
γινομένου φησὶν ὁμοιότητος, καὶ οὕτως ὁ λόγος
τοῦ εἰκότος κεχώρισται. οὑτωσὶ δὲ διὰ τῶν ὑποδειγμάτων
σκοπήσωμεν. πληγαῖς τυποῦται σίδηρος πρός τι τῶν ἐν τῷ
βίῳ χρησίμων παρὰ τοῦ δημιουργοῦντος σχηματιζόμενος.
456 τὸ οὖν σχῆμα τῆς ἄμης, ἂν οὕτω τύχῃ, πῶς ὁμοιοῦται
τῇ χειρὶ τοῦ τεχνίτου ἢ τῷ τρόπῳ τῆς κατασκευῆς οἷον
σφύραις καὶ ἄνθραξι καὶ φύσαις καὶ ἄκμονι, δι' ὧν αὐτὴν
ὁ δημιουργὸς ἀνετυπώσατο, οὐκ ἄν τις εἰπεῖν ἔχοι· τὸ δὲ
ἐπὶ τοῦ ἑνὸς ὑποδείγματος εἰρημένον πᾶσιν ἐφαρμόζει τοῖς
διά τινος κατασκευῆς ἀπεργασθεῖσιν, ὅτι τῷ τρόπῳ τῆς
457 γεννήσεως τὸ γινόμενον οὐδαμῶς ὁμοιοῦται. τί γὰρ
κοινὸν ἔχει τὸ εἶδος τοῦ ἱματίου πρὸς τὸ πηνίον ἢ τοὺς

VLACTS 1 τρόπου v 3 πρὸς om v 11 ὁ ante αὐτὸς add VL 11-12 τὴν μαιευτικὴν libri (ευτικὴν L): μαιεύτριαν v 12 τι om A v 13 ἐφ' om A v 14 ψευδὲς T 15 ἂν om V 16-17 γε-νέσεως LCTS 17 ᾧ: ὡς VCTS 18 οὗτος VL 20 τῷ om CT 22 ἀκμῆς libri v, corr Wilamowitz τύχῃ οὕτω, πῶς S οὕτω τύχῃ πως, AT 24 σφύραις καὶ ἄκμονι καὶ φύσαις καὶ ἄνθραξι V ἄκμοσι S 25 ἐτυπώσατο VL ἐνετυπώσατο S 29 τὸ πηνίον ἢ om V πήνιον L

κανόνας ἢ τὴν κερκίδα ἢ ὅλως πρὸς τὸν τρόπον τῆς τοῦ
ὑφάντου κατασκευῆς; τί δὲ τὸ βάθρον πρὸς τὴν τῶν ξύλων
ἀπεργασίαν ἢ ἄλλο τι τῶν γινομένων πρὸς τὸ σχῆμα τοῦ
κατεργασαμένου;
458 Ἀλλ' ἐν μὲν τοῖς αἰσθητοῖς καὶ σωματικοῖς ἀργεῖν
τὸν λόγον τοῦτον καὶ αὐτοὺς οἶμαι τοὺς ἐναντίους συντί-
θεσθαι. ὑπόλοιπον δ' ἂν εἴη σκοπεῖν, εἴ τινα συντέλειαν
πρὸς τὴν τῆς βλασφημίας κατασκευὴν συνεισφέρεται. τί
οὖν τὸ ζητούμενον ἦν; τὸ δεῖν κατὰ τὴν οὐσίαν ὁμοίως ἢ
ἀνομοίως ἔχειν τῷ πατρὶ τὸν υἱὸν ὁμολογεῖσθαι, ὅπερ
διὰ τὸ μὴ δύνασθαι, φησίν, ἐκ τῶν τῆς προνοίας
λόγων μαθεῖν ἐπὶ τὸν τῆς γεννήσεως ἀνεληλυθέναι
τρόπον, ὡς διὰ τούτου γνῶναι οὐχὶ τὸν γεννηθέντα,
εἰ ὁμοίως ἔχει πρὸς τὸν γεννήσαντα, ἀλλά τινα ὁμοιό-
τητος τρόπον, καὶ διὰ τὸ τοῖς πολλοῖς ἄγνωστον
εἶναι τοῦτον, διὰ τοῦτο τὴν γεννήσασαν οὐσίαν περιεργά-
ζεσθαι. ἆρα οὖν ἐπιλέλησται τῶν ἰδίων διορισμῶν, ἐν οἷς
φησιν ἐκ τῶν ἔργων δεῖν τὰς οὐσίας καταλαμ-
459 βάνεσθαι; τῆς οὖν γεννηθείσης οὐσίας, ἣν ἔργον ὀνο-
μάζει τῆς ὑπερκειμένης, μηδέπω φανερωθείσης πῶς ἔχει
κατὰ τὴν φύσιν; πῶς ὑπερβὰς τό, ὡς αὐτὸς λέγει, κα-
τώτερον καὶ διὰ τοῦτο τῇ καταλήψει τῶν ζητούντων
προσεχέστερον, τῇ κυριωτάτῃ καὶ ἀνωτάτῃ προσ-
φύεται; καὶ τὸ ἀκριβῶς εἰδέναι τὰς θείας φωνὰς ἐν τῷ
καθ' αὐτὸν λόγῳ κατασκευάζων, νῦν κἀκείνων ὀλίγον ποι-
εῖται τὸν λόγον, ὥσπερ ἀγνοῶν ὅτι οὐκ ἔστι τῇ γνώσει τοῦ
πατρὸς προσβῆναι μὴ διὰ τοῦ υἱοῦ προσεγγίσαντα; Οὐδεὶς

28 Matth 11, 27

VLACTS 6 ὑπεναντίους συνθήσεσθαι V 10 his verbis quasi commentario ad verba p 156, 5 illustranda egemus 12 λόγων cf 156, 6 neglegenter citat 14 εἰ ἀνομοίως V εἰ om L 17 ἐπιλελῆσθαι L 18 τῆς οὐσίας T 20 μήπω δὲ V 21 ὅπως V 22 ζητουμένων S 23 ἀνωτάτω S 24 verba inde a καὶ τὸ ἀκριβῶς usque ad φωνὰς bis V 25 καθ' ἑαυτὸν VL κατ' αὐτὸν v ὀλίγων L

γάρ, φησίν, ἔγνω τὸν πατέρα, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἂν
βούληται ὁ υἱὸς ἀποκαλύψαι.
393 M. Ἀλλ' οὗτος ἐν οἷς μὲν ἂν μέλλῃ καθυβρίζειν τὰς
460 εὐσεβεῖς καὶ τῇ θεότητι πρεπούσας τοῦ μονογενοῦς ὑπο-
λήψεις, ἐλάττονα εἶναι λέγει γυμνῇ τῇ φωνῇ, ἐν δὲ τῇ
ἐπινοίᾳ τῆς γνώσεως τῶν θείων λανθάνει τὸ μεῖζον ἐπ'
αὐτοῦ κατασκευάζων, εἴπερ τὴν τοῦ πατρὸς οὐσίαν ὡς
ἑτοιμοτέραν εἰς κατανόησιν καταλαβὼν δι' ἐκείνης ἀνι-
χνεύειν πειρᾶται καὶ συλλογίζεσθαι τοῦ υἱοῦ τὴν φύσιν.
461 ἄνεισι γοῦν ἐπὶ τὴν γεννήσασαν οὐσίαν καὶ δι' ἐκείνης
τὴν γεννηθεῖσαν ἐπισκοπεῖ· διὰ τὸ τῇ φυσικῇ, φησί,
τοῦ γεννήσαντος ἀξίᾳ δείκνυσθαι τὸν τῆς γεν-
νήσεως τρόπον. πάλιν τοῦτο ἁπλῶς καὶ ἀδιορίστως
παραρριφὲν ἐπὶ πάντα παραπλησίως διαχεῖσθαι παρασκευ-
άζει τοῦ ζητοῦντος τὴν ἔννοιαν. τοιαῦτα γάρ ἐστι καθο-
λικῶς τὰ δογματιζόμενα, ὡς ἐπὶ πάντα φέρεσθαι ταῖς ὑπο-
νοίαις καὶ μηδὲν ὑπεξαιρεῖσθαι τῆς περιληπτικῆς ἀποφά-
462 σεως. εἰ οὖν πάντως ὁ τῆς γεννήσεως τρόπος τῇ φυσικῇ
τοῦ γεννῶντος ἀξίᾳ γνωρίζεται, πολλαὶ δὲ τῶν τικτόντων
αἱ κατὰ τὰς ἀξίας διαφοραὶ καὶ κατὰ πολλὰς ἐπινοίας
καταλαμβάνονται (γεννᾶται γὰρ Ἰουδαῖος Ἕλλην βάρβαρος
Σκύθης δοῦλος ἐλεύθερος), τί ἐκ τούτων κατασκευάζεται;
ὅτι ὅσαι εἰσὶ τῶν γεννώντων κατὰ τὰς φυσικὰς ἀξίας δια-
φοραί, τοσοῦτοι καὶ τρόποι γεννήσεως κατὰ τὸ εἰκὸς εὑρε-
θήσονται· ὡς μὴ κατὰ τὸν αὐτὸν τρόπον πληροῦσθαι πᾶσι
τὴν γέννησιν, ἀλλὰ ταῖς τῶν γεννώντων ἀξίαις τὰς φύσεις
συμμεταβάλλεσθαι καὶ δεῖν ἑκάστῳ τῶν τικτομένων κατὰ
τὴν τῶν ἀξιωμάτων διαφορὰν ἰδιάζοντά τινα γεννήσεως

VLACTS 1 ἐὰν A v 3 μέλλῃ: ἐθέλῃ V ἐθέλοι L 6 τὸν θεῖον L 7 αὐτῷ S 8 εἰς om S 10 ἄνεισιν οὖν T ἄνεισι γοῦν V οὐσίαν om T 11 διὰ τί VL τῇ add v: om libri (cf 18 et 23) 16 τὰ om VL 18 τρόπος: λόγος S 20 verba ἀξίας usque ad κατὰ om T κατὰ τὰς πολλὰς C 21 καὶ ante ἕλλην add VL 23-24 post διαφοραὶ aberrans ad διαφοραὶ 20 verba καὶ κατὰ πολλὰς ἐπινοίας καταλαμ-βάνονται iterat V 24 τῆς ante γεννήσεως add V 26 γένεσιν libri v, corr Harder

463 τρόπον καινοτομεῖσθαι. πᾶσι γὰρ συμφυεῖς ἀξίαι τινές εἰσι
πάντως ἐπιθεωρούμεναι τοῖς καθ' ἕκαστον, διαφέρουσαι δὲ
ἀλλήλων πρὸς τὸ κρεῖττον ἢ καταδεέστερον, ὅπως ἂν ἑκά-
στῳ συμπέσῃ γένος ἀξίωμα θρησκεία πατρὶς δυναστεία
δουλεία πλοῦτος πενία τὸ αὐτεξούσιον τὸ ὑποχείριον, πάντα
ὅσα τὰς κατὰ τὸν βίον διαφορὰς ἐν ταῖς ἀξίαις ἐργάζεται.
εἰ οὖν τῇ φυσικῇ τοῦ γεννῶντος ἀξίᾳ, καθώς φησιν
ὁ Εὐνόμιος, ὁ τῆς γεννήσεως δείκνυται τρόπος,
464 πολλαὶ δὲ αἱ κατὰ τὰς ἀξίας διαφοραί, πολλοὶ πάντως καὶ
οἱ τῆς γεννήσεως τρόποι κατὰ τὸν δογματιστὴν εὑρεθήσονται
καὶ ἄλλος ἄλλως ἀποτεχθήσονται, τῆς κατὰ τὰς ἀξίας
διαφορᾶς νομοθετούσης τῇ φύσει τὸν τόκον.
465 Εἰ δὲ μὴ δέχοιτο φυσικὰς εἶναι τὰς τοιαύτας ἀξίας
ὡς ἔξω τῆς φύσεως θεωρουμένας, οὐδὲ ἡμεῖς ἀντιλέγομεν.
ἐκείνῳ μέντοι πάντως συνθήσεται, ὅτι φυσικῇ τινι πάντως
ἀξίᾳ τῆς ἀλόγου ζωῆς ἡ ἀνθρωπίνη κεχώρισται. ἀλλ' ὁ
τοῦ τόκου τρόπος οὐδεμίαν ἐν τῇ κατὰ τὴν φυσικὴν ἀξίαν
διαφορᾷ τὴν παραλλαγὴν ἔχει, ὁμοιοτρόπως τῆς φύσεως
τά τε λογικὰ καὶ τὰ ἄλογα διὰ τῆς γεννήσεως εἰς τὴν
466 ζωὴν παραγούσης. εἰ δὲ ἐπὶ μόνης ἐκείνης τῆς οὐσίας
τῆς, ὡς αὐτὸς ὀνομάζει, κυριωτάτης καὶ ἀνωτάτης
τὸ συμφυὲς ἀξίωμα καταλαμβάνει, ἴδωμεν ὅ τι καὶ νοῶν
τοῦτο λέγει. ὡς μὲν γὰρ ὁ ἡμέτερος λόγος, συμφυές ἐστιν
396 M. ἀξίωμα τῷ θεῷ αὐτὴ ἡ θεότης ἡ σοφία ἡ δύναμις τὸ
ἀγαθὸν εἶναι κριτὴν δίκαιον ἰσχυρὸν μακρόθυμον ἀληθινὸν
κτίστην ἐξουσιαστὴν ἀόρατον ἀτελεύτητον καὶ εἴ τι ἄλλο
τῶν εἰς δοξολογίαν παρὰ τῆς θεοπνεύστου γραφῆς εἰρη-
μένων ἐστίν, ἅπερ πάντα καὶ τῷ μονογενεῖ υἱῷ κυρίως καὶ

VLACTS 2 ἐπιθεωρούμενα L δέ πως VL 3-4 ab ἑκάστῳ aberravit ad 160,27 ἑκάστῳ et verba a τῶν τικτομένων usque ad 3 ὅπως ἂν iteravit V 5 δουλεῖα L om T 6 ἐργάζονται T 11 verba καὶ usque ad ἀποτεχθήσονται om A v 12 διαφορὰς L κατὰ τὸν τόκον T 15 ἐκεῖνο VL συνθήσονται L ε suprascr 16 ἡ om T ἀνθρωπίνη: ἀνθρωπότης CT 17 οὐδεμίαν S v: οὐδὲ μιᾷ VLACT τὴν om S 21 ἀνωτάτω VL 22 καὶ νοῶν: κενῶς S 26 κτίστην e κτίσιν corr V man altera

συμφυῶς ἐνθεωρεῖσθαί φαμεν, ἐν μόνῃ τῇ κατὰ τὸ ἄναρχον ἐννοίᾳ τὴν διαφορὰν ἐπιστάμενοι, καὶ ταύτην οὐ κατὰ
467 πᾶσαν ὑπόνοιαν τοῦ μονογενοῦς ἀποτέμνομεν. μηδεὶς διασπαρασσέτω διὰ συκοφαντίας τὸν λόγον, ὡς ἀγέννητον ἡμῶν ἀποδεικνύειν ἐπιχειρούντων τὸν ἀληθῶς υἱόν· οὐδὲν γὰρ ἔλαττον ἀσεβεῖν τοὺς τὰ τοιαῦτα λέγοντας τῶν τὸ ἀνόμοιον δογματιζόντων διοριζόμεθα. ἀλλ' ἐπειδὴ πολύσημος ὁ τῆς ἀρχῆς λόγος καὶ εἰς πολλὰ ταῖς ὑπονοίαις φερόμενος, ἔστιν ἐν οἷς φαμεν καὶ τῷ μονογενεῖ υἱῷ μὴ ἀπεμ-
468 φαίνειν τὴν τοῦ ἀνάρχου προσηγορίαν. ὅταν μὲν γὰρ τὸ μὴ ἐξ αἰτίου τινὸς τὴν ὑπόστασιν ἔχειν ἐκ τῆς φωνῆς τοῦ ἀνάρχου νοῆται, τοῦτο μόνου τοῦ πατρὸς ἴδιον ὁμολογοῦμεν τοῦ ἀγεννήτως ὄντος· ὅταν δὲ κατὰ τὰ λοιπὰ τῶν ἐπὶ τῆς ἀρχῆς σημαινομένων ἡ ἐξέτασις ᾖ, ἐπειδὴ καὶ κτίσεώς τις ἐπινοεῖται ἀρχὴ καὶ χρόνου καὶ τάξεως, κἂν τούτοις καὶ τῷ μονογενεῖ προσμαρτυροῦμεν τὸ ὑψηλότερον ἀρχῆς εἶναι, ὡς ὑπὲρ πᾶσαν καὶ κτίσεως ἀρχὴν καὶ χρόνου ἔννοιαν καὶ τάξεως ἀκολουθίαν εἶναι πιστεύειν τὸν δι' οὗ τὰ
469 πάντα ἐγένετο· ὥστε τὸν τῷ λόγῳ τῆς ὑποστάσεως μὴ ἄναρχον ἐν τοῖς ἄλλοις πᾶσιν ὁμολογούμενον ἔχειν τὸ ἄναρχον, καὶ τὸν μὲν πατέρα καὶ ἄναρχον καὶ ἀγέννητον, τὸν δὲ υἱὸν ἄναρχον μὲν κατὰ τὸν εἰρημένον τρόπον, οὐ μὴν καὶ ἀγέννητον.

470 Εἰς ποῖον οὖν συμφυὲς ἀξίωμα τοῦ πατρὸς βλέπων δι' ἐκείνου τὸν τῆς γεννήσεως τρόπον ἀναλογίζεται; εἰς τὴν ἀγεννησίαν πάντως ἐρεῖ. οὐκοῦν εἰ μὲν πάντα τὰ ὀνόματα, ὅσα εἰς δοξολογίαν τοῦ θεοῦ τῶν ὅλων ἐμάθομεν, ἀργά σοι καὶ ἀσήμαντα λέγομεν, περιττή τίς ἐστι καὶ παρέλκουσα ἡ τῶν τοιούτων φωνῶν ἀπαρίθμησις ἐν ψιλῷ τῷ κατα-

VLACTS 2 τὴν διαφορὰν ἐπιστάμενοι om VL 3 μηδεὶς δὲ A v 4 τῆς post διὰ add V 5 ἐπιδεικνύειν VL δεικνύειν AT v 6-7 ἀνόμοιον in ras V 7 ἐπεὶ V 8-9 φερώνυμος V 9-10 μὴ ἀπεμφαίνειν post προσηγορίαν coll V 12 νοεῖται AL μόνον VA v 13 τοῦ ἀγεννήτως ὄντος om ACTS v κατά: καὶ T 15 τις: τινος A v 17 καὶ ante κτίσεως om A v 18 τόν: τὸ v 24 τοῦ πατρὸς om CT 24-25 δι' ἐκείνου om S 29 ἡ om VL

λόγῳ προφερομένη, εἴπερ οὐδεμία τῶν λοιπῶν προσηγοριῶν
471 τὴν φυσικὴν ἀξίαν τοῦ ἐπὶ πάντων παρίστησιν. εἰ δὲ ἑκάστου τῶν λεγομένων ἰδιάζουσά τις ἔννοια καὶ πρέπουσα τῇ περὶ τοῦ θεοῦ ὑπολήψει γνωρίζεται, δηλονότι κατὰ τὸν ἀριθμὸν τῶν ὀνομάτων καὶ αἱ συμφυεῖς ἀξίαι τοῦ θεοῦ θεωροῦνται καὶ διὰ τούτων ἡ τῶν οὐσιῶν ὁμοιότης κατασκευάζεται, εἴπερ τὰ συμφυῆ ταῖς οὐσίαις ἀξιώματα γνω-
472 ριστικὰ τῶν ὑποκειμένων ἐστί. τῶν δὲ ἀξιωμάτων ἐφ' ἑκατέρου τῶν αὐτῶν φαινομένων, ἡ κατὰ τὴν οὐσίαν ταὐτότης τῶν ταῖς αὐταῖς ἀξίαις ὑποκειμένων πραγμάτων σαφῶς ἐπιδείκνυται. εἰ γὰρ ἱκανὴ νομίζεται ἑνὸς ὀνόματος παραλλαγὴ τὸ ξένον τῆς οὐσίας ἐνδείξασθαι, πόσῳ μᾶλλον ἰσχύσει ἡ τῶν μυρίων ὀνομάτων ταὐτότης τὸ κοινὸν παρα-
473 στῆσαι τῆς φύσεως; τίς οὖν ἡ αἰτία δι' ἣν τὰ μὲν λοιπὰ τῶν ὀνομάτων περιορᾶται, μόνῳ δὲ τῷ ἑνὶ τεκμηριοῦται ἡ γέννησις; καὶ διὰ τί μόνον συμφυὲς ἀξίωμα τὴν ἀγεν-
397 M. νησίαν ἐπὶ τοῦ πατρὸς δογματίζουσι, τὰ λοιπὰ παρωσάμενοι; ἵνα τῇ πρὸς τὸ γεννητὸν ἀντιδιαστολῇ τὸν τῆς ὁμοιότητος κακουργήσωσι τρόπον, ὅπερ καὶ αὐτὸ κατὰ τὸν προσήκοντα καιρὸν εὐθυνόμενον ἐπίσης τοῖς προειρημένοις ἀδρανές τε καὶ ἀνυπόστατον καὶ ἀντ' οὐδενὸς εὑρεθήσεται.

474 Ὅτι δὲ εἰς τοῦτο βλέπουσιν αἱ κατασκευαὶ πᾶσαι, τὸ ἐπιφερόμενον δείκνυσιν, ἐν οἷς ἑαυτὸν ἀποδέχεται ὡς προσηκόντως τῇ ὁδῷ ἐκείνῃ πρὸς τὴν κατασκευὴν τῆς βλασφημίας χρησάμενος καὶ οὐκ εὐθὺς ἀπογυμνώσας τοῦ λόγου τὸ βούλημα οὐδὲ πρὸ τοῦ συναρτῆσαι τὴν κατασκευὴν τῆς ἀπάτης ἀγυμνάστοις ἔτι ταῖς ἀκοαῖς προσβαλὼν τὴν ἀσέβειαν οὐδὲ ἐν προοιμίοις τῶν λόγων τὴν ἀγεννησίαν οὐσίαν ἀποφηνάμενος καὶ τὴν τῆς οὐσίας ἑτερότητα διαθρυλήσας,

VLACTS 4 περί: παρὰ V τοῦ om VS v 4-5 τὸν ἀριθμὸν κατὰ V 6-7 κατασκευάζεται om V 9 ἑκάτερα V 11 ὀνόματος om V 13 a ταὐτότης aberrans ad 9-10 ταὐτότης verba a τῶν ταῖς usque ad 13 ταὐτότης iteravit V (in margine ὅρα τὰ ἐσφαλμένα τῷ γράφοντι man alt) 19 ἀνομοιότητος A v 28 λόγων ὧν τὴν VL

475 οὑτωσὶ λέγων ταῦτα κατὰ τὴν λέξιν· ἢ καθὼς νομο-
θετεῖ Βασίλειος, ἀπ' αὐτῶν ἄρξασθαι τῶν ζη-
τουμένων ἔδει ἀσυναρτήτως τὴν ἀγεννησίαν
οὐσίαν λέγοντας καὶ τὴν τῆς οὐσίας ἑτερό-
τητα θρυλεῖν ἢ ταὐτότητα; περὶ ὧν πολλὰ διὰ
μέσου διεξελθὼν ἐν σκώμμασι καὶ λοιδορίαις καὶ ὕβρεσιν
(οὕτω γὰρ οἶδεν ὁ σοφὸς ὑπὲρ τῶν ἰδίων δογμάτων δια-
γωνίζεσθαι) πάλιν ἐπαναλαμβάνει τὸν λόγον καὶ πρὸς τὸν
ἀντίπαλον δῆθεν ἀποτεινόμενος κἀκείνῳ τῶν λεγομένων τὴν
476 αἰτίαν ἀνατιθεὶς τοιάδε φησίν· ἐπεὶ καὶ πρὸ τῶν ἄλ-
λων ὑμεῖς ἔνοχοι τούτοις τοῖς πλημμελήμασιν
οἱ τὴν αὐτὴν οὐσίαν τῷ γεννήσαντι καὶ τῷ
γεννηθέντι διακληρώσαντες, διὸ καὶ τὴν ἐπὶ
τούτοις λοιδορίαν ὥσπερ τινὰ πάγην ἄφυκτον
καθ' ἑαυτῶν ἐτεκτήνασθε, τῆς δίκης ὡς εἰκὸς
τοῖς ὑμετέροις καθ' ὑμῶν αὐτῶν ἐπιψηφι-
477 ζούσης. ἤτοι γὰρ ἀνάρχως ἀλλήλων κεχω-
ρίσθαι τὰς οὐσίας ταύτας ὑπολαμβάνοντες,
τούτων δὲ τὴν ἑτέραν εἰς υἱοῦ τάξιν διὰ γεν-
νήσεως ἄγοντες καὶ τὸν ἀνάρχως ὄντα ὑπὸ τοῦ
ὄντος γενέσθαι διατεινόμενοι τοῖς ἰδίοις ὑπό-
κεισθε λοιδορήμασιν (ὃν γὰρ ἀγέννητον εἶναι
φαντάζεσθε, τούτῳ τὴν παρ' ἑτέρου γέννησιν
ἐπιφημίζετε), ἢ μίαν καὶ μόνην ἄναρχον ὁμο-
λογοῦντες οὐσίαν, εἶτα ταύτην εἰς πατέρα καὶ
υἱὸν τῇ γεννήσει περιγράφοντες, αὐτὴν παρ'
ἑαυτῆς γεγεννῆσθαι τὴν ἀγέννητον οὐσίαν φήσετε.
478 Τὰ μὲν οὖν πρὸ τῶν ἀνεγνωσμένων αὐτῷ γεγραμμένα,
ὡς ψιλὴν ἔχοντα κατὰ τοῦ διδασκάλου καὶ πατρὸς ἡμῶν

1 cf. Bas c Eun l. I p 512 B sq

VLACTS 1 ταῦτα om A v 4 οὐσίαν om VL 7 ὑπὲρ: περὶ CT ἐπὶ S 11 τούτοις ἔνοχοι VL 14 πάγην: πάλην e πάλιν corr V πάλην L ut vid 15 καθ' ἑαυτὸν L 16 ἡμετέροις V 20-21 ἐπὶ τοῦ ὄντος VL 24 ἐπιφημίζεται V 27 γεγενῆσθαι VCTS v γεγενῆσθε L cf 165,16 28 ταῦτα μὲν S

τὴν ἀναισχυντίαν καὶ οὐδὲν πρὸς τὸν προκείμενον συντε-
λοῦντα σκοπόν, ὑπερβήσομαι· ἐν δὲ τοῖς εἰρημένοις, ἐπειδὴ
δεινῶς ἡμῖν τοὺς ἀμφήκεις τούτους ἐλέγχους διχόθεν στο-
μώσας διὰ τῆς τῶν διλημμάτων ἐπινοίας προτείνεται,
ἀνάγκη καὶ ἡμᾶς μὴ σιωπῇ δέξασθαι τὸν κατὰ τοῦ δόγματος
πόλεμον, ἀλλ' ὡς ἔχομεν δυνάμεως συμμαχῆσαι τῷ λόγῳ
καὶ δεῖξαι τὴν φοβερὰν ταύτην καὶ ἀμφίστομον μάχαιραν,
ἣν κατὰ τῆς ἀληθείας ἐθήξατο, τῶν ἐν ταῖς σκιαγραφίαις
φαινομένων ἀδρανεστέραν.
479 Διπλαῖς ἐννοίαις διαβάλλει τὸ κοινὸν τῆς οὐσίας καί
φησιν ἢ δύο ἀγεννήτους ἀρχὰς ἀντιπαρεξαγομένας ἀλλήλαις
400 M. τὴν μὲν πατέρα, τὴν δὲ υἱὸν ἡμᾶς ὀνομάζειν, τὸν ὄντα
παρὰ τοῦ ὄντος γεγενῆσθαι λέγοντας ἢ μίαν νοουμένην καὶ
τὴν αὐτὴν οὐσίαν ἑκάτερον ἐν μέρει μεταλαμβάνειν τῶν
ὀνομάτων, καὶ πατέρα οὖσαν καὶ υἱὸν γινομένην αὐτὴν παρ'
480 ἑαυτῆς διὰ γεννήσεως παραγομένην. ταῦτα διὰ τῆς ἐμαυ-
τοῦ λέξεως γράφω, οὐ παρερμηνεύων αὐτοῦ τὴν διάνοιαν,
ἀλλὰ τὸ στομφῶδες καὶ κατεστοιβασμένον τῆς ἑρμηνείας
ἐπανορθούμενος, ὡς ἂν εὐσύνοπτον αὐτοῦ πᾶσι τὸ βούλημα
γένοιτο, διὰ τῆς κατὰ τὴν λέξιν σαφηνείας ἐκκαλυπτόμενον.
481 ὁ γὰρ τὴν ἀμαθίαν ἡμῶν διασύρων καὶ τὸ μὴ ἐξ ἀρκούσης
παρασκευῆς ἐπὶ τὸν λόγον ἐληλυθέναι προφέρων, οὕτως
ἁβρύνει τῇ λαμπρότητι τῆς ἑρμηνείας τὸν ἴδιον λόγον,
οὕτως ἐξονυχίζει, καθὼς αὐτὸς ὀνομάζει, τὰ ῥή-
ματα, ἐν τῇ περιττῇ ταύτῃ καλλιεπείᾳ τὴν συγγραφὴν
ἀγλαΐζων, ὡς αὐτόθεν αἱρεῖν τῇ τῆς λέξεως ἡδονῇ τὸν

18 στομφῶδες] t. t. rhetoricus cf Anon de sublim III 1 p 6, 11 (Vahlen), Anon schol Hermog de ideis VII p 963 W.

VLACTS 1 τὴν om v 4 διλημμάτων: δειλημάτων V προτείνετε αι sscr L 8 σκιαγραφίαις A v: σκιογραφίαις VLCTS 12 ἡμᾶς: ἢ μιᾶς VL 13 γεγεννῆσθαι S v (cf 164,21) 14 μεταλαμβανομένην S 15 οὖσαν: οὐσίαν V v 16 παραγενομένην VLT 18 σομφῶδες VL κατεστιβασμένον T 20 γένητο L 21 ἐξ ἀρκούσης cum S scripsi: ἐξαρκούσης 22 et 24 οὗτος S 26 ἡδονῇ: συγγραφῇ V

ἀκούοντα· οἷα μετὰ πολλῶν ἄλλων καὶ τὰ νῦν ὑπανεγνω-
σμένα ἐστί. καὶ εἰ δοκεῖ, πάλιν ὑπαναγνώσομαι· διὸ καὶ
τὴν ἐπὶ τούτοις λοιδορίαν ὥσπερ τινὰ πάγην
ἄφυκτον καθ' ἑαυτῶν ἐτεκτήνασθε, τῆς δίκης
ὡς εἰκὸς τοῖς ὑμετέροις καθ' ὑμῶν αὐτῶν
ἐπιψηφιζούσης.
482 Ὅρα τὰ ἄνθη τῆς ἀρχαίας Ἀτθίδος, ὡς ἐπαστράπτει
τῇ συντάξει τοῦ λόγου τὸ λεῖον καὶ κατεστιλβωμένον τῆς
λέξεως, ὡς γλαφυρῶς καὶ ποικίλως τῇ ὥρᾳ τοῦ λόγου
περιανθίζεται. ἀλλὰ ταῦτα μὲν ἐχέτω, ὡς ἄν τῳ δόξῃ,
ἡμῖν δὲ πρὸς τὴν διάνοιαν τῶν εἰρημένων τρεπέσθω πάλιν
ὁ δρόμος, καὶ δι' αὐτῶν, εἰ δοκεῖ, γενώμεθα τοῦ λογο-
483 γράφου τῶν λέξεων. ἤτοι γὰρ ἀνάρχως ἀλλήλων
κεχωρίσθαι τὰς οὐσίας ταύτας ὑπολαμβάνον-
τες, τούτων δὲ τὴν ἑτέραν εἰς υἱοῦ τάξιν
διὰ γεννήσεως ἄγοντες καὶ τὸν ἀνάρχως ὄντα
ὑπὸ τοῦ ὄντος γεγενῆσθαι διατεινόμενοι. ἀρκεῖ
ταῦτα. δύο φησὶν ἡμᾶς ἀγεννήτους οὐσίας πρεσβεύειν,
484 πῶς τοῦτο λέγων ὁ φύρειν τὰ πάντα καὶ συγχεῖν αἰτιώ-
μενος διὰ τοῦ μίαν ὁμολογεῖν τὴν οὐσίαν; εἰ μὲν γὰρ δύο
φύσεις ἀλλοτρίως κατὰ τὸ εἶναι πρὸς ἀλλήλας ἐχούσας καὶ
ὁ ἡμέτερος ἐπρέσβευε λόγος κατὰ τὸ ἴσον τῶν τὸ „ἀνό-
μοιον" δογματιζόντων, καλῶς εἶχε τὸ διῃρημένον τῆς φύ-
σεως εἰς δύο τινῶν ἀρχῶν ὑπονοίας ἐκφέρειν νομίζεσθαι.
εἰ δὲ μία φύσις ὁμολογεῖται παρ' ἡμῶν ἐν διαφόροις ταῖς
ὑποστάσεσι καὶ πατὴρ πιστεύεται καὶ υἱὸς δοξάζεται, πῶς
δύο πρεσβεύειν ἀρχὰς τὸ τοιοῦτον δόγμα παρὰ τῶν ἐναν-
485 τίων συκοφαντεῖται; εἶτα ἐκ τῶν δύο τούτων ἀρχῶν τὴν

19 § 154 cf

VLACTS 1 ἀκούσαντα A v 1-2 ὑπεγνωσμένα V αν sscr ead man 5 ἡμετέροις V ἡμῶν V 7 Ἀττίδος v ἐπαναστράπτει L 17 γεγεννῆσθαι S cf 164,21 et 165,13 21 πρὸς ἄλλας L 24 ἀνάρχων VLAS v (cf 166,27-8) ἐμφέρειν libri v, correxi cf 167, 27 28 τοιούτων v

μίαν λέγει παρ' ἡμῶν εἰς υἱοῦ τάξιν κατάγεσθαι καὶ τὸν
ὄντα ὑπὸ τοῦ ὄντος γεγενῆσθαι. δειξάτω τὸν προστάτην
τοῦ λόγου τούτου, καὶ ἡμεῖς σιωπήσομεν, εἴτε τι πρόσωπον
διελέγχει τὸ ταῦτα παραφθεγξάμενον εἴτε καὶ ἁπλῶς τὸν
λόγον τοῦτον ἐν ἐκκλησίαις οἶδε φερόμενον. τίς γὰρ οὕτως
παράφορος τοῖς λογισμοῖς καὶ ἐξεστηκὼς τὴν διάνοιαν, ὡς
πατέρα καὶ υἱὸν λέγειν καὶ δύο πάλιν ἀγέννητα οἴεσθαι
καὶ τὸ ἓν αὖθις παρὰ τοῦ ἑνὸς γεγενῆσθαι νομίζειν; τίς δὲ
καὶ ἡ ἀνάγκη ἡ πρὸς τὰς τοιαύτας ὑπονοίας ἐξωθοῦσα τὸ
δόγμα; ἐκ ποίων παρ' αὐτοῦ λόγων τοῦτο κατεσκευάσθη,
486 ὡς ἀναγκαίως ταύτην ἀνακύψαι τὴν ἀτοπίαν; εἰ μὲν γὰρ
τι τῶν παρ' ἡμῶν ὁμολογουμένων προέφερεν, εἶτα διὰ τού-
401 M. του προῆγεν εἴτε σοφιστικῶς εἴτε κατά τινα δύναμιν ἀπο-
δεικτικὴν τὴν τοιαύτην συκοφαντίαν, εἶχεν ἴσως καιρὸν ἐπὶ
διαβολῇ τοῦ δόγματος τὰ τοιαῦτα προφέρειν. εἰ δὲ οὔτε
ἔστιν οὔτε μὴ γένηται λόγος ἐν ἐκκλησίᾳ τοιοῦτος οὔτε ὁ
εἰπὼν ἐλέγχεται οὔτε ὁ ἀκηκοὼς ἐπιδείκνυται οὔτε ἀνάγκη
τις εὑρίσκεται διά τινος ἀκολούθου τὴν ἀτοπίαν ταύτην
κατασκευάζουσα, τί βούλεται αὐτῷ ἡ σκιαμαχία, οὐ συνορῶ.
487 ὥσπερ ἂν εἴ τις ὑπὸ φρενίτιδος παραπαίων συμπεπλέχθαι
νομίζοι τινὶ μηδενὸς προσπαλαίοντος, εἶτα κατὰ σπουδὴν
ἑαυτὸν καταβαλὼν τὸν προσμαχόμενον οἴοιτο, τοιοῦτόν τι
πέπονθεν ὁ σοφὸς λογογράφος ἀναπλάσσων ὑπονοίας, ἃς
ἡμεῖς οὐ γινώσκομεν, καὶ σκιαῖς προσμαχόμενος, ἃς διὰ
τῶν λογισμῶν τῶν ἰδίων ἀνετυπώσατο.
488 Εἰπάτω γάρ, τίς ἡ ἀνάγκη τὸν ὁμολογοῦντα υἱὸν ἐκ
πατρὸς „γεγεννῆσθαι" εἰς δύο ἀγεννήτων ὑπολήψεις ἐκφέρε-
σθαι; ἢ τίνος μᾶλλόν ἐστι δύο κατασκευάζειν ἀγέννητα, τοῦ
τὸν υἱὸν ψευδωνύμως λέγεσθαι κατασκευάζοντος ἢ τοῦ δια-

VLACTS 1-2 verba καὶ τὸν ὄντα usque ad ὄντος γεγενῆσθαι om A v λέγειν post γεγενῆσθαι add VL 3 σιωπήσωμεν L 5 ἐκκλησίᾳ A v εἶδε T 6 καὶ ἐξεστηκὼς: κατεξεστηκὼς v 8 γεγεννῆσθαι A cf 2 et 166, 17 15 διαβολὴ L 18 ἀκολουθίας S 19 σκιομαχία CT 22 καταβαλὼν LACS v (καταβαλλὼν T): προσβαλῶν V 23-24 ἃς ἡμεῖς ὑπονοίας V 25 τῶν ante ἰδίων om A v 27 γεγενῆσθαι VLCT v ν sscr C

489 βεβαιουμένου τῇ προσηγορίᾳ τὴν φύσιν ἐπαληθεύεσθαι; ὁ
γὰρ τὴν ἀληθῆ γέννησιν τοῦ υἱοῦ μὴ δεξάμενος, εἶναι
δὲ ὅλως ὁμολογῶν, οἰκειότερον ἂν ὑπονοηθείη ἀγέννητον
λέγειν τὸν ὄντα μέν, μὴ διὰ γεννήσεως δὲ τὸ εἶναι ἔχοντα·
ὁ δὲ τὸ γνωριστικὸν ὁμοίωμα τῆς τοῦ μονογενοῦς ὑπο-
στάσεως αὐτὸ τὸ γεννητῶς αὐτὸν ἐκ τοῦ πατρὸς ὑποστῆναι
διοριζόμενος, πῶς ἂν εἰς τὸ ἀγέννητον αὐτὸν οἴεσθαι παρε-
490 νεχθείη; καίτοι καθ' ὑμᾶς τοὺς σοφούς, ἕως ἂν κρατῇ
τὸ μὴ „γεννηθῆναι" παρὰ τοῦ πατρὸς τὸν υἱόν, ἑνί τινι
τρόπῳ τῶν ὑπὸ τοῦ ἀγεννήτου σημαινομένων καὶ αὐτὸς
ἀγέννητος κυρίως ὀνομασθήσεται. ἐπειδὴ γὰρ τὰ μὲν
τικτόμενα τὰ δὲ κατασκευαζόμενα γίνεται, τὸ μὴ διὰ γεν-
νήσεως ὑφεστὸς οὐδὲν κωλύει ἀγεννήτως ὑφεστάναι λέγειν
491 κατὰ μόνον τὸ τῆς γεννήσεως σημαινόμενον. τοῦτο δὲ ὁ
ὑμέτερος περὶ τοῦ κυρίου κατασκευάζει λόγος ὁ κτίσμα
εἶναι διοριζόμενος. οὐκοῦν καθ' ὑμᾶς ὦ σοφώτατοι ἀγέν-
νητος ὁ μονογενὴς ἐκ τῆς τοιαύτης ἀκολουθίας ὀνομασθή-
σεται, οὐ κατὰ τὸ ἡμέτερον δόγμα, καὶ εὑρίσκεται ὑμῖν ἡ
δίκη, ἥντινα καὶ λέγεις δίκην, τοῖς ὑμετέροις καθ'
ὑμῶν ἐπιψηφίζουσα.

492 Εὔκαιρον γὰρ ἐκ τοῦ βορβόρου τῶν ἐκεῖθεν λόγων
προσπτύσαι τῇ βδελυρίᾳ τοῦ δόγματος. καὶ γὰρ καὶ τὸ
ἕτερον μέρος τῶν κατὰ τὸ διλήμματον τεθέντων αὐτῷ τῆς
ἴσης ἔχεται παραπληξίας. ἢ μίαν, φησί, καὶ μόνην
ἄναρχον ὁμολογοῦντες οὐσίαν εἶτα ταύτην
εἰς πατέρα καὶ υἱὸν τῇ γεννήσει περιγράφον-
τες αὐτὴν παρ' ἑαυτῆς γεγεννῆσθαι τὴν ἀγέν-
493 νητον οὐσίαν φήσετε. τίς αὕτη πάλιν ἡ καινὴ
τερατολογία; πῶς αὐτός τις ὑφ' ἑαυτοῦ γεννᾶται, ἑαυτὸν

VLACTS 1 φύσιν: κλῆσιν A v 5 τὸ δὲ τὸ VL ὁμοίωμα: ὄνομα C 9 γενηθῆναι T sscr νν τινι om V 10 τόπω T 13 ὑφεστῶς VS (-ὼς) 15 τοῦ om VL 18 ἡμῖν S 19 ἡμετέροις VS 20 ἡμῶν VLCT v ἐμψηφίζουσα S 21 βαρβάρου V 23 ἕτερον: ἡμέτερον S τῶν κατὰ: τὸ κατὰ VL δίλημμα v 26 γενέσει S τῇ γεννήσει om V 27 γεγενῆσθαι VLAS v cf 169,19 27-28 ἀγέννητον om V

πατέρα ἔχων καὶ υἱὸς ἑαυτοῦ πάλιν γινόμενος; τίς ἡ ναυτία,
τίς ἡ παραφορά, στρέφεσθαι ἑαυτοῖς ἐπὶ τὸ κάτω τὸν
ὄροφον καὶ ὑπὲρ κεφαλῆς τὸ ἔδαφος ἔχειν; ὃ οἱ ὑπὸ
μέθης καρηβαροῦντες νομίζουσι καὶ βοῶσι καὶ διατείνονται
μήτε τὴν γῆν αὐτοῖς πεπηγέναι φεύγειν τε καὶ τοὺς τοίχους
404 M. καὶ ἐν κύκλῳ περιδινεῖσθαι τὰ πάντα καὶ μηδεμίαν ἔχειν
494 τὰ φαινόμενα στάσιν. τάχα τοίνυν ἐν τοιούτῳ σάλῳ τὴν
ψυχὴν ἔχων ὁ λογογράφος συνέγραφε καὶ ἐλεεῖν προσήκει
μᾶλλον ἐπὶ τοῖς γεγραμμένοις αὐτὸν ἢ βδελύττεσθαι. τίς
γὰρ οὕτω τῶν θείων δογμάτων ἀνήκοος, τίς οὕτω πόρρω
τῶν τῆς ἐκκλησίας μυστηρίων ἐστίν, ὡς τὴν τοιαύτην ἔν-
νοιαν κατὰ τῆς πίστεως δέξασθαι; μᾶλλον δὲ μικρὸν ἴσως
τὸ τοιοῦτον λέγειν, τὸ μηδένα κατὰ τῆς πίστεως τὴν ἀτο-
495 πίαν ταύτην ὑπονοῆσαι. ἀλλὰ τίς ἐπὶ τῆς ἀνθρωπίνης φύ-
σεως ἢ ἄλλου τινὸς τῶν δι' αἰσθήσεως καταλαμβανο-
μένων, ἐπειδὰν τὸ κοινὸν τῆς οὐσίας ἀκούσῃ, ἢ ἄναρχα
ὑπονοεῖ πάντα, ὅσα τῷ λόγῳ τῆς οὐσίας ἀλλήλοις συμφέ-
ρεται, ἢ αὐτό τι ἐξ ἑαυτοῦ γίνεσθαι λέγει καὶ τίκτειν ἅμα
ἑαυτὸ καὶ ὑφ' ἑαυτοῦ γεννᾶσθαι;

496 Ὁ πρῶτος ἄνθρωπος καὶ ὁ ἐξ ἐκείνου γεγονὼς δια-
φόρως ἑκάτεροι τὸ εἶναι ἔχοντες, ὁ μὲν ἐκ συνδυασμοῦ τῶν
γονέων, ὁ δὲ ἐκ τῆς τοῦ χοῦ διαπλάσεως, καὶ δύο εἶναι
πιστεύονται καὶ τῷ λόγῳ τῆς οὐσίας ἀπ' ἀλλήλων οὐ δια-
σχίζονται, καὶ οὔτε ἄναρχοι δύο οὐσίαι ἀλλήλαις ἀντι-
παρεξάγεσθαι λέγονται οὔτε ὁ ὢν ὑπὸ τοῦ ὄντος γεννᾶσθαι,
οὔτε εἷς οἱ δύο ποτὲ ἐνοήθησαν ἐν τῇ τοιαύτῃ τερατολογίᾳ

22 Gen 2, 7 cf I Cor 15, 47-49

VLACTS 1 ἑαυτοῦ: αὑτοῦ V γενόμενος VL 5 τοίχους: κύκλους V (cf 6 κύκλῳ) 10 δογμάτων: διδαγμάτων VL 11 ὥστε V 12 verba δέξασθαι usque ad 13 πίστεως om L 17 ὑπονοήσῃ V ὑπονοήσει L 17-18 συμφέρεσθαι V 19 ἑαυτῷ pr VL 21 τοῦ ante συνδυασμοῦ add V 22 χοῦ VL: χριστοῦ ACT v χοὸς S ὁ μὲν id est Abel, ὁ δὲ autem Adam (cf p 170,5) qui χοϊκὸς apud Philonem et Paulum appellatur 24-25 ἀντεπαρ-εξάγεσθαι L 25 verba οὔτε ὁ ὢν usque ad γεννᾶσθαι om ACT v

τοῦ λόγου, ὡς ἑαυτοῦ πατέρα καὶ ἑαυτοῦ πάλιν υἱὸν ἀμφοτέρους νομίζεσθαι· ἄνθρωπος γὰρ καὶ οὗτος κἀκεῖνος, καὶ ὁ λόγος τῆς οὐσίας ἐπὶ τῶν δύο κοινός· θνητὸς ἑκάτερος, λογικὸς ὁμοίως, νοῦ καὶ ἐπιστήμης δεκτικὸς ὡσαύ-
497 τως. εἰ οὖν ὁ τῆς ἀνθρωπότητος λόγος ἐπὶ τοῦ Ἀδὰμ καὶ τοῦ Ἄβελ τῷ παρηλλαγμένῳ τῆς γεννήσεως οὐχ ὑπαλλάσσεται, οὐδεμίαν οὔτε τῆς τάξεως οὔτε τοῦ τρόπου τῆς ὑπάρξεως τῇ φύσει τὴν παραλλαγὴν ἐμποιούντων, ἀλλ᾽ ὡσαύτως ἔχειν τῇ κοινῇ τῶν νηφόντων συγκαταθέσει διωμολόγηται καὶ οὐδεὶς <ἂν> ἀντείποι τούτῳ μὴ σφόδρα τοῦ ἐλλεβόρου δεόμενος, τίς ἡ ἀνάγκη κατὰ τῆς θείας φύσεως τὸ παράλογον τοῦτο τῆς ἐννοίας κατασκευάζεσθαι;

498 Πατέρα καὶ υἱὸν παρὰ τῆς ἀληθείας ἀκούσαντες ἐν δύο τοῖς ὑποκειμένοις τὴν ἑνότητα τῆς φύσεως ἐδιδάχθημεν, ὑπό τε τῶν ὀνομάτων φυσικῶς [διὰ] τῆς πρὸς ἄλληλα σχέσεως σημαινομένης καὶ ὑπ᾽ αὐτῆς πάλιν τῆς τοῦ κυρίου
499 φωνῆς. ὁ γὰρ εἰπὼν Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, τί ἄλλο ἢ τό τε μὴ ἄναρχον ἑαυτοῦ διὰ τῆς τοῦ πατρὸς ὁμολογίας παρίστησιν καὶ τὸ κοινὸν σημαίνει τῆς φύσεως διὰ τῆς πρὸς τὸν πατέρα ἑνότητος; ὡς ἄν, οἶμαι, διὰ τῶν εἰρημένων τῆς ἐφ᾽ ἑκάτερα τῶν αἱρέσεων παρατροπῆς ὁ τῆς πίστεως καθαρεύοι λόγος, μήτε τοῦ Σαβελλίου χώραν ἔχοντος εἰς σύγχυσιν ἄγειν τὴν τῶν ὑποστάσεων ἰδιότητα, φανερῶς τοῦ μονογενοῦς ἑαυτὸν ἀπὸ τοῦ πατρὸς διακρίναντος ἐν τῷ εἰπεῖν Ἐγὼ καὶ ὁ πατήρ, μήτε τοῦ Ἀρείου τὸ ξένον τῆς φύσεως κατασκευάζειν ἰσχύοντος, τῆς ἀμφοτέρων ἑνότητος οὐ προσιεμένης τὴν κατὰ φύσιν διαίρεσιν.
500 οὐδὲν γὰρ ἄλλο τί ἐστιν ἐν τῷ λόγῳ τούτῳ τὸ διὰ τῆς

17 Joh 10, 30

VLACTS 2 κἀκεῖνο A v 3 κοινῶς V 7 τοῦ om V τρόπῳ VL 8 τὴν ante παραλλαγὴν om VL 10 ἂν supplevi 13 ἀκούοντες T 15 διὰ seclusi cf 18 et 19 18-19 ὁμολογίας παρίστησιν τοῦ πατρὸς V 19 σημαίνει om C v 21 ἑκατέρᾳ C v 22 καθαρεύῃ S v 24-25 διακρίναντος τος in rasura V 26 τῆς ἀμφοτέρων ἑνότητος om A v 28 τὸ ante διὰ om VL

ἑνότητος ἐπὶ πατρὸς καὶ υἱοῦ σημαινόμενον πλὴν κατὰ τὴν οὐσίαν αὐτήν· τὰ γὰρ λοιπὰ τῶν ἀγαθῶν, ὅσα ἐπιθεωρεῖται τῇ φύσει, κοινὰ προκεῖσθαι πᾶσιν εἰπών τις καὶ τοῖς διὰ κτίσεως γεγενημένοις οὐχ ἁμαρτήσεται. οἷον Οἰκτίρμων καὶ
405 M. ἐλεήμων ὁ κύριος, παρὰ τοῦ προφήτου λέγεται. ταῦτα βού-
501 λεται πάλιν ὁ κύριος καὶ ἡμᾶς γίνεσθαί τε καὶ ὀνομάζεσθαι· Γίνεσθε γὰρ οἰκτίρμονες καὶ Μακάριοι οἱ ἐλεήμονες καὶ ὅσα τοιαῦτα. ἆρ᾽ οὖν, εἴ τις διὰ προσοχῆς καὶ ἐπιμελείας τῷ θείῳ βουλήματι ἑαυτὸν ὁμοιώσας ἀγαθὸς ἢ οἰκτίρμων καὶ ἐλεήμων ἐγένετο ἢ πρᾶος καὶ ταπεινὸς τῇ καρδίᾳ, καθὼς μεμαρτύρηνται πολλοὶ τῶν ἁγίων ἐν τοῖς προτερήμασι τούτοις γενόμενοι, παρὰ τοῦτο ἕν εἰσι πρὸς τὸν θεὸν ἢ διά τινος τούτων πρὸς αὐτὸν συναπτόμενοι; οὐκ ἔστι ταῦτα. τὸ γὰρ μὴ ἐν πᾶσι ταὐτὸν ἓν εἶναι πρὸς τὸν
502 τῇ φύσει διηλλαγμένον οὐ δύναται. διὰ τοῦτο ἄνθρωπος πρὸς ἄνθρωπον ἓν γίνεται, ὅταν διὰ προαιρέσεως, καθὼς εἶπεν ὁ κύριος, τελειωθῶσιν εἰς τὸ ἕν, τῆς φυσικῆς συναφείας τὴν κατὰ προαίρεσιν ἑνότητα προσλαβούσης. καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς ἕν εἰσι, τῆς κατὰ τὴν φύσιν καὶ τὴν προαίρεσιν κοινωνίας εἰς τὸ ἓν συνδραμούσης. εἰ δὲ τῷ θελήματι μόνῳ συνηρμοσμένος κατὰ τὴν φύσιν διῄρητο, πῶς ἐμαρτύρει ἑαυτῷ τὴν πρὸς τὸν πατέρα ἑνότητα, τῷ κυριωτάτῳ διεσχισμένος;

503 Ἀκούσαντες τοίνυν ὅτι Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, τό τε ἐξ αἰτίου τὸν κύριον καὶ τὸ κατὰ τὴν φύσιν ἀπαράλλακτον τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ἐκ τῆς φωνῆς ἐπαιδεύθημεν, οὐκ εἰς μίαν ὑπόστασιν τὴν περὶ αὐτῶν ἔννοιαν

4 Ps 102, 8 7 Luc 6, 36 et Matth 5, 7 17 Joh 17, 23 24 Joh 10, 30.

VLACTS 1 ab ἑνότητος aberravit ad 170,27 ἑνότητος et verba οὐ προσιεμένης usque ad 1 ἑνότητος iteravit V sed expunxit et in margine notavit 2 ἀγαθῶν: παθῶν CT 6 εἰς ante ἡμᾶς addidit V γίνεσθαι: εἶναι VL τε post γίνεσθαι om v 9 τῷ θείῳ βουλήματι ACTS v: τι L τινι V cet om 10 ἢ ἐλεήμων CTS 14 ταῦτα om A v τὸν: τὸ S 18 ἑνότητα om T 19 τῆς τε κατὰ VL 25 κατὰ φύσιν L 26 ἐπ. ἐκ τ. φωνῆς AC v

συναλείφοντες, ἀλλὰ φυλάσσοντες μὲν διῃρημένην τὴν τῶν
ὑποστάσεων ἰδιότητα, οὐ συνδιαιροῦντες δὲ τοῖς προσώποις
τὴν τῆς οὐσίας ἑνότητα, ὡς ἂν μὴ δύο ἑτερογενῆ πράγματα
ἐν τῷ τῆς ἀρχῆς λόγῳ ὑπολαμβάνοιτο καὶ διὰ τούτου πάρ-
504 οδον λάβοι τῶν Μανιχαίων τὸ δόγμα. τὸ γὰρ κτιστὸν
καὶ τὸ ἄκτιστον ἐκ διαμέτρου πρὸς ἄλληλα τὴν κατὰ τὸ
σημαινόμενον ἐναντίωσιν ἔχει. εἰ οὖν τὰ δύο <ἐν> ταῖς ἀρχαῖς
ταχθείη, κατὰ τὸ λεληθὸς ἡμῖν ὁ μανιχαϊσμὸς εἰς τὴν
ἐκκλησίαν τοῦ θεοῦ εἰσφθαρήσεται. λέγω δὲ ταῦτα ζήλῳ
505 τῶν ἐναντίων περιεργότερον κατεξετάζων τὸν λόγον. καὶ
οὐδεὶς ἂν ἴσως ἀντείποι μὴ ἐγγὺς τοῦ εἰκότος τὴν θεωρίαν
προάγεσθαι, ὅτι δυνατοῦ ὄντος τοῦ κτιστοῦ κατὰ τὸ ἴσον
τῷ ἀκτίστῳ ἀντιστήσεταί πως τὸ ἑτερογενὲς τῇ φύσει τῷ
μὴ ὡσαύτως κατὰ τὴν οὐσίαν ἔχοντι, καὶ ἕως ἂν μηθετέρῳ
αὐτῶν ἐπιλίπῃ ἡ δύναμις, εἰς ἀσύμφωνόν τινα στάσιν πρὸς
ἄλληλα τὰ δύο διενεχθήσεται· πᾶσα γὰρ ἀνάγκη κατάλ-
ληλον εἶναι καὶ οἰκείαν ὁμολογεῖν τῇ φύσει καὶ τὴν προ-
αίρεσιν, καὶ εἰ ἀνομοίως ἔχοιεν κατὰ τὴν φύσιν, ἀνόμοια
506 εἶναι καὶ τὰ θελήματα. τῆς δὲ δυνάμεως ἐφ' ἑκατέρων
ἱκανῶς ἐχούσης, οὐθέτερον ἀτονήσει πρὸς τὴν ἐκπλήρωσιν
τοῦ ἰδίου θελήματος· καὶ εἰ τοσοῦτον ἑκάτερον δύναιτο,
ὅσον καὶ βούλεται, εἰς ἀμφήριστον ἑκατέροις ἡ ἀρχὴ κατα-
στήσεται, τῷ ἀνενδεεῖ τῆς δυνάμεως εἰς τὸ ἀντίπαλον προϊ-
507 οῦσα. καὶ οὕτω τὸ τῶν Μανιχαίων δόγμα παρεισδύσεται,
δύο τινῶν ἐναντίων ἀλλήλοις ἐν τῷ λόγῳ τῆς ἀρχῆς ἀντι-
φανέντων, τῷ διαλλάσσοντι τῆς φύσεως καὶ τῆς προαιρέσεως
πρὸς τὸ ἀντικείμενον διατμηθέντων. καὶ γίνεται αὐτοῖς ἡ
408 M. τῆς ἐλαττώσεως κατασκευὴ τῶν Μανιχαϊκῶν δογμάτων
ἀρχή. τὸ γὰρ τῆς οὐσίας ἀσύμφωνον εἰς δύο ἀρχὰς περι-

VLACTS 4 τοῦτο VL v 7 ἐν addidi 10 τοῦ δόγματος ante τὸν λόγον add V 13 τοῦ ἀκτίστου VL πως: ὡς V 13-14 τὸ μὴ L 14 κατὰ τὴν οὐσίαν om ACTS v 15 ἐπιλείπῃ V 16-17 κατάλληλων L sscr o 18 καὶ: κἂν V εἰ om VL 21 εἰ: εἰς VL δύναται T 22 καὶ om C εἰς ἑκάτερον ἀμφοτέροις ἡ ἀρχὴ V 24 παρεισδύεται VCT 25-26 ἀναφανέντων correxi: ἀντιφανέντων libri 27 πρὸς τὸν VL

ἵστησι τὸ δόγμα, καθὼς ὁ λόγος ὑπέδειξε, τῷ κτιστῷ καὶ
τῷ ἀκτίστῳ διῃρημένας.
508 Ἀλλὰ ταῦτα μὲν ἴσως βεβιασμένην ἔχοντα τὴν τοῦ
ἀτόπου κατασκευὴν οἱ πολλοὶ αἰτιάσονται καὶ οὐδὲ γεγρά-
φθαι τὸ παράπαν μετὰ τῶν λοιπῶν ἀξιώσουσιν. ἔστω ταῦτα·
οὐδὲ ἡμεῖς ἀντιλέγομεν. οὐδὲ γὰρ κατ' οἰκείαν ὁρμήν,
ἀλλὰ διὰ τοὺς ἀντιμαχομένους εἰς τὴν τοιαύτην περιεργίαν
ἐκβαλεῖν τὸν λόγον ἐκ τῆς ἀκολουθίας προήχθημεν. εἰ δὲ
οὐ χρὴ ταῦτα λέγειν, πολὺ πρότερον σιωπᾶσθαι προσήκει
τῶν ἐναντίων τὸν λόγον τὸν τῆς τοιαύτης ἀντιρρήσεως τὰς
ἀφορμὰς παρεχόμενον. οὐ γὰρ ἔστιν ἑτέρως ἐπισχεῖν τὸν
τοῖς πονηροῖς ἀντιλέγοντα, μὴ τὴν ὑπόθεσιν ἐξελόντα τῆς
509 ἀντιρρήσεως. πλὴν ἡδέως ἂν συμβουλεύσαιμι τοῖς οὕτω
διακειμένοις μικρόν τι τῆς φιλονεικίας ἔξω γενέσθαι καὶ
μὴ λίαν ἐκθύμως τῶν οἰκείων ὑπερμαχεῖν ὑπολήψεων, αἷς
ἤδη προειλημμένοι τυγχάνουσι, μηδὲ πανταχόθεν ἀναζητεῖν,
ὅπως ἂν τὸ πλέον ἔχοιεν τῶν ἀντιτεταγμένων, ἀλλ' ὡς
ὑπὲρ ψυχῆς ὄντος τοῦ δρόμου, μόνῳ τῷ συμφέροντι πείθεσθαι
καὶ τῇ ἀληθείᾳ διδόναι τὰ νικητήρια. εἰ τοίνυν τοῦ φιλο-
νεικεῖν τις ἀποστὰς αὐτὸν ἐφ' ἑαυτοῦ διασκοποῖτο τὸν
λόγον, οὐ χαλεπῶς εὑρήσει τὴν ἐμφαινομένην ἀτοπίαν τῷ
δόγματι.
510 Ὑποθώμεθα γὰρ συγχωρεῖσθαι κατὰ τὸν λόγον τῶν
ὑπεναντίων τὴν ἀ γ ε ν ν η σ ί α ν οὐσίαν εἶναι καὶ πάλιν ὡσ-
αύτως τὴν γέννησιν εἰς οὐσίαν ἀναλαμβάνεσθαι. οὐκοῦν
εἴ τις ἀκριβῶς τῇ διανοίᾳ τῶν λεγομένων ἀκολουθήσειε, τὸ
Μανιχαϊκὸν αὐτοῖς δόγμα διὰ τῆς ὁδοῦ ταύτης ἀναπλασθή-
σεται, εἴπερ κακοῦ πρὸς ἀγαθὸν καὶ φωτὸς πρὸς σκότος
καὶ πάντων τῶν τοιούτων κατὰ τὸ ἐναντίον τῆς φύσεως τὴν
511 ἀντίθεσιν δογματίζειν τοῖς Μανιχαίοις δοκεῖ. καὶ ὅτι

VLACTS 1 ὑπέδειξε: ὑπέγραψε T 3 καὶ post ἴσως inserit V 5 μετὰ om S τοῦ λοιποῦ S 6 οὐδὲν ἡμεῖς L ἀντιλέγωμεν L o sscr 8 ἐκκαλεῖν V 11-12 τὸν ante τοῖς om V 15 εὐθύμως VL οἰκείων: ἰδίων L 18 πείθεσθαι correxi: τίθεσθαι 19 τὰ om v τοῦ om v 20 διασκοποῖ τὸν V v τοῖς 30 τοῖς Μανιχαίοις: τοῖς ἐναντίοις S

ταῦτα ἀληθῆ λέγω, ῥᾳδίως οἶμαι συνθήσεσθαι τὸν μὴ ῥᾳθύμως παραδραμόντα τὸν λόγον. οὑτωσὶ δὲ διασκεψώμεθα. ἑκάστῳ τῶν ὑποκειμένων προσφυῆ τινα πάντως ἐπιθεωρεῖται γνωρίσματα, δι' ὧν τὸ ἰδιάζον τῆς ὑποκειμένης ἐπιγινώσκεται φύσεως, εἴτε ἐπὶ τῆς τῶν ζῴων διαφορᾶς ἐξετάζοις τὸν λόγον εἴτε καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. οὐ γὰρ τοῖς αὐτοῖς τὸ ξύλον καὶ τὸ ζῷον χαρακτηρίζεται, οὐδὲ ἐν τοῖς ζῴοις ἐπικοινωνεῖ τὰ τοῦ ἀνθρώπου γνωριστικὰ σημεῖα πρὸς τὴν ἄλογον φύσιν, οὐδ' αὖ πάλιν τὰ αὐτὰ δείκνυσι τήν τε ζωὴν καὶ τὸν θάνατον, ἀλλ' ἐπὶ πάντων ἁπαξαπλῶς, καθὼς εἴρηται, ἄμικτός τίς ἐστι καὶ ἀκοινώνητος ἡ τῶν ὑποκειμένων διάκρισις, οὐδὲν τοῖς τῶν ἐπιθεωρουμένων γνωρίσμασι διά τινος κοινωνίας συγχεομένη.
512 κατὰ τοίνυν τὴν ἀκολουθίαν ταύτην ἐξετασθήτω τῶν ὑπεναντίων ὁ λόγος. τὴν ἀγεννησίαν οὐσίαν φασὶ καὶ τὴν γέννησιν ὡσαύτως εἰς οὐσίαν ἀνάγουσιν. ἀλλ' ὥσπερ ἀνθρώπου καὶ λίθου ἕτερα καὶ οὐ τὰ αὐτὰ γνωρίσματα (οὐ γὰρ ἂν τὸν αὐτὸν ἀποδοίης ἑκατέρου λόγον ἐμψύχου τε καὶ ἀψύχου τὸ τί ἐστιν ὁριζόμενος), οὕτω πάντως ἄλλοις μὲν γνωρίζεσθαι τὸν ἀγέννητον σημείοις δώσουσιν, ἑτέροις δὲ
409 M. τὸν γεννητόν. οὐκοῦν θεωρήσωμεν τὰ ἰδιάζοντα τοῦ ἀγεννήτου θεοῦ ὅσα εὐσεβῶς λέγειν τε καὶ νοεῖν παρὰ τῆς ἁγίας γραφῆς περὶ αὐτοῦ μεμαθήκαμεν.

513 Τίνα οὖν ἔστι ταῦτα; οὐδένα οἶμαι τῶν Χριστιανῶν ἀγνοεῖν ὅτι ἀγαθὸς ὅτι χρηστὸς ὅτι ἅγιος δίκαιός τε καὶ ὅσιος ἀόρατός τε καὶ ἀθάνατος, φθορᾶς τε καὶ τροπῆς καὶ ἀλλοιώσεως ἀνεπίδεκτος, δυνατὸς σοφὸς εὐεργέτης κύριος κριτὴς πάντα τὰ τοιαῦτα. τί γὰρ δεῖ τοῖς ὁμολογουμένοις ἐνδιατρίβοντα παρατείνειν τὸν λόγον;

VLACTS 4-5 ὑπερκειμένων pr ut vid V ο in rasura 4 ἰδιάζων L 6 καὶ om AT v 8 ἐν om ACTS v 11 τίς om VS 12 οὐδ' ἐν VL 13 ὑποθεωρουμένων sed ὑπο in ἐπι corr L 16 γένησιν V ἄγουσιν CS 18 ἑκ. ἀποδοίης A v 18-19 ἔμψυχόν τε καὶ ἄψυχον libri v, correxi 20 τὸν: τὸ V τοῦ θεοῦ (sine τοῦ L) post ἀγέννητον addunt VL 21 τὸν: τὸ V θεωρήσομεν V 24 τίνα: τί CT 25 ὅτι χρηστὸς om V 26 φθορᾶς δὲ V 27 δυνατὸς om CT 28 τοῖς om v

514 [μένοις ἐνδιατρίβοντα παρατείνειν τὸν λόγον;] εἰ οὖν ταῦτα ἐν τῇ ἀγεννήτῳ φύσει καταλαμβάνομεν, τὸ δὲ γεννηθῆναι τῷ μὴ γεννηθῆναι ὑπεναντίως ἔχει κατὰ τὴν ἔννοιαν, ἀνάγκη πᾶσα συνθέσθαι τοὺς τὴν ἀγεννησίαν καὶ τὴν γέννησιν οὐσίαν εἶναι ὁριζομένους κατὰ λόγον τῆς τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον ἀντιθέσεως καὶ τὰ γνωριστικὰ σημεῖα τῆς γεννητῆς οὐσίας ὑπεναντίως ἔχειν τοῖς ἐπιθεωρουμένοις τῇ
515 ἀγεννήτῳ φύσει. εἰ γὰρ τὰ αὐτὰ λέγοιεν, οὐκέτι τὸ ἑτεροῖον τῆς τῶν ὑποκειμένων φύσεως διὰ τῆς ταὐτότητος τῶν ἐπιθεωρουμένων συστήσεται. τῶν γὰρ ἑτεροίως ἐχόντων ἕτερα χὴ πάντως εἶναι καὶ τὰ γνωρίσματα οἴεσθαι, ὅσα δὲ ὡσαύτως κατὰ τὸν λόγον τῆς οὐσίας ἔχει, τοῖς αὐτοῖς δηλαδὴ σημείοις χαρακτηρίζεται. εἰ μὲν οὖν τὰ αὐτὰ καὶ τῷ μονογενεῖ προσμαρτυροῦσιν, οὐδεμίαν, καθὼς εἴρηται,
516 περὶ τὸ ὑποκείμενον διαφορὰν ἐννοοῦσιν. εἰ δὲ τοῖς βλασφήμοις ἐπιμένοιεν λόγοις καὶ τὸ παρηλλαγμένον τῆς φύσεως ἐν τῇ διαφορᾷ τοῦ γεννητοῦ καὶ τοῦ ἀγεννήτου κατασκευάζοιεν, εὔκολον συνιδεῖν πάντως τὸ ἐκ τῆς ἀκολουθίας ἀναφαινόμενον, ὅτι, κατὰ τὴν τῶν ὀνομάτων ἀντίθεσιν καὶ τῆς φύσεως τῶν ὑπὸ τῶν ὀνομάτων σημαινομένων ὑπεναντίως ἔχειν πρὸς ἑαυτὴν νομισθείσης, ἀνάγκη πᾶσα καὶ τὰ ἐπιθεωρούμενα ἑκατέροις πρὸς τὸ ἐναντίον διενεχθῆναι, ὥστε τῶν ἐπὶ τοῦ πατρὸς λεγομένων τὰ ἀντικείμενα τῷ μονογενεῖ ἐφαρμόζεσθαι, θεότητος ἁγιασμοῦ ἀγαθότητος ἀφθαρσίας ἀϊδιότητος καὶ εἴ τι ἄλλο τὸν ἐπὶ πάντων θεὸν διὰ τῶν εὐσεβῶν ἡμῖν νοημάτων παρίστησιν· ὥστε πάντα τὰ ἀπεμφαίνοντα καὶ ἑκάστῳ τῶν πρὸς τὸ κρεῖττον ὑπειλημμένων ἀντιδιαστελλόμενα τῆς γεννητῆς ἴδια νομίζειν οὐσίας εἶναι.

517 Σαφηνείας δὲ χάριν προσδιατριπτέον ἡμῖν ἐστι τῷ τόπῳ. ὥσπερ τῷ θερμῷ καὶ τῷ ψυχρῷ ἐναντίοις οὖσι κατὰ

VLACTS 1 παρεκτείνειν V 7 τοῖς om L ὑποθεωρουμέ.οις V 13 οὖν: γοῦν VL 17 τοῦ ante ἀγεννήτου om CTS 18 ἀναφαινόμενον: φαινόμενον V 22 καὶ post ὥστε add T 26 ἡμῖν VA v: ἡμῶν LCS om T τὰ post πάντα om L 28 διαστελλόμενα S 29 ἡμῖν om v 30 καὶ τῷ ψυχρῷ καὶ τῷ θερμῷ V

τὴν φύσιν (ὑποκείσθω δὲ τῷ λόγῳ πῦρ τε καὶ κρύσταλλος,
ἐκεῖνο ἑκάτερον ὂν ὅπερ οὐκ ἔστι τὸ ἕτερον) καὶ τὰ ἰδίως
ἑκατέρῳ τούτων ἐπιφαινόμενα παρηλλαγμένως ἔχει πάντως
πρὸς ἄλληλα (ἴδιον γὰρ τοῦ μὲν κρυστάλλου ἡ ψύξις, τοῦ
δὲ πυρὸς ἡ θερμότης), οὕτως εἴπερ κατὰ τὴν ἐν τοῖς ὀνό-
μασιν ἐναντίωσιν ἐπὶ τοῦ ἀγεννήτου καὶ γεννητοῦ καὶ ἡ διὰ
τῶν ὀνομάτων δηλουμένη φύσις πρὸς τὸ ἀντικείμενον δια-
σταίη, οὐκ ἐνδέχεται τὰς δυνάμεις τῶν κατὰ φύσιν ὑπεναν-
τίων ὁμοίας ἀλλήλαις εἶναι, ὡς οὐκ ἐνδέχεται οὔτε ἐν
πυρὶ τὴν ψύξιν οὔτε ἐν κρυστάλλῳ γενέσθαι τὴν πύρωσιν.
518 εἰ οὖν ἐν τῇ ἀγεννήτῳ οὐσίᾳ ἡ ἀγαθότης νοεῖται, διέστηκε
δέ, καθὼς ἐκεῖνοί φασιν, ἐν τῷ λόγῳ τῆς φύσεως πρὸς
412 M. τὴν γεννητὴν ἡ ἀγέννητος, συνδιαστήσεται πάντως καὶ τοῦ
ἀγεννήτου τὸ ἴδιον ἀπὸ τοῦ κατὰ τὸ γεννητὸν ἰδιάζοντος·
ὥστε εἰ ἐν ἐκείνῳ τὸ ἀγαθόν, ἐν τούτῳ νοεῖσθαι τὸ τῷ
ἀγαθῷ ἀντικείμενον. καὶ οὕτως ἡμῖν διὰ τῶν σοφῶν τού-
των δογματιστῶν πάλιν ὁ Μάνης ἀναβιώσεται, τὴν τῆς
κακίας φύσιν ἀντιπαρεξάγων τῷ ἀγαθῷ καὶ τῇ τῶν οὐσιῶν
ἑτερότητι δογματίζων τὸ ἐν ταῖς δυνάμεσιν αὐτῶν ἀντικεί-
μενον.

519 Εἰ δὲ χρὴ μηδὲν ὑποστειλάμενον μετὰ παρρησίας
εἰπεῖν, συγγνωστότερος τούτων ὁ Μάνης εἰκότως ἂν εἶναι
νομίζοιτο, ὃν πρῶτόν φασι τοῖς δόγμασι τῶν Μανιχαίων
ἐπιτολμήσαντα ἀφ᾽ ἑαυτοῦ κατονομάσαι τὴν αἵρεσιν. λέγω
δὲ ταῦτα, ὡς ἂν εἴ τις ἐχίδνης καὶ ἀσπίδος τὴν φιλαν-
θρωποτέραν ἐκλέγοιτο· πλὴν ἀλλ᾽ ἐπειδή ἐστι καὶ ἐν θη-
ρίοις τοῦ χείρονος κρίσις, οὐχὶ τούτων ἐκείνους ἀνεκτοτέ-
520 ρους εἶναι δοκιμαζόμενα τὰ δόγματα δείκνυσιν; ὁ μὲν γὰρ
συναγορεύειν ᾤετο τῷ τῶν ἀγαθῶν αἰτίῳ, ὡς οὐδεμιᾶς
κακῶν αἰτίας ἀπ᾽ ἐκείνου τὴν ἀρχὴν λαβούσης, καὶ διὰ

VLACTS 5 τὴν ἐν om VL   7 δηλοῦσα V   9 ἀλλήλας V   18 ἀντ-επαρεξάγων L   ἀντεπε . . . άγων V ut vid, fuitne ἀντεπεξάγων?   18-19 τὴν . . . ἑτερότητα VL   23 τῶν om A v   27 τοῦ χείρονος om ACTS v   28 δόγματα: πράγματα V   29 τῷ αὐτῷ ἀγαθῶν αἰτίῳ v

τοῦτο εἰς ἑτέραν ἀρχὴν ἰδιάζουσαν τῶν πρὸς τὸ χεῖρον
ἀριθμουμένων πάντων τὴν αἰτίαν ἀνῆψεν οἷον ἀπολογού-
μενος ὑπὲρ τοῦ θεοῦ τῶν ὅλων, ὡς οὐκ εὐαγὲς ὂν τὴν τῶν
ἀγαθῶν πηγὴν καὶ τῶν παρὰ λόγον πλημμελουμένων ἐπαι-
τιᾶσθαι, οὐ συνιεὶς ὑπὸ μικροψυχίας, ὅτι δυνατὸν ἦν μήτε
κακῶν δημιουργὸν τὸν θεὸν οἴεσθαι μήτε ἄλλο τι ἄναρχον
521 παρὰ τὸν θεὸν φαντασθῆναι. περὶ ὧν πολὺς ὁ λόγος καὶ
οὐ τοῦ παρόντος ἂν εἴη καιροῦ. καὶ οὗ χάριν τῶν εἰρη-
μένων ἐμνήσθημεν, ὅτι ἐκεῖνος μὲν ἀφιστᾶν ᾤετο δεῖν ἀπὸ
τοῦ θεοῦ τῶν ὅλων τὴν τῆς κακίας ἀρχήν, οὗτοι δὲ κἀ-
κείνων χαλεπωτέραν κατασκευάζουσι τὴν ἔκτοπον ταύτην
522 κατὰ τοῦ υἱοῦ βλασφημίαν. τῶν μὲν γὰρ κακῶν τὴν φύσιν
παραπλησίως ἐκείνοις διὰ τῆς κατὰ τὴν οὐσίαν ἐναντιότητος
δογματίζουσιν [ὃν υἱὸν ὀνομάζουσιν·] ἐν ᾧ δὲ πάλιν τοῦ
τοιούτου πλάσματος τὸν θεὸν τῶν ὅλων δημιουργὸν ἀποφαί-
νονται, παρ᾽ οὗ φασι τὴν γέννησιν ἐργασθεῖσαν οὐσίαν
ἀλλοτρίως ἔχειν κατὰ τὴν φύσιν πρὸς τὸν ποιήσαντα, ἐν
τούτῳ τὸ πλέον εἰς ἀσέβειαν παρὰ τοὺς μνημονευθέντας
ἔχουσιν, ὅτι οὐ μόνον ὑπόστασιν διδόασι τῷ ἐναντίως πρὸς
τὸ ἀγαθὸν κατὰ τὴν φύσιν ἔχοντι, ἀλλ᾽ ὅτι τὸν ἀγαθὸν
θεὸν ἄλλου θεοῦ τοῦ κατὰ τὴν φύσιν διηλλαγμένου λέ-
γουσιν αἴτιον εἶναι, μονονουχὶ φανερῶς βοῶντες ἐν τῷ δόγ-
ματι, ὅτι ἔστι τι ὑπεναντίον τῇ τοῦ ἀγαθοῦ φύσει, παρ᾽
523 αὐτοῦ ἔχον τοῦ ἀγαθοῦ τὴν ὑπόστασιν. τῆς γὰρ τοῦ πατρὸς
οὐσίας ἀγαθῆς εἶναι πεπιστευμένης, τῆς δὲ τοῦ υἱοῦ διὰ
τὸ μὴ ὡσαύτως ἔχειν τῷ πατρὶ κατὰ τὸν τῆς φύσεως λόγον,
καθὼς δοκεῖ τῇ αἱρέσει, ἐν τοῖς ἐναντίοις κατὰ τὸ ἀκό-
λουθον εὑρισκομένης, τί διὰ τούτων κατασκευάζεται; τὸ καὶ
ὑφεστάναι τὸ τῷ ἀγαθῷ ἀντικείμενον καὶ ἐξ αὐτοῦ τοῦ

VLACTS 1 ἑτ. ἰδ. ἀρχὴν V ἀρχὴν ἑτ. ἰδ. A v   5 μή.ε correxi: μηδὲ   9-10 περὶ τοῦ VLACT v   10 τὴν ante τῆς om VLACT v   12 καὶ τοῦ υἱοῦ C κατὰ τοῦ θεοῦ v, fortasse recte   13 κἀκείνοις L   14 ὃν υἱὸν ὀνομάζουσιν VLCTS (καὶ pro ὃν T) om A v tamquam glossema ad 15 πλάσματος delenda videntur   18 τοῦ μνημονευθέντος V   21 ἄλλου: ἀλλ᾽ οὐ CT   διηλαγμένου L   27-28 τὸ ἀκόλουθον: τὸ οὐκ ἀγαθὸν S

ἀγαθοῦ ὑποστῆναι τὸ ὑπεναντίον τῇ φύσει. τοῦτό φημι
καὶ τῆς τῶν Μανιχαίων ἀτοπίας εἶναι φρικτότερον.
524 Εἰ δὲ ἀρνοῦνται τῷ λόγῳ τὸ βλάσφημον, ὅπερ ἡ
ἀκολουθία τοῦ δόγματος δείκνυσι, φασὶ δὲ τῶν ἀγαθῶν τοῦ
πατρὸς τὸν μονογενῆ κεκληρονομηκέναι, μὴ υἱὸν ἀληθῶς
413 M. ὄντα κατὰ τὴν τῶν εὐσεβῶν δόξαν, ἀλλὰ διὰ κτίσεως τὴν
ὑπόστασιν ἔχοντα, καὶ τοῦτο πάλιν κατεξετάσωμεν, εἰ δυ-
νατόν ἐστι συστῆναι κατὰ τὸν εἰκότα λόγον τὴν τοιαύτην
525 ὑπόνοιαν. ἐὰν γὰρ δοθῇ κατὰ τὸν λόγον αὐτῶν μὴ ἀλη-
θῶς υἱὸν ὄντα κεκληρονομηκέναι τῶν πάντων τὸν κύριον,
ἀλλὰ κτισθέντα καὶ ποιηθέντα τῶν ὁμογενῶν ἄρχειν, πῶς
καταδέξεται καὶ οὐ συστασιάσει ἡ λοιπὴ κτίσις ἐκ τοῦ
ὁμοφύλου πρὸς τὸ ὑποχείριον ἀπωσθεῖσα, εἰ μηδὲν κατὰ
τὴν φύσιν ἔλαττον ἔχουσα (κτιστὴ γὰρ καὶ αὐτὴ ὥσπερ
κἀκεῖνος) ἔπειτα τῷ ὁμοφύλῳ δουλεύειν καὶ ὑποκύπτειν
526 καταδικάζοιτο; τυραννίδι γὰρ ὅμοιον τὸ τοιοῦτο, μὴ τῇ
τῆς οὐσίας ὑπεροχῇ τὸ κράτος νέμειν, ἀλλὰ μενούσης ἐν
τῷ ὁμοτίμῳ τῆς φύσεως μερισθῆναι τὴν κτίσιν εἰς δουλείαν
καὶ κυριότητα, ὥστε ἐν αὐτῇ τὸ μέν τι ἄρχειν, τὸ δὲ ὑπο-
χείριον εἶναι, καθάπερ ἐκ διακληρώσεως τούτου τοῦ ἀξιώ-
ματος συντυχικῶς προσγενομένου τῷ κατὰ τὸν κλῆρον λα-
527 βόντι τὴν τῶν ὁμοίων προτίμησιν. οὐδὲ γὰρ ἄνθρωπος
ὁμοτίμως ἔχων πρὸς τὴν ὑποχείριον φύσιν τὴν κατὰ τῶν
ἀλόγων ἀρχὴν ἐκληρώσατο, ἀλλὰ προτερεύων τῷ λόγῳ
κυριεύει τῶν ἄλλων, τῷ πρὸς τὸ κρεῖττον αὐτῷ παρηλ-
λάχθαι τὴν φύσιν προτεταγμένος. αἱ δὲ ἀνθρώπιναι δυνα-
στεῖαι τούτου χάριν ἀγχιστρόφους ἔχουσι τὰς μεταβολάς,
ὅτι οὐ δέχεται τὸ κατὰ τὴν φύσιν ὁμότιμον μὴ ἰσομοιρεῖν
[ἐν] τῷ κρείττονι, ἀλλά τις ἔγκειται φυσικὴ πᾶσιν ἐπιθυμία

VLACTS 1 ἀγαθοῦ om L ὑποστῆναι correxi: στῆναι cf 177,19 24,29 3 τῷ βλάσφημον L 6 ὄντα: εἶναι S ἀσεβῶν VLA v 9 δοθείη v 10 τὸν πάντων κύριον VLA τῶν π. κ. v 12 στασιάσει V συστάσει L 13 ἡ μηδὲν T 14 αὕτη VA v 15 τῷ om v ὑποπίπτειν S 16-17 τῆς οὐσίας τῇ ὑπεροχῇ T 20 ἀποκληρώσεως A v τούτου τοῦ correxi: τοῦ αὐτοῦ 21 κατὰ correxi: μετὰ 25 τῷ om VL 29 ἐν delevi

528 πρὸς τὸ ἐπικρατοῦν ἐξισάζεσθαι, ὅταν ὁμόφυλον ᾖ. πῶς
δὲ ἀληθὲς ἔσται τὸ πάντα δι' αὐτοῦ γεγενῆσθαι, ἐὰν
ἀληθὲς ᾖ τὸ καὶ αὐτὸν νὸν υἱὸν ἕν τι τῶν γεγονότων εἶναι;
ἤτοι γὰρ καὶ ἑαυτὸν πεποιηκὼς ἔσται, ἵνα μὴ ψεῦδος τὸ
γεγραμμένον ᾖ ὅτι Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ οὕτω κατ'
αὐτῶν ἰσχύσει τὸ ἄτοπον ὃ κατὰ τοῦ δόγματος ἡμῶν ἐσο-
φίσαντο τὸ αὐτὸν ὑφ' ἑαυτοῦ γενέσθαι λέγειν, ἢ εἴπερ
τοῦτο παράλογον καὶ φύσιν οὐκ ἔχον, ἀσύστατον πάν-
τως ἐκεῖνο δειχθήσεται, τὸ τὴν κτίσιν πᾶσαν δι' αὐτοῦ
529 γεγενῆσθαι διϊσχυρίζεσθαι. ἡ γὰρ τοῦ ἑνὸς ὑπεξαίρεσις
ψευδῆ τὸν περὶ πάντων κατασκευάζει λόγον, ὥστε ἐκ μὲν
τοῦ κτιστὸν εἶναι τὸν μονογενῆ διορίζεσθαι δύο πονηρῶν
καὶ ἀτόπων τὸ ἕτερον πάντως ὁ λόγος οὐ διαφεύξεται, ἢ
τὸ μὴ εἶναι πάντων αὐτὸν τῶν γεγονότων αἴτιον, εἴπερ
αὐτὸς ἐκεῖνος ὑπεξαιροῖτο τῶν πάντων, ὃν ἓν τῶν ἔργων
διϊσχυρίζονται, ἢ τὸ καὶ ἑαυτοῦ ποιητὴν ἀποδείκνυσθαι,
εἴπερ μὴ ψεύδεται ὁ μηδὲν τῶν γεγονότων χωρὶς ἐκείνου
γεγενῆσθαι κηρύξας.
530 Τὰ μὲν οὖν παρ' ἐκείνων τοιαῦτα. εἰ δέ τις τῇ
ὑγιαινούσῃ διδασκαλίᾳ προσέχων ἐκ τῆς θείας τε καὶ
ἀκηράτου φύσεως τὸν υἱὸν εἶναι πιστεύοι, πάντα συνῳδὰ
τῷ τῆς εὐσεβείας ἀναφανήσεται δόγματι, τὸ ποιητὴν εἶναι
τῶν πάντων τὸν κύριον, τὸ βασιλεύειν τῶν ὄντων, οὐ
κατὰ ἀποκλήρωσιν ἢ κατὰ τυραννικήν τινα δυναστείαν
τῶν ὁμοφύλων προτεταγμένον, ἀλλὰ τῇ τῆς φύσεως ὑπερ-
531 οχῇ τὸ κατὰ πάντων ἔχοντα κράτος, καὶ ἔτι πρὸς τού-
τοις τὸ μὴ εἰς διαφόρους ἀρχὰς τῇ ἑτερότητι τῆς φύσεως
416 M. διῃρημένας τὸ τῆς μοναρχίας δόγμα καταμερίζεσθαι, ἀλλὰ
μίαν θεότητα, μίαν ἀρχήν, μίαν τῶν πάντων ἐξουσίαν εἶναι

5 Joh 1,3

VLACTS 4 ἑαυτὸν: αὐτὸν V 6-7 ἐσοφίσαιο CT 9 κτίσιν: φύσιν V ἅπασαν μὴ δι' αὐτοῦ V 10 ὑπεξαίρησις V 15 ὧν T 16 καὶ om L 19 τῇ om v 24 κατὰ ante τυραννικήν om VL 25 προτεταγμένων L et prius V sed o ex ω correxit V

πιστεύειν, ἐν τῇ τῶν ὁμοίων συμφωνίᾳ τῆς θεότητος θεω-
ρουμένης καὶ διὰ τοῦ ὁμοίου πρὸς τὸ ὅμοιον τὴν διάνοιαν
ἀγούσης, ὡς τῆς πάντων μὲν ἀρχῆς, ἥτις ἐστὶν ὁ κύριος,
διὰ τοῦ ἁγίου πνεύματος ταῖς ψυχαῖς ἐλλαμπούσης (ἀμή-
χανον γὰρ ἄλλως θεωρηθῆναι τὸν κύριον Ἰησοῦν, εἰ μὴ ἐν
πνεύματι ἁγίῳ, καθώς φησιν ὁ ἀπόστολος), διὰ δὲ τοῦ
κυρίου, ὅς ἐστιν ἡ πάντων ἀρχή, τῆς ἐπέκεινα πάσης
ἀρχῆς ἡμῖν εὑρισκομένης, ἥτις ἐστὶν ὁ ἐπὶ πάντων θεός·
οὐδὲ γὰρ δυνατόν ἐστιν ἄλλως τὸ ἀρχέτυπον ἀγαθὸν ἐπι-
532 γνωσθῆναι, μὴ ἐν τῇ εἰκόνι τοῦ ἀοράτου φαινόμενον. ὥσπερ
δέ τινα δίαυλον ἀνακάμπτοντες μετὰ τὸ κεφάλαιον τῆς
θεογνωσίας, αὐτὸν λέγω τὸν ἐπὶ πάντων θεόν, διὰ τῶν
προσεχῶν τε καὶ οἰκείων τῇ διανοίᾳ τρέχοντες ἐκ τοῦ
πατρὸς διὰ τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα ἀναχωροῦμεν. ἐν
περινοίᾳ γὰρ τοῦ ἀγεννήτου φωτὸς καταστάντες ἐκεῖθεν
πάλιν τὸ ἐξ αὐτοῦ φῶς κατὰ τὸ προσεχὲς ἐνοήσαμεν οἷον
ἀκτῖνά τινα τῷ ἡλίῳ συνυφισταμένην, ἧς ἡ μὲν αἰτία τοῦ
εἶναι ἐκ τοῦ ἡλίου, ἡ δὲ ὕπαρξις ὁμοῦ τῷ ἡλίῳ, οὐ χρό-
νοις ὕστερον προσγινομένη, ἀλλ' ὁμοῦ τῷ ὀφθῆναι τὸν ἥλιον
533 ἐξ αὐτοῦ συναναφαινομένη· μᾶλλον δὲ (οὐ γὰρ ἀνάγκη
πᾶσα τῇ εἰκόνι δουλεύοντας δοῦναι τοῖς συκοφάνταις κατὰ
τοῦ λόγου λαβὴν ἐν τῇ τοῦ ὑποδείγματος ἀτονίᾳ) οὐχὶ ἀκ-
τῖνα ἐξ ἡλίου νοήσομεν, ἀλλ' ἐξ ἀγεννήτου ἡλίου ἄλλον
ἥλιον ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκ-
λάμποντα καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα κάλλει δυ-
νάμει λαμπηδόνι μεγέθει φαιδρότητι καὶ πᾶσιν ἅπαξ τοῖς
περὶ τὸν ἥλιον θεωρουμένοις. καὶ πάλιν ἕτερον τοιοῦτον
φῶς κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ τινι διαστήματι

5 I Cor 12, 3

VLACTS 4 τῆς post διὰ add V   ἐλαμπούσης L   5 ἄλλως: ἀληθῶς A v   τὸν om VLAS   verba τὸν κύριον usque ad εἰ μὴ om v   10 τοῦ ante ἀοράτου om v   ὁρατοῦ V   17 ἧς μὲν ἡ V   19 προσγενομένη ACTS v   19-20 verba ἀλλ' ὁμοῦ usque ad συναναφαινομένη om T   τῷ: τὸ L   20 ἀναφαινομένη A v   21 πᾶσα: πᾶσι v   21-22 κατὰ τοῦ λόγου om CTS   26 λαμπρότητι κ. π. S

τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν
ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρω-
τοτύπου φωτός, φῶς μέντοι καὶ αὐτὸ καθ' ὁμοιότητα τοῦ
προεπινοηθέντος λάμπον καὶ φωτίζον καὶ τὰ ἄλλα πάντα
534 τὰ τοῦ φωτὸς ἐργαζόμενον. οὐδὲ γάρ ἐστι φωτὶ πρὸς
ἕτερον φῶς κατ' αὐτὸ τοῦτο παραλλαγή, ὅταν κατ' οὐδὲν
τῆς φωτιστικῆς χάριτος ἐνδέον ἢ ὑστερούμενον φαίνηται,
ἀλλὰ πάσῃ τελειότητι πρὸς τὸ ἀκρότατον ἐπηρμένον μετὰ
πατρὸς καὶ υἱοῦ θεωρεῖται, μετὰ πατέρα καὶ υἱὸν ἀριθμεῖται,
καὶ δι' ἑαυτοῦ τὴν προσαγωγὴν πρὸς τὸ ἐπινοούμενον φῶς τὸ
ἐν πατρὶ καὶ υἱῷ πᾶσι τοῖς μετασχεῖν δυναμένοις χαρίζεται.
535 Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. ἐπεὶ δὲ πολύς ἐστιν
εὐροῶν ταῖς λοιδορίαις καὶ πάσης μὲν ἀρχῆς κατα-
σκευὴν τὴν ὕβριν ποιούμενος, ἀντὶ δὲ πάσης ἀποδείξεως
τῶν ἀμφισβητουμένων τὴν λοιδορίαν ἐπάγων, φέρε καὶ
ὅσα περὶ τῆς τοῦ ἀγεννήτου φωνῆς συκοφαντῶν τὸν διδά-
σκαλον ἡμῶν καὶ εἰς αὐτὸν ἐκεῖνον καὶ εἰς τὸν λόγον
536 ἐξύβρισε, βραχέα διελέγχωμεν. παρέθετο τοῦ διδασκάλου
περὶ τούτων λέξιν ἔχουσαν οὕτως· „Ἐγὼ δὲ καὶ τὴν
τοῦ ἀγεννήτου προσηγορίαν, κἂν τὰ μάλιστα δοκῇ ταῖς ἐν-
νοίαις ἡμῶν συμβαίνειν, ἀλλ' οὖν ὡς οὐδαμοῦ τῆς γραφῆς
κειμένην καὶ πρῶτον στοιχεῖον οὖσαν τῆς βλασφημίας
417 M. αὐτοῦ, σιωπᾶσθαι ἂν δικαίως ἀξίαν εἶναι φήσαιμι, τῆς
πατρὸς φωνῆς ἴσον δυναμένης τῷ ἀγεννήτῳ· ὁ γὰρ ὄντως
πατὴρ καὶ μόνος ἐξ οὐδενός ἐστιν ἑτέρου, τὸ δὲ ἐξ οὐδενὸς
537 ταὐτόν ἐστι τῷ ἀγεννήτῳ." τίνα οὖν ἐπάγει τοῖς εἰρημένοις

19 sq Bas c Eun I p 516 D-517 A (inde ab ἐγὼ δὲ usque ad 26 τῷ ἀγεννήτῳ)

VLACTS 3 φῶς μὲν VL   4 τλάμπον prius L corr postea   9 θεωρῆται A v   ἀριθμῆται A v   10 αὐτοῦ L ut vid αὑτοῦ V   alterum τὴν post προσαγωγὴν add CT   τὸ alt: τῶ V   11 χαρίζηται A v   13 εὐρροῶν v   18 διελέγχωμεν correxi: διελεγχθῶμεν VL διαλεχθῶμεν cett   τοῦ: τὴν V   19 περὶ τούτων om V   21 ὡς om T   24 post ἀγεννήτῳ haec ex § 558 add Migne: πρὸς τῷ καὶ τὴν περὶ τοῦ υἱοῦ ἔννοιαν συνημμένως ἑαυτῇ διὰ τῆς σχέσεως συνεισάγειν sed uncinis seclusit, om ed Par et libri   26 τῷ: τὸ L   ἀγέννητος VL   τῶ ἀγεννήτω ταὐτόν ἐ... S

ἀπόδειξιν τοῦ κακῶς εἰρῆσθαι τὸν λόγον τοῦτον ἀκούσωμεν.
τὴν μὲν οὖν ἀνωμαλίαν τῶν λόγων ἣν ἐκ προ-
πετείας οὐχ ἧττον ἢ πονηρίας ἀναιδοῦς τοῖς
ἑαυτοῦ καταμίγνυσιν ἐγχειρήμασι, τῷ τῆς
γνώμης ἀστηρίκτῳ καὶ τῇ τῶν λογισμῶν ἀσθε-
νείᾳ περιφερόμενος. ὁρᾶτε τὸ εὔστοχον τῆς ἀπαν-
τήσεως, ὡς τεχνικῶς κατὰ τὴν λογικὴν αὐτοῦ ἐντρέχειαν
ἐκείνην διαλύει μὲν τῶν εἰρημένων τὴν δύναμιν, ἀντεισάγει
538 δὲ τὴν εὐσεβεστέραν ὑπόληψιν. ἀνώμαλος, φησί, τὸν
λόγον, προπετὴς οὐχ ἧττον ἢ πονηρὸς τὴν
γνώμην, ἀστήρικτος τῇ τῶν λογισμῶν ἀσθε-
νείᾳ περιφερόμενος. πόθεν ταῦτα καὶ ἐκ ποίας
αἰτίας παροξυνθεὶς ὁ τὴν γνώμην ἐστηριγμένος καὶ τοῖς
λογισμοῖς ὑγιαίνων φησί; τίνος μάλιστα καταγνοὺς τῶν
εἰρημένων; ὅτι τὴν ἔννοιαν δέχεται τοῦ ἀγεννήτου, τὴν δὲ
φωνὴν ὡς κακῶς ἐκληφθεῖσαν παρὰ τῶν διαστρεφόντων
539 σιωπῆς ἀξίαν φησί; τί γάρ; μὴ ἐν ῥήμασι καὶ προφορᾷ
τὸ ἀσφαλὲς κινδυνεύει τῆς πίστεως, τῆς δὲ κατὰ τὴν διά-
νοιαν ἀκριβείας λόγος οὐδείς; ἢ οὐχὶ προηγουμένως τῇ
καρδίᾳ καθαρεύειν ἀπὸ τῶν πονηρῶν ἐννοημάτων ὁ τῆς
ἀληθείας παρακελεύεται λόγος, ῥήμασι δὲ κεχρῆσθαι πρὸς
δήλωσιν τῶν τῆς ψυχῆς κινημάτων, δι' ὧν ἂν ᾖ δυνατὸν
ἐνδείξασθαι τοῦ νοῦ τὸ ἀπόρρητον, οὐδὲν περὶ τὸν τοιόνδε
540 τῆς φωνῆς ἦχον μικρολογούμενον; οὐ γὰρ τὸ οὕτως ἢ ὡς
ἑτέρως εἰπεῖν αἴτιον τῆς ἐν ἡμῖν διανοίας καθίσταται, ἀλλὰ
τὸ κρυπτὸν τῆς καρδίας νόημα τῶν τοιῶνδε λόγων τὴν
αἰτίαν ἐνδίδωσιν· Ἐκ γὰρ τοῦ περισσεύματος, φησί, τῆς

27 Matth 12, 34

VLACTS 2 ἀνωνυμίαν T ἣν om A v 3 ἥττονος VLCTS ἀναιδῆ V ἀνειδεῖ L 4-5 τῷ γνώμῃ ἀστηρίκτῳ T τῷ γνώμης ἀστηρίκτῳ C 5 τῇ τῶν om VL 5-6 ἀρρωστίᾳ V ἀρρωσίαι L sententia non est absoluta 9 γνώμην post ὑπόληψιν add v, v. l. 11-12 ἀσθενείᾳ: ἀρρωστίᾳ V 19 ἢ: ἦν VL qui post ἦν interpungunt 21 παρασκευάζεται v 22 ᾗ: ἦν VL 24 ὡς om V 26 καρδίας: διανοίας S 27 ἐκδίδωσιν S

καρδίας τὸ στόμα λαλεῖ. καὶ τῶν νοηθέντων ἑρμηνέα τὸν
λόγον ποιούμεθα, οὐ τὸ ἔμπαλιν τὴν διάνοιαν ἀφ' ὧν λέ-
γομεν συναγείρομεν· κἂν μὲν ἀμφότερα συμβαίνῃ, καὶ νοεῖν
δεξιῶς καὶ ἑρμηνεύειν, ἄρτιος δι' ἑκατέρων ὁ ἄνθρωπος,
εἰ δὲ τὸ ἕτερον λίποι, ὀλίγη τῷ ἰδιώτῃ κατὰ τὸν λόγον
ἐστὶν ἡ ζημία, τῆς κατὰ ψυχὴν γνώσεως πρὸς τὸ ἀγαθὸν
541 κατηρτισμένης. Ὁ λαός, φησίν, οὗτος τοῖς χείλεσί με τιμᾷ,
ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ, τί τούτῳ
σημαίνων; ὅτι προτιμοτέρα παρὰ θεῷ κριτῇ τῷ τῶν ἀλα-
λήτων στεναγμῶν ἐπαΐοντι ἡ τῆς ψυχῆς πρὸς τὴν ἀλήθειαν
542 σχέσις τῆς ἐν ῥήμασιν εὐπρεπείας τοῦ λόγου. τούτοις μὲν
γὰρ ἔστι καὶ πρὸς τὸ ἐναντίον συγχρήσασθαι, κατὰ τὴν
ἐξουσίαν τοῦ φθεγγομένου πρὸς τὸ δοκοῦν εὐκόλως ὑπη-
ρετούσης τῆς γλώττης· ἡ δὲ τῆς ψυχῆς διάθεσις, ὅπως ἂν
ἔχουσα τύχῃ, οὕτως ὁρᾶται τῷ εἰς τὰ κρύφια βλέποντι.
543 Τίνος οὖν χάριν ἀνώμαλος καὶ προπετὴς οὐχ
ἧττον ἢ πονηρὸς ὁ τὸ μὲν εὐσεβῶς νοούμενον ἐκ τῆς
τοῦ ἀγεννήτου φωνῆς καὶ ὁμολογῶν καὶ δεχόμενος, τὸ δὲ
ὅσον συντελεῖ πρὸς ἀσέβειαν τοῖς <εἰς> τὰ δόγματα παρα-
420 M. νομοῦσι, τοῦτο σιωπᾶσθαι κελεύων; εἰ μὲν γὰρ ἔλεγεν μὴ
544 δεῖν ἀγέννητον νοεῖν τὸν θεόν, εἶχεν ἂν ἴσως καιρὸν ταύταις
καὶ ἔτι τούτων χαλεπωτέραις κατ' αὐτοῦ κεχρῆσθαι ταῖς
λοιδορίαις. εἰ δὲ τοῦτο μὲν ὁμολογεῖ κατὰ τὴν κοινὴν
τῶν εὐσεβούντων ὑπόληψιν, οἱονεὶ δὲ γνώμην δίδωσι διδα-
σκαλικῇ διαθέσει πρέπουσαν ὅτι Ἀπέχου τῆς φωνῆς ταύ-
της, εἰς ἣν ἐντεῦθεν ἡ τῆς καταστροφῆς ὑπόθεσις τὴν
ἀρχὴν ἔχει, τὴν δὲ ἔννοιαν ἔχειν περὶ τοῦ ἀγέννητον
εἶναι τὸν θεὸν καὶ δι' ἑτέρων ὀνομάτων κελεύει, οὐδὲν διὰ

7 Matth 15, 8 Jes 29, 13 9-10 cf Rom 8, 26

VLACTS 1 λαλήσει V τῇ ante τῶν add VL ἑρμηνείᾳ VL 3 συμβαίνει L 5 λείποι L λείπει V 6 ἐστὶν om A v 8 τούτῳ AS: τοῦτο VLCT v 14 γλώσσης ACT v 15 τύχοι V v 18 ὁμολογῶν: νοῶν A v 19 εἰς supplevi 19-20 παρανοοῦσι T 21 εἶναι ante νοεῖν add V ἄν om VS 22 ἔτι: ἐπὶ L κατ' αὐτοῦ om V

545 ταῦτα τῶν λοιδοριῶν τούτων ἄξιος. ἢ οὐχὶ καὶ παρὰ τῆς ἀληθείας ταῦτα ποιεῖν ἐδιδάχθημεν μηδὲ τῶν σφόδρα τιμίων ἀντέχεσθαι, ἐάν τι τούτων εἰς κακὸν συντελῇ; ὀφθαλμὸν δεξιὸν καὶ πόδα καὶ χεῖρα ὡσαύτως ἀποτέμνειν κελεύων, ὅταν σκανδαλίζῃ τι τούτων, τί ἄλλο διὰ τοῦ αἰνίγματος τούτου ποιεῖν ὑποτίθεται ἢ οὐχὶ καὶ τὰ δοκοῦντα καλῶς ἔχειν, εἰ πρός τι κακὸν ἐξ ἀβουλίας τῶν χρωμένων ἀπάγει τὸν ἄνθρωπον, ἀργὰ καὶ ἄπρακτα ποιεῖ εἶναι, ὡς λυσιτελέστερον ὂν τῶν πρὸς ἁμαρτίαν χειραγωγούντων ἀκρωτηριασθέντα σωθῆναι ἢ τούτων περιεχόμενον δι'
546 αὐτῶν ἀπολέσθαι. τί δὲ ὁ μιμητὴς τοῦ Χριστοῦ Παῦλος; καὶ αὐτὸς ἐν τῷ βάθει τῆς σοφίας τὰ αὐτὰ δογματίζει. ὁ γὰρ πάντα καλὰ προσειπὼν καὶ μηδὲν ἀπόβλητον, εἰ μετ' εὐχαριστίας μεταλαμβάνεται, ἔστιν ὅτε διὰ τὴν συνείδησιν τοῦ ἀσθενοῦντος ἀθετεῖ τινα πάλιν, ἐξ ὧν ἀπεδέξατο, καὶ παραιτεῖσθαι κελεύει. εἰ γὰρ διὰ βρῶμα, φησίν, ὁ ἀδελφός
547 μου λυπεῖται, Οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. τοῦτο τοίνυν καὶ ὁ μιμητὴς Παύλου ποιεῖ, ὃς τῇ πονηρᾷ τῆς αἱρέσεως χρήσει διὰ τῆς τοῦ ἀγεννήτου λέξεως ἰσχυροποιουμένην ἰδὼν τὴν ἀπάτην τῶν διὰ τοῦ ῥήματος τούτου τὸ ἀνόμοιον δογματιζόντων συνεβούλευε τὴν μὲν εὐσεβῆ περὶ τοῦ ἀγεννήτου διάνοιαν ταῖς ψυχαῖς διασῴζειν, τὴν δὲ λέξιν ὡς ἁμαρτίας γενομένην τοῖς ἀπολλυμένοις ἐφόδιον μὴ λίαν σπουδάζεσθαι· τὴν γὰρ τοῦ πατρὸς προσηγορίαν κατά τι σημαινόμενον καὶ τὴν τοῦ ἀγεννήτου σημασίαν ἡμῖν ἱκανῶς
548 ἐμποιεῖν. πατέρα γὰρ ἀκούσαντες τὸν αἴτιον τοῦ εἶναι τοῖς πᾶσιν εὐθὺς ἐνοήσαμεν, ὃς εἴπερ ἄλλην τινὰ ὑπερκειμένην αἰτίαν εἶχεν, οὐκ ἂν κυρίως πατὴρ ὠνομάσθη, ἐπὶ τὴν

4 Matth 5, 29 13 I Tim 4, 4 16 I Cor 8, 13 20 I Cor 8, 6

VLACTS 2 μηδὲ correxi: μήτε 3 ἀπέχεσθαι CT 5 σκανδαλίζει L τι om VL 12 ἀκρωτηριασθέντων A v 14 μεταλαμβάνεται: λαμβάνηται V μεταλαμβάνηται L καὶ ante διὰ add CT 16 βρώμης v 20 τούτου τὸ: τοῦτο L 23 ἀπολυμένοις V 24-25 κατά τι σημαινόμενον S: κατὰ τὸ σ. VLACT v (cf p 199, 1) 25 ἱκ. ἡμῖν A v 26 τοῖς om V 27 ὃς: ὡς V

προνοηθεῖσαν αἰτίαν τῆς κυρίας τοῦ πατρὸς κλήσεως ἐπανιούσης. εἰ δὲ αὐτὸς πάντων αἴτιος καὶ ἐξ αὐτοῦ τὰ πάντα, καθώς φησιν ὁ ἀπόστολος, δηλονότι τῆς ἐκείνου ὑπάρξεως οὐδὲν προεπινοηθῆναι δύναται. τοῦτο δέ ἐστι τὸ ἀγεννήτως εἶναι πιστεύεσθαι.

549 Ἀλλ' οὐ συγχωρεῖ ταῦτα καλῶς ἔχειν ὁ μηδὲ τὴν ἀλήθειαν ἑαυτοῦ πιθανωτέραν εἶναι δοκεῖν ἀξιῶν, ἀλλ' ἀντινομοθετεῖ καὶ ἀντιφθέγγεται καὶ διαχλευάζει τὸν λόγον. ἢ βούλει καὶ τοὺς ἀφύκτους συλλογισμοὺς καὶ τὰς ποικίλας τῶν σοφισμάτων ἀναστροφάς, δι' ὧν ἐλέγχειν οἴεται τὸν
550 λόγον, ἐπισκεψώμεθα; ἀλλὰ δέδοικα μὴ τὸ μικροπρεπές
421 M. τε καὶ γλίσχρον τῶν εἰρημένων τρόπον τινὰ συνδιαβάλῃ καὶ τὸν εὐθύνοντα λόγον. τὸ γὰρ μειρακίοις εἰς ἅμιλλαν προκαλουμένοις συμπλέκεσθαι πλέονα ψόγον ἐκ τοῦ προσφιλονικεῖν τοῖς τοιούτοις ἤπερ ἐκ τοῦ νενικηκέναι δοκεῖν φέρει τοῖς ἀνδράσι τὸν ἔπαινον. πλὴν ἀλλὰ τοιοῦτον τὸ εἰρημένον ἐστί. τὰ γὰρ ἐφ' ὕβρει ῥηθέντα μετὰ τῆς συνήθους καλλιφωνίας ἐκείνης ὡς αὐτῷ τε λέγειν προσήκοντα καὶ ἡμῖν εἰς γυμνάσιον μακροθυμίας προκείμενα σιωπῆς ἄξια καὶ λήθης ποιούμεθα· οὐ γὰρ εὐπρεπὲς οἶμαι τὰ καταγέλαστα τῶν εἰρημένων αὐτῷ τοῖς παρ' ἡμῶν σπουδαζομένοις ἐνσπείροντας εἰς ἀκόσμους τε καὶ δημώδεις γέλωτας τὴν
551 ὑπὲρ τῆς ἀληθείας διαλύειν σπουδήν. οὐδὲ γὰρ ἔστιν ἐν τῇ ἀκροάσει τούτων διαμεῖναι ἀγέλαστον, ἐὰν ἀκούσωμεν λέγοντος ἐκ τῆς ὑψηλῆς ἐκείνης καὶ μεγαλοφυοῦς εὐγλωττίας· ᾧ γὰρ ἡ προσθήκη τῶν λόγων εἰς προσθήκην τελεῖ βλασφημίας, τούτῳ τὸ σιγᾶν ἡμίσει μέρει τοῦ λαλεῖν ἐστι κουφότερον. ἀλλὰ ταῦτα μὲν γελάσθω παρὰ τῶν ἐπισταμένων, ὅ τι μὲν ἀπο-

26 Eunomii haec verba esse apparet ex § 562 fine.

VLACTS 1 τῆς τοῦ πατρὸς κυρίας κλήσεως S 4 προνοηθῆναι VL 7 πιθανωτέραν om CT 9 ἢ: εἰ ACTS v 10 ἀντιστροφὰς A v 12 συνδιαβάλλει L puncto supra ει addito 15 φιλο νικεῖν correxi: φιλο νεικεῖν 16 τοιοῦτο ACTS v 26-27 ᾧ—τούτῳ correxi: ὧν—τούτων cf 189, 7-10 28 ἐστὶ τοῦ λαλεῖν κουφ. V

δοχῆς ἐστιν ἄξιον, ὅ τι δὲ γέλωτος· ἡμεῖς δὲ τὸ δριμὺ τῶν
συλλογισμῶν, οἷς τὸν ἡμέτερον περισύρει λόγον, σκοπήσωμεν.
552 Εἰ γὰρ ὁ πατήρ, φησί, τῷ ἀγεννήτῳ ταὐτὸν
κατὰ τὴν δύναμιν, τὰ δὲ τὴν αὐτὴν ἔχοντα δύ-
ναμιν τῶν ὀνομάτων ταὐτὸν πάντως καὶ ση-
μαίνειν πέφυκε, σημαίνει δὲ τὸ ἀγέννητον
κατ' αὐτοὺς τὸ ἐξ οὐδενὸς εἶναι τὸν θεόν, ἐξ
ἀνάγκης καὶ τὸ πατὴρ σημαίνει τὸ ἐξ οὐδενὸς
εἶναι τὸν θεόν, οὐχὶ δὲ τὸ γεγεννηκέναι τὸν
υἱόν. ἐκ ποίας ἀνάγκης, εἰπέ, τὸ γεγεννηκέναι τὸν υἱὸν
διὰ τῆς τοῦ πατρὸς φωνῆς οὐκέτι σημαίνεται, ἐὰν ἡ αὐτὴ
προσηγορία καὶ τὸ ἄναρχον ἡμῖν τοῦ πατρὸς δι' ἑαυτῆς
553 παραστήσῃ; εἰ μὲν γὰρ ἀναιρετικὸν ἦν τοῦ ἑτέρου τὸ ἕτε-
ρον κατὰ τὴν τῶν ἀντικειμένων φύσιν, ἀναγκαίως ἡ τοῦ
ἑνὸς θέσις τὴν ἀναίρεσιν τοῦ λοιποῦ κατεσκεύαζεν. εἰ δὲ
τὸ κωλύον ἐστὶν οὐδὲν τὸν αὐτὸν καὶ πατέρα εἶναι καὶ
ἀγέννητον, ἐὰν διὰ τῆς τοῦ πατρὸς κλήσεως κατά τινα διά-
νοιαν καὶ τὸ ἀγέννητον ἐννοήσωμεν, τίς ἡ ἀνάγκη τὴν πρὸς
τὸν υἱὸν σχέσιν διὰ τῆς τοῦ πατρὸς φωνῆς μηκέτι γνωρί-
554 ζεσθαι; οὐδὲ γὰρ τὰ λοιπὰ τῶν ὀνομάτων, ὅσα τὴν πρὸς
ἄλληλα κοινωνίαν ἔχει καὶ διὰ πάντων ταῖς ἐννοίαις συμ-
φέρεται, ἐπεὶ καὶ αὐτοκράτορα καὶ ἀδέσποτον τὸν βασιλέα
καλοῦμεν καὶ τὸν αὐτὸν τῶν ὑποχειρίων ἡγούμενον, καὶ
οὔτε ψεῦδός ἐστι περὶ αὐτοῦ λέγειν, ὅτι ἡ τοῦ βασιλέως
φωνὴ σημαίνει καὶ τὸ ἀδέσποτον, οὔτε ἐπάναγκες εἶναί
φαμεν, εἰ τὸ αὐτοκρατές τε καὶ ἄναρχον διὰ ταύτης τῆς
φωνῆς σημανθείη, μηκέτι τὸ κατὰ τῶν ὑπηκόων κράτος
διὰ τῆς βασιλείας σημαίνεσθαι· μέσον γὰρ ἑκατέρων τῶν
ὑπολήψεων ὂν τῆς βασιλείας τὸ ὄνομα πῇ μὲν τὸ ἀδέσποτον,
555 πῇ δὲ τὸ ἀρχικὸν τῶν ὑποτεταγμένων ἐνδείκνυται. καὶ

VLACTS 1-2 τῶν συλλογισμῶν τὸ δριμὺ S 2 οἷς: ἧς L 4 δύναμιν pr om L 5 καὶ om CT 7 verba ἐξ οὐδενὸς usque ad θεὸν om VT καὶ post εἶναι add VL 9 δὲ om S 10 verba ab ἐκ ποίας usque ad υἱὸν om v εἶπε AC (εἶπεν) T 12 litteras χον in ἄναρχον om L 18-19 verba τὴν—σχέσιν post 19 φωνῆς coll V 20 ὅσα καὶ τὴν V ὅσα κατὰ τὴν L 21 καὶ ante διὰ om T διανοίαις VL 22 δεσπότην T 29 ὂν om VL

ἐνταῦθα τοίνυν, εἰ μὲν ἔστι τις τοῦ πατρὸς τοῦ κυρίου
πατὴρ προεπινοούμενος ἕτερος, δειξάτωσαν οἱ τὴν ἀπόρρητον
αὐχοῦντες σοφίαν, καὶ τότε συνθησόμεθα μὴ δύνασθαι τοῦ
ἀγεννήτου τὴν ἔννοιαν ὑπὸ τῆς τοῦ πατρὸς προσηγορίας
556 παρίστασθαι. εἰ δὲ ὁ πρῶτος πατὴρ αἰτίαν τῆς ἑαυτοῦ
424 M. συστάσεως ὑπερκειμένην οὐκ ἔχει, τῷ δὲ πατρὶ συνυπα-
κούεται πάντως καὶ τοῦ μονογενοῦς ἡ ὑπόστασις, τί μορμο-
λύττονται ἡμᾶς ταῖς τεχνικαῖς ταύταις τῶν σοφισμάτων
διαπλοκαῖς πείθειν, μᾶλλον δὲ φενακίζειν βουλόμενοι, εἰ τὸ
ἀγέννητον τοῦ ἐπὶ πάντων θεοῦ διὰ τῆς τοῦ πατρὸς προσ-
ηγορίας ὁμολογηθείη τῆς πρὸς τὸν υἱὸν σχέσεως τοῦ
πατρὸς ἀποσχίζειν τὴν ἔννοιαν;
557 Ἀλλὰ διαπτύσαντες τὴν παιδιώδη ταύτην καὶ ἐπιπό-
λαιον αὐτῶν ἐπιχείρησιν τὸ ὡς ἄτοπον παρ' ἐκείνων προ-
φερόμενον ἀνδρικῶς ὁμολογήσωμεν, ὅτι καὶ ταὐτὸν σημαίνει
τῷ ἀγεννήτῳ τὸ τοῦ πατρὸς ὄνομα, καὶ τὸ ἀγέννητον τὸ ἐξ
οὐδενὸς εἶναι τὸν πατέρα παρίστησι, καὶ ὁ πατὴρ τὴν περὶ
τοῦ μονογενοῦς ἔννοιαν συνημμένως διὰ τῆς σχέσεως μεθ'
ἑαυτοῦ συνεισάγει. καὶ γὰρ καὶ ταύτην προσκειμένην τῷ
λόγῳ τοῦ διδασκάλου τὴν ῥῆσιν ὁ δεινός τε καὶ ἄμαχος
οὗτος ἀγωνιστὴς τῶν γεγραμμένων ἐξέκλεψε, τῇ ἀφαιρέσει
τῶν ἀσφαλῶς εἰρημένων ἐξευμαρίζων ἑαυτῷ τὴν ἀντίρρησιν.
558 ὁ μὲν γὰρ παρὰ τοῦ διδασκάλου ῥηθεὶς λόγος οὑτωσὶ κατὰ
τὴν λέξιν ἔχει· „Ἐγὼ δὲ καὶ τὴν τοῦ ἀγεννήτου προσηγο-
ρίαν, κἂν τὰ μάλιστα δοκῇ ταῖς ἐννοίαις ἡμῶν συμβαίνειν,
ἀλλ' οὖν ὡς οὐδαμοῦ τῆς γραφῆς κειμένην καὶ πρῶτον
στοιχεῖον οὖσαν τῆς βλασφημίας αὐτῶν, σιωπᾶσθαι ἂν δι-
καίως ἀξίαν εἶναι φήσαιμι, τῆς πατρὸς φωνῆς ἴσον δυνα-
μένης τῷ ἀγεννήτῳ πρὸς τὸ καὶ τὴν περὶ τοῦ υἱοῦ ἔννοιαν

24 verba Basilii' Εγὼ δὲ καὶ etc (cf § 536) hic plenius citantur

VLACTS 5 αὐτοῦ v 9 φοινακίζειν V 10 τοῦ post τῆς om v 14 ἐπιχειρήμασιν V προσφερόμενον S 15 ὁμολογήσομεν VACT v de S incertum 19 προκειμένην T 20 τὴν om T 21 γεγραμμένων: κεκρυμμένων V 25 δοκεῖ L 27 στοιχεῖον: σημεῖον S ταῖς βλασφημίαις V 29 πρὸς τῷ ACS περὶ τὴν collocant VLAT

559 συνημμένως ἑαυτῇ διὰ τῆς σχέσεως συνεισάγειν.” ὁ δὲ
γενναῖος οὗτος τῆς ἀληθείας πρωταγωνιστὴς τὸ μὲν ἀσφα-
λείας ἕνεκεν τῷ λόγῳ προσκείμενον, λέγω δὲ τὸ „καὶ τὴν
περὶ τοῦ υἱοῦ ἔννοιαν συνημμένως ἑαυτῇ διὰ τῆς σχέσεως
συνεισάγειν”, τοῦτο μὲν ὑπὸ τῆς συγγενοῦς ἐλευθερίας ὑφεί-
λετο, καὶ διακλέψας τῶν γεγραμμένων τὸν λόγον τοῖς ὑπο-
λοίποις συμπλέκεται καὶ ἀκρωτηριάσας τὸν εἱρμὸν τοῦ σώ-
ματος καὶ ὡς ᾤετο σαθρότερον ἑαυτῷ καὶ πρὸς τὴν ἀν-
τίρρησιν εὐεπίβατον καταστήσας, ψυχρῷ καὶ ἀδρανεῖ τῷ
σοφίσματι τοὺς καθ’ ἑαυτὸν παρακρούεται, τὸ κατά τι κοι-
νωνοῦν καὶ διὰ πάντων τὴν κατὰ τὸ σημαινόμενον κοινωνίαν
ἔχειν κατασκευάζων καὶ τούτῳ τὴν ἐπιπόλαιον ἀκοὴν συν-
560 αρπάζων. ἡμῶν γὰρ κατά τι σημαινόμενον τὴν τοῦ πατρὸς
εἰρηκότων φωνὴν καὶ τὴν τοῦ ἀγεννήτου σημασίαν παρέχε-
σθαι, οὗτος τὴν παντελῆ τοῦ σημαινομένου μετάληψιν ἀπὸ
τῆς συνήθους τῶν ὀνομάτων ἐμφάσεως ποιησάμενος εἰς
ἄτοπον δῆθεν ἐκβάλλει τὸν λόγον, ὡς οὐκέτι τὴν πρὸς τὸν
υἱὸν σχέσιν τῆς προσηγορίας ταύτης ἐνδεικνυμένης, εἰ καὶ
561 τὸ τοῦ ἀγεννήτου νόημα διὰ τούτου σημαίνοιτο. ὥσπερ ἂν
εἴ τις δύο ἐννοίας περὶ τοῦ ἄρτου μαθών, ὅτι τε ἀπὸ σίτου
συνέστηκε καὶ ὅτι τροφὴ τῷ χρωμένῳ γίνεται, μάχοιτο
πρὸς τὸν λέγοντα τῷ ὁμοίῳ τρόπῳ τῶν σοφισμάτων κατ’
αὐτοῦ χρώμενος, ὅτι ἄλλος λόγος ἐστὶ τῆς ἐκ τοῦ σίτου
συστάσεως καὶ ὁ τῆς τροφῆς πάλιν ἕτερος. εἰ οὖν δοθείη
τὸ ἐκ τοῦ σίτου εἶναι τὸν ἄρτον, οὐκέτι αὐτὸ τοῦτο καὶ
τροφὴ κυρίως ὀνομασθήσεται. τοιαύτη τοῦ συλλογισμοῦ ἡ
562 διάνοια. εἰ γὰρ τὸ ἀγέννητον, φησίν, ὑπὸ τῆς τοῦ

VLACTS 1 ἑαυτῷ V 1-2 verba ab ὁ δὲ γενναῖος usque ad 5 συνεισάγειν om V 4 περὶ τοῦ υἱοῦ: περὶ τούτων L (3) τὴν prius post περὶ (cf 187,29) collocaverat, sed postea expunxit et ante περὶ sscr A 5 τοῦτον v ἀνελευθερίας in rasura L 6 διασκέψας v 12 τούτων v verba a καὶ τούτῳ usque ad συναρπάζων om CT 14 φωνὴν: συνάφειαν V 15 τὴν ante παντελῆ om VL 19 διὰ τούτου om V ἐσημαίνετο v 20 τε post ὅτι om T 21 τῶν χρωμένων S 22-23 καθ’ αὐτοῦ L 23 ἐκ om V 27 εἰ γὰρ τὸ: εἰ μὴ καὶ τὸ V εἰ γὰρ καὶ τὸ L

πατρὸς προσηγορίας σημαίνεται, οὐκέτι τὸ
γεγεννηκέναι τὸν υἱὸν ἡ φωνὴ αὕτη παρίστη-
425 M. σιν. ἀλλ’ εὔκαιρον ἴσως τὴν σεμνὴν ἐκείνην τοῦ κώλου
περίοδον καὶ παρ’ ἡμῶν ἐπαχθῆναι τῷ λεγομένῳ· πρέπει
γὰρ τοῖς τοιούτοις πάντως τοιαῦτα, ὅτι πλέον
ἂν ἔσχε πρὸς τὸ δοκεῖν σωφρονεῖν, εἰ παντελεῖ
σιωπῇ ταύτην ὥριζε τὴν ἀσφάλειαν. ᾧ γὰρ ἡ
προσθήκη τῶν λόγων εἰς προσθήκην τελεῖ
βλασφημίας, μᾶλλον δὲ τῆς ἐσχάτης ἀνοίας,
τούτῳ τὸ σιγᾶν οὐχ ἡμίσει μέρει, ἀλλὰ τῷ
παντὶ τοῦ λαλεῖν ἐστι κουφότερον.
563 Τάχα ἄν τις αὐτὸν μᾶλλον ἐκ τῶν καθ’ ἑαυτὸν προσ-
αγάγοιτο πρὸς τὴν τῶν λεγομένων ἀλήθειαν. καὶ δὴ
καταλιπόντες τὸ κατηγκυλωμένον τῆς τῶν σοφισμάτων πλο-
κῆς ἰδιωτικώτερόν τε καὶ κοινότερον περὶ τοῦ προκειμένου
διαλεξώμεθα. ὁ σὸς πατήρ, ὦ Εὐνόμιε, πάντως ἄνθρωπος
ἦν, ἀλλ’ ὁ αὐτὸς οὗτος καὶ σοὶ τοῦ εἶναι γέγονεν αἴτιος.
564 ἆρ’ οὖν ἐχρήσω ποτὲ τῷ σοφῷ τούτῳ καὶ ἐπ’ ἐκείνου, ὥστε
τὸν πατέρα τὸν σόν, εἰ τὸν τῆς φύσεως ὁρισμὸν δέχοιτο,
διὰ τὸ ἄνθρωπος εἶναι μηκέτι δύνασθαι τὴν πρὸς σὲ σχέσιν
ἀποσημαίνειν; χρῆναι γὰρ πάντως τῶν δύο τὸ ἕτερον, ἢ
ἄνθρωπον εἶναι ἢ Εὐνομίου πατέρα. εἶτα σοὶ μὲν οὐκ
ἔξεστι μὴ κατὰ τὸ οἰκεῖον τῆς σημασίας προφέρεσθαι τὰ
565 τῶν οἰκείων ὀνόματα, ἀλλὰ κἂν ὕβρεώς γράψαιό τινα τὸν
χλευαστικῶς εἰς σὲ διὰ τῆς τῶν ὀνομάτων ὑπαλλαγῆς δια-
παίζοντα, θεοῦ δὲ καταπαίζων οὐ φρίττεις καὶ διαγελῶν

16 διαλεξώμεθα] orationum iudicialium eam partem, quae πρὸς τὸν ἀντίδικον vocabatur, imitatur.

VLACTS 4 ἐπαναχθῆναι V 4-5 τοῖς γὰρ τοιούτοις πρέπει V τὰ ante τοιαῦτα add V 6 παντελῆ VLS 7 ὥρισε A v 10 τὸ om CT 12 αὐτὸν om v 12-13 προσάγοιτο v 15 ἰδικώτερόν τε T προσκειμένου V π. τούτου S om τ. πρ. 16 διαλεξόμεθα CT 17 ἀλλ’ὁ αὐτὸς οὗτος om V 18 ποτὲ om A v σοφῷ τούτῳ συλλογισμῷ supplendum est 19 τὸν text om S τῆς om T δέχοιτο ἐφ’ἑαυτοῦ V ἐφ’ ἑαυτοῦ δέχοιτο L 23 προσφέρεσθαι v 24 τὸν: τῶν CTS 26 θεοῦ δὲ καταπαίζων om v δὲ post θεοῦ om CT postea al man add φ.

566 τὰ δόγματα τῶν μυστηρίων ἀκινδύνως γελᾷς; ὡς γὰρ ὁ
σὸς πατὴρ καὶ τὴν πρὸς σὲ δείκνυσιν οἰκειότητα καὶ τὸ
ἄνθρωπος εἶναι οὐδὲν διὰ τούτου κωλύεται, καὶ οὐκ ἄν τις
τῶν σωφρονούντων ἀντὶ τοῦ πατέρα σου προσειπεῖν τὸν γεν-
νήσαντα, ὁ δὲ τοῦ ἀνθρώπου τὸν ὁρισμὸν ἀποδοίη, ἢ πάλιν
περὶ τοῦ γένους ἐρωτηθεὶς καὶ ὁμολογήσας τὸ εἶναι ἄν-
θρωπον, κωλύεσθαι λέγοι διὰ τῆς ὁμολογίας ταύτης τὸ καὶ
567 σὸν αὐτὸν εἶναι πατέρα, οὕτως καὶ ἐπὶ τοῦ θεοῦ τῶν ὅλων
ὁ μὲν εὐσεβὴς καὶ τὸ ἀγεννήτως αὐτὸν εἶναι σημαίνεσθαι
διὰ τῆς προσηγορίας τοῦ πατρὸς οὐκ ἀρνήσεται, καὶ τὴν
πρὸς τὸν υἱὸν οἰκειότητα καθ' ἕτερον ἐνδείκνυσθαι σημαι-
νόμενον· ὁ δὲ καταγελῶν τῆς ἀληθείας οὐκέτι τὸ γεγεννη-
κέναι τὸν υἱὸν τὴν τοῦ πατρὸς προσηγορίαν λέγει σημαίνειν,
ἐὰν καὶ τὸ ἀγέννητον αὐτὸν εἶναι διὰ τῆς αὐτῆς φωνῆς
διδασκώμεθα.
568 Ἔτι δὲ καὶ τοῦτο πρὸς ἔλεγχον τῆς τῶν ῥηθέντων
ἀτοπίας συμπαραλάβωμεν, ὅπερ οὐδένα φημὶ οὐδὲ τῶν κο-
μιδῇ νηπίων ὑπὸ γραμματιστῇ καὶ παιδαγωγῷ πρὸς τὴν
ὀνοματικὴν τεχνολογίαν ἐναγόμενον ἀγνοεῖν. τίς γὰρ οὐκ
οἶδεν, ὅτι τῶν ὀνομάτων τὰ μὲν ἀπόλυτά τε καὶ ἄσχετα,
569 τὰ δὲ πρός τινα σχέσιν ὠνομασμένα ἐστίν; αὐτῶν δὲ τού-
των πάλιν ἔστιν ἃ κατὰ τὴν τῶν χρωμένων βούλησιν ἐπιρ-
ρεπῶς πρὸς ἑκάτερον ἔχει, ἃ ἐφ' ἑαυτῶν μὲν λεγόμενα τὴν
ἁπλῆν ἐνδείκνυται δύναμιν, μετατιθέμενα δὲ πολλάκις τῶν
πρός τι γίνεται. καὶ ἵνα μὴ τοῖς πόρρω τῶν προκειμένων
ὑποδείγμασι χρώμενος ἐπιμηκύνω τὸν λόγον, ἐξ αὐτῶν τῶν
570 δογμάτων ὃ λέγω σαφηνισθήσεται. ὁ θεὸς καὶ πατὴρ καὶ

6 ἐρωτηθεὶς ὡμολόγησε] nemo nescit esse κυρώσεως formulam in pactis firmandis et alioquin (cf Joh 1,20) usitatam

VLACTS 4 τῶν om v 5 τὸν ὁρισμὸν τοῦ ἀνθρώπου T ἀποδύη C 6-7 τοῦ εἶναι ἀ͞ν͞ος L sed ν sscr 7 λέγω VL 8 σὸν: σοῦ AS v εἶναι πατέρα αὐτὸν V εἶναι αὐτὸν πατ. CT καὶ om v 9 εὐσεβῶς VL 14 αὐτὸν om ACTS v 15 διδασκόμεθα v 16 ῥημάτων V 19 ὀνομαστικὴν v ἐναγομένων V 22 τῶν om T 23 ἔχειν L 25 μή τι πόρρω v

428 M. βασιλεὺς λέγεται καὶ μυρίοις ὀνόμασιν ἄλλοις παρὰ τῆς
ἁγίας γραφῆς ὀνομάζεται. ἔστι τοίνυν ἐκ τῶν ὀνομάτων
τούτων τὸ μὲν ἁπλῶς οὕτως ἐφ' ἑαυτοῦ μεμνημένον ἀπο-
λύτως εἰπεῖν οἷον ἄφθαρτος αἰώνιος ἀθάνατος καὶ εἴ τι
ἄλλο τοιοῦτον· ταῦτα γάρ, κἂν μηδὲν ἕτερον συνυπακούηται
νόημα, ἀπηρτισμένην τινὰ περὶ θεοῦ τὴν διάνοιαν ἐν ἑαυ-
571 τοῖς περιγράφει. ἕτερα δὲ τῶν ὀνομάτων τὸ πρός τι χρή-
σιμον ἀποσημαίνει μόνον ὡς βοηθὸς καὶ ὑπερασπιστὴς καὶ
ἀντιλήπτωρ καὶ ὅσα τῆς τοιαύτης σημασίας εὑρίσκεται, ὧν
ἐὰν ὑφέλῃς τὸ τῆς βοηθείας δεόμενον, ἤργησεν ἡ ἐμφαι-
νομένη τῷ ὀνόματι δύναμις. ἔστι δέ τινα, καθὼς προεί-
ρηται, καὶ ἐφ' ἑαυτῶν καὶ μετὰ τῶν πρός τι λεγόμενα οἷον
τὸ θεὸς καὶ τὸ ἀγαθὸς καὶ ὅσα τοιαῦτα. οὐ γὰρ μέχρι
572 παντὸς ἐν τῷ ἀπολύτῳ τούτων διαμένει ἡ ἔννοια. ὁ γὰρ
καθόλου θεὸς ἴδιος τοῦ ἐπικαλουμένου πολλάκις γίνεται,
καθὼς ἔστι τῶν ἁγίων ἀκούειν ἰδιοποιουμένων τὴν ἀδέσποτον
φύσιν. Ἅγιος κύριος ὁ θεός, ἕως τούτου τὸ ἄσχετον. ἀλλ'
ὁ προσθεὶς τὸ ἡμῶν, οὐκέτι ἔδωκεν ἐφ' ἑαυτοῦ νοεῖσθαι
τὸ ὄνομα, τῇ πρὸς ἑαυτὸν σχέσει τὸ σημαινόμενον οἰκειώσας.
πάλιν Ἀββᾶ ὁ πατήρ, τὸ πνεῦμα βοᾷ· αὕτη ἐστὶν ἡ τῆς
573 μερικῆς σχέσεως ἀπολελυμένη φωνή. ἀλλὰ καὶ πατέρα
ἡμῶν τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς καλεῖν προσετά-
χθημεν· αὕτη πάλιν ἡ σχετικὴ σημασία. ὥσπερ τοίνυν
τὸν καθόλου θεὸν ἑαυτοῦ τις ποιησάμενος οὐδὲν τὴν ἐπὶ
πάντων ἀξίαν ἠμαύρωσεν, οὕτως οὐδέν ἐστι κώλυμα τὸν
πατέρα [καὶ] τὸν ἐξ αὐτοῦ τὸν πάσης κτίσεως πρωτότοκον
ἀναδείξαντα ὁμοῦ τὸ γεγεννηκέναι τὸν υἱὸν διὰ τῆς τοῦ

17 Apc 4, 8 (cf Jes 6, 3) 18 Apc 4, 11 20 Rom 8, 15 21 Matth 6, 9 26 Col 1, 15.

VLACTS 4 καί: ἤ CS 4-5 ἄλλο ante εἰ coll A 6 διάνοιαν ἔχει καὶ ἐν ἑαυτοῖς V 9-10 ὧ ἐὰν VL 11 δέ: γὰρ VL 11-12 εἴρηται CT 12 ἐφ': ὑφ' CT 15 πολλάκις om V 17 τὸ om v 18 ἑαυτῶν S 19 αὐτὸν S 20 ἐστὶν om A v 24 καὶ ante τὸν pr add L, sed expunxit ἑαυτῷ V 26 καὶ delevi αὐτοῦ libri v, corr Wilamowitz 27 τό: τῷ S v

πατρὸς προσηγορίας σημαίνειν καὶ τὸ μὴ ἐξ αἰτίας ὑπερ-
574 κειμένης εἶναι διὰ τῆς αὐτῆς ἑρμηνεύειν φωνῆς. ὁ γὰρ
τὸν πρῶτον πατέρα εἰπὼν τὸν τοῦ παντὸς προεπινοούμενον
ἐνεδείξατο, οὗ τὸ ἐπέκεινα [οὗτος ἐκεῖνός] <οὐκ> ἔστιν . . .
οὐκ ἔχων ὅ τι πρὸ ἑαυτοῦ ἴδῃ οὐδὲ εἰς ὅ τι πέρας μεθ' ἑαυτὸν
καταλήξῃ, ἀλλὰ πανταχόθεν ἐπίσης ἀεὶ ὢν καὶ τέλους ὅρον
καὶ ἀρχῆς ἔννοιαν τῇ ἀπειρίᾳ τῆς ζωῆς διαβαίνων πάσῃ
προσηγορίᾳ συνυπακουόμενον ἔχει καὶ τὸ ἀΐδιον.
575 Ἀλλ' οὐ δέχεται τὸν ἰδιωτισμὸν τοῦτον ὁ πολὺς ἐν
ταῖς τῶν ἀλήπτων θεωρίαις Εὐνόμιος οὐδὲ διπλοῦν ἐπὶ τοῦ
πατρὸς εἶναι τὸ σημαινόμενον τίθεται, ἓν μὲν τὸ ἐξ ἐκείνου
τὰ πάντα καὶ πρὸ πάντων τὸν υἱὸν <τὸν> μονογενῆ, δι' οὗ
τὰ πάντα, σημαίνεσθαι, ἕτερον δὲ τὸ μηδεμίαν αὐτὸν ὑπερ-
576 κειμένην αἰτίαν ἔχειν. ἀλλὰ κἂν ἐκεῖνος διαπτύῃ τὸν λόγον,
ἡμεῖς παρ' οὐδὲν τὸν γέλωτα τὸν χλευαστικὸν ποιησάμενοι
θαρροῦντες ἀποκρινούμεθα ὅπερ εἰρήκαμεν ἤδη, ὅτι καὶ
ταὐτόν ἐστιν ὁ πατὴρ τῷ ἀγεννήτῳ καὶ τὸ γεγεννηκέναι τὸν
υἱὸν σημαίνει καὶ τὸ ἐξ οὐδενὸς εἶναι παρίστησιν.
577 Ὁ δὲ καὶ ἐπαγωνίζεται τοῖς εἰρημένοις καί φησι (καὶ
429 M. μέντοι καὶ πρὸς τοὐναντίον ἀναστρέφει πάλιν ὁ λόγος)· εἰ
γὰρ διὰ τὸ γεγεννηκέναι τὸν υἱὸν ὁ θεός ἐστι
πατήρ, κατὰ ταὐτὸν δὲ σημαινόμενον πατήρ ἐστι
καὶ ἀγέννητος, διὰ τὸ γεγεννηκέναι τὸν υἱὸν ὁ
θεός ἐστιν ἀγέννητος, πρὶν δὲ γεννῆσαι τοῦ-

11 I Cor 8, 6   12 Joh 1, 3

VLACTS 2 ἑρμηνεύει VL 4 οὐ τὸ ἐπέκεινα VL post ἐπέκεινα dist libri, post ἐνεδείξατο v, οὗτος ἐπέκεινα, οὗτος ἐκεῖνος v verba οὗ τὸ ἐπέκεινα οὗτος ἐκεῖνός ἐστιν corrupta sunt et cum sequentibus verbis non cohaerent; verba οὗτος ἐκεῖνος ex dittographia orta esse et scribendum suspicor: οὗ τὸ ἐπέκεινα οὐκ ἔστιν, sed ante οὐκ ἔχων exstat lacuna 6 καταλήξῃ v: καταλήξει libri 6-7 καὶ τέλος καὶ ὅρον V 8 προσυπακουόμενον S ἔχειν L ἴδιον S 9 ἀϊδιωτισμὸν T 11 ἓν μὲν: ἑνὶ μέρει V 12 τὸν supplevi 14 διαπτύει v 15 τῶν χλευαστικῶν L ποιησάμενοι: θεασάμενοι V 16-17 καὶ ταὐτόν: κατὰ ταὐτὸν VL κἂν ταυτὸν S 20 ἀντιστρέφει A v 22 καὶ ante πατήρ pr add S κατὰ ταὐτὸν: καὶ ταὐτὸν v 23 διὰ τὸ—ἀγέννητος om S 24 πρὶν—p 193,1 ἀγέννητος om v

τον οὐκ ἦν ἀγέννητος. ἴδωμεν τοίνυν καὶ τὸν τῆς
ἀναστροφῆς αὐτοῦ λόγον, πῶς πρὸς τοὐναντίον ἀναλύων τὴν
τοῦ προτέρου σοφίσματος σύνθεσιν πάλιν ἡμᾶς καὶ διὰ τού-
578 του ταῖς ἀφύκτοις ἀνάγκαις περιστοιχίζεται. ὁ πρότερος
εἶχε συλλογισμὸς τοῦτο τὸ ἄτοπον· εἰ ὁ πατὴρ σημαίνει
τὸ ἐξ οὐδενὸς εἶναι τὸν θεόν, ἐξ ἀνάγκης τὸ γεγεννηκέναι
τὸν υἱὸν οὐκέτι ἐνδείξεται. οὗτος διὰ τῆς πρὸς τοὐναντίον
ἀναστροφῆς ἑτέραν ἡμῖν ἀτοπίαν κατὰ τοῦ ἡμετέρου δόγ-
ματος ἐπαγγέλλεται. τίς οὖν ἡ τοῦ ἐκεῖ δειχθέντος ἀνά-
λυσις; εἰ διὰ τὸ γεγεννηκέναι, φησί, τὸν υἱὸν ὁ
579 θεός ἐστι πατήρ. τοῦτο ἡμῖν ὁ πρότερος συλλογισμὸς
οὐ παρέστησεν, ἀλλὰ τὸ μὲν μὴ δύνασθαι, εἰ τὸ ἀγέννητον
διὰ τοῦ πατρὸς σημανθείη, καὶ τὴν πρὸς τὸν υἱὸν σχέσιν
σημαίνειν ἡ ἀκολουθία τοῦ συλλογισμοῦ δῆθεν ἐδείκνυεν,
τὸ δὲ διὰ τοῦτο τὸν θεὸν εἶναι πατέρα, διότι γεγέννηκε τὸν
υἱόν, οὐδὲ ἡ τοῦ προτέρου σοφίσματος κατασκευὴ διωρί-
σατο. τί οὖν ἐστι τὸ ἀναστρεφόμενον ὑπὸ τῆς διαλεκτικῆς
τε καὶ τεχνικῆς ἀγχινοίας, οὔπω συνίημι.
580 Πλὴν ἀλλὰ σκοπήσωμεν τὴν τῶν εἰρημένων διάνοιαν.
εἰ διὰ τὸ γεγεννηκέναι τὸν υἱὸν ὁ θεός ἐστιν
ἀγέννητος, πρὶν δὲ γεννῆσαι τοῦτον οὐκ ἦν
ἀγέννητος. πάλιν ἕτοιμος πρὸς τὸ εἰρημένον καὶ ἁπλοῦς
τῆς ἀληθείας ὁ λόγος, ὅτι καὶ τὸ γεγεννηκέναι τὸν υἱὸν ἡ
τοῦ πατρὸς ἐνδείκνυται κλῆσις, καθὼς ἡμῖν ἐν τοῖς προ-
ειρημένοις προαποδέδεικται, καὶ τὸ μὴ ἐξ αἰτίας νοεῖσθαί
581 τινος τὸν γεννήσαντα. ἐὰν μὲν γὰρ πρὸς τὸ ἐξ αὐτοῦ βλέ-
πῃς, ἡ τοῦ μονογενοῦς ὑπόστασις διὰ τῆς τοῦ πατρὸς προσ-
ηγορίας γνωρίζεται· ἐὰν δὲ τὸ πρὸ αὐτοῦ ἐξετάζῃς, ἡ τοῦ
πατρὸς κλῆσις τὸ ἄναρχον τοῦ τὸν υἱὸν γεγεννηκότος ἐν-
δείκνυται. τὸ δὲ λέγειν ὅτι πρὶν γεννῆσαι τὸν υἱὸν

VLACTS 8 ἡμῖν ἑτέραν V 10 διὰ: δὴ S διὰ τοῦ VT 12 ἀλλὰ τῷ v μὴ om v 13 διὰ om ACTS v 14 σημαίνει L om T δείκνυε T 16 οὐδὲ S: οὐδὲν VLACT v 21 δὲ om ACT v 25 ἀποδείκνυται V ἐναποδέδεικται T 27-28 προσηγορίας τοῦ πατρὸς L

οὐκ ἦν ἀγέννητος ὁ θεὸς διπλῆν φέρει τὴν κατηγο-
ρίαν τῷ λογογράφῳ, τῆς τε καθ' ἡμῶν συκοφαντίας καὶ
τῆς κατὰ τοῦ δόγματος ὕβρεως· τό τε γὰρ μήτε παρὰ τοῦ
διδασκάλου ῥηθὲν μήτε μὴν παρ' ἡμῶν ὡς ὁμολογούμενον
διασύρει καὶ τὸν θεόν φησιν ὕστερόν ποτε γεγενῆσθαι πα-
582 τέρα, ἄλλο τι ὄντα πρότερον δηλαδὴ καὶ οὐ πατέρα. δι'
ὧν γὰρ τὸ ἄτοπον δῆθεν τοῦ ἡμετέρου λόγου καταχλευάζει,
τὴν ἑαυτοῦ περὶ τὸ δόγμα παρανομίαν βοᾷ. ὡς γὰρ ὁμο-
λογούμενον ἔχων ὅτι πρότερον ἄλλο τι ὢν μετὰ ταῦτα κατὰ
προκοπὴν ἐγένετό τε καὶ ὠνομάσθη πατήρ, τοῦτό φησιν
ὅτι πρὶν γεννῆσαι τὸν υἱὸν καὶ διὰ τοῦτο κληθῆναι πατήρ,
οὐδὲ ἀγέννητος ἦν, εἴπερ ἡ ἀγεννησία τῇ τοῦ πατρὸς ἐν-
583 νοίᾳ γνωρίζεται. τοῦτο ὅσην ἔχει τὴν ἄνοιαν, οὐδὲν οἶμαι
δεῖν τοῦ ἐλέγχοντος· ἱκανῶς γὰρ καὶ δι' ἑαυτοῦ παρίστησι
τοῖς γε νοῦν ἔχουσιν. εἰ γὰρ ἄλλο τι ἦν ὁ θεὸς πρὸ τοῦ
γενέσθαι πατήρ, τί ἐροῦσιν οἱ προστάται τοῦ δόγματος; ἐν
ποίᾳ καταστάσει θεωρεῖσθαι φήσουσι; τί ὄνομα τῇ τότε
διαγωγῇ, παῖς νήπιον βρέφος μειράκιον; ἢ τούτων μὲν
ἐροῦσιν οὐδὲν τὸ περιφανὲς ἴσως τῆς ἀτοπίας ἐρυθριῶντες,
τέλειον δὲ αὐτὸν ἐξ ἀρχῆς εἶναι οὐκ ἀπαρνήσονται; εἶτα
πῶς τέλειος ὁ μήπω πατὴρ εἶναι δυνάμενος; ἢ τὸ μὲν
ἰσχύειν οὐκ ἀφαιρήσονται, φήσουσι δὲ μὴ πρέπειν ὁμοῦ τῷ
584 εἶναι αὐτὸν καὶ πατέρα εἶναι; καὶ εἰ μὴ καλὸν μηδὲ
432 M. πρέπον αὐτῷ τὸ ἐξ ἀρχῆς εἶναι πατέρα τοιούτου παιδός,
πῶς προϊὼν τὸ μὴ καλὸν ἐπεκτήσατο; ἀλλὰ καλόν ἐστι
νῦν καὶ τῇ μεγαλειότητι τοῦ θεοῦ πρέπον τὸ τοιούτου
γενέσθαι πατέρα. οὐκοῦν ἀμέτοχον αὐτὸν τοῦ καλοῦ τὸ

VLACTS 1 ἀγένητος L 3-4 μήτε παρὰ τοῦ διδασκάλου ῥηθὲν om VLCTS 4 μήτε νῦν παρ' ἡμῶν v et pr T qui ab interpolatore correctus est in μὴ τεθὲν, lacuna ante μήτε νῦν T 5 γεγεννῆσθαι V 6 ἄλλ' ὅτι C δηλαδὴ om ACTS v 7 δῆθεν om ACTS v κατασκευάζει T 9 ἔχων om V 13 τοῦτο ὅσην usque ad ἄνοιαν: ἐὰν δὲ τὸ πρὸ αὐτοῦ ἐξετάζῃς V qui ab 13 γνωρίζεται ad 193,28 γνωρίζεται aberravit τοῦτο δὲ L ἔννοιαν C 16-17 ἐν ποίᾳ: ὁποίᾳ VL τῇ ante καταστάσει add V 21 ὁ om AT v 23 μηδὲ correxi: μήτε

κατ' ἀρχὰς εἶναι κατασκευάσουσι, καὶ ἕως οὐκ εἶχε τὸν
υἱὸν ὁ θεός (ἵλεως δὲ εἴη τῷ λόγῳ ὁ θεός) μήτε σοφίαν
ἔχειν αὐτὸν ἐροῦσι μήτε δύναμιν μήτε ἀλήθειαν μήτε ζωὴν
μήτε τὰ ἄλλα πάντα, ὅσα κατὰ διαφόρους ἐπινοίας ὁ μονο-
γενὴς υἱός ἐστί τε καὶ ὀνομάζεται.
585 Ἀλλὰ ταῦτα μὲν εἰς κεφαλὴν τῶν αἰτίων τραπείη,
ἡμῖν δὲ πάλιν ἐπανιτέον ὅθεν ἐξέβημεν. εἰ διὰ τὸ
γεγεννηκέναι, φησίν, πατήρ ἐστιν ὁ θεός, ὁ δὲ
πατὴρ τὸ ἀγέννητον σημαίνει, πρὶν γεννῆσαι
οὐκ ἦν ἀγέννητος. ταῦτα γὰρ εἰ μὲν κατὰ τὴν
ἐπ' ἀνθρώπων λέγοι συνήθειαν, ἐφ' ὧν ἀμήχανόν ἐστι
πλειόνων ἐπιτηδευμάτων ἕξιν κατὰ ταὐτόν τινα κτήσασθαι,
μὴ κατά τινα χρόνου τάξιν καὶ ἀκολουθίαν ἕκαστον τῶν
586 σπουδαζομένων ἀναλαμβάνοντα — εἰ οὕτω καὶ ἐπὶ τοῦ
θεοῦ τῶν ὅλων ἔδει λογίζεσθαι, ὡς νῦν μὲν τὴν ἀγεννη-
σίαν ἔχειν, μετὰ ταῦτα δὲ προσλαμβάνειν τὴν δύναμιν, εἶτα
τὴν ἀφθαρσίαν, εἶτα τὴν φρόνησιν, καὶ προϊόντα πατέρα
γίνεσθαι καὶ πάλιν δίκαιον καὶ ἐφεξῆς ἀΐδιον καὶ πάντα,
ὅσα περὶ αὐτὸν θεωρεῖται, διά τινος ἀκολουθίας προσκτᾶ-
σθαι, οὐ σφόδρα ἦν ἄτοπον ἴσως ἕτερον τοῦ ἑτέρου προτε-
ρεύειν τῶν περὶ τὸν θεὸν ὀνομάτων οἴεσθαι καὶ πρότερον
μὲν ἀγέννητον, μετὰ δὲ ταῦτα πατέρα γεγενῆσθαι λέγειν.
587 νυνὶ δὲ τίς οὕτω ταπεινὸς τὴν διάνοιαν καὶ τῆς τῶν θείων
δογμάτων μεγαλοφυΐας ἀμύητος, ὥστε τὴν αἰτίαν τῶν ὄντων
εἰς νοῦν λαβὼν μὴ πάντων κατὰ ταὐτὸν ἀθρόαν καὶ συγ-
κεκροτημένην τῶν περὶ τὸν θεὸν εὐσεβῶς νοουμένων ἀνα-
λαβεῖν τὴν διάνοιαν, ἀλλὰ τὸ μὲν ὕστερον, τὸ δὲ κατ' ἀρ-
χάς, ἕτερον δέ τι διὰ μέσου κατά τινα τάξεως ἀκολουθίαν

VLACTS 1 κατασκευάσωσι VL κατασκευάζουσι v 3 μήτε ζωὴν om A v 4 τὰ om CT 5 υἱός: θεὸς V 8 ὁ θεός ἐστι πατήρ A v 9 τοῦτον post γεννῆσαι add A v 10 γὰρ om A v 12 κτήσασθαί τινα A v 17 θεοῦ post πατέρα add V 20-21 πρωτεύειν CT 22 γεγεννῆσθαι VL (sed prius uno ν L) 24 τὴν τῶν ὄντων αἰτίαν VL 25 πάντων κατὰ τ. ἀθρόαν LACTS v sed θείαν post ἀθρόαν add LC: κατὰ ταὐτὸν ἀθρόαν πάντων θείαν V θείαν fort v l ad ἀθρόαν 26-27 ἀναλαβὼν V

588 προσγεγενῆσθαι νομίζειν; οὐ γάρ ἐστιν ἕν τι τῷ λογισμῷ
διαβάντα τῶν περὶ τὸν θεὸν εὐσεβῶς λεγομένων ἐντυχεῖν
ἑτέρῳ πράγματι ἢ νοήματι, ὃ τῆς τοῦ ῥηθέντος ἀρχαιό-
τητος ὑπεραρθῆναι δυνήσεται, ἀλλὰ πᾶν ὄνομα θεῖον καὶ
πᾶν μεγαλοπρεπὲς νόημα καὶ πᾶσα γλῶσσα καὶ ὑπόληψις
ταῖς περὶ θεοῦ ἐννοίαις ἁρμόζουσα συνήρτηται πρὸς τὴν
ἑτέραν καὶ ἥνωται, καὶ πᾶσαι κατὰ τὸ συνεχὲς ἀθρόαι καὶ
συγκεκροτημέναι μετ' ἀλλήλων αἱ περὶ τοῦ θεοῦ ὑπολήψεις
καταλαμβάνονται, ἡ πατρότης ἡ ἀγεννησία ἡ δύναμις ἡ
589 ἀφθαρσία ἡ ἀγαθότης ἡ ἐξουσία τὰ ἄλλα πάντα. οὐ γὰρ
διῃρημένως τούτων ἕκαστον τῶν λοιπῶν ἀποτετμημένον ἐφ'
ἑαυτοῦ κατά τι χρονικὸν διάστημα νοεῖται, ὡς προτερεῦον
ἑτέρου ἢ ἑφεπόμενον, ἀλλ' ὅπερ ἂν εὑρεθῇ μεγαλοπρεπές
τε καὶ εὐσεβὲς ὄνομα, τῇ ἀϊδιότητι τοῦ θεοῦ συνεμφαίνεται.
590 ὡς οὖν οὐκ ἔστιν εἰπεῖν ποτε μὴ εἶναι τὸν θεὸν ἀγαθὸν ἢ δυνατὸν
433 M. ἢ ἄφθαρτον ἢ ἀθάνατον, κατὰ τὸν αὐτὸν τρόπον ἀσεβές ἐστι μὴ
ἀεὶ αὐτῷ προσμαρτυρεῖν τὴν πατρότητα, ἀλλ' ὕστερον προσγε-
591 γενῆσθαι λέγειν. ὁ γὰρ ἀληθῶς πατὴρ ἀεὶ πατήρ· εἰ δὲ μὴ
προσείη τὸ ἀεὶ τῇ ὁμολογίᾳ, ἀλλά τις ἔννοια κατὰ τὸ μάταιον
προεπινοουμένη ἀποτέμοι καὶ κολοβώσειεν ἐπὶ τὸ ἄνω τὴν τοῦ
πατρὸς ἔννοιαν, οὐκέτι τὸ ἀληθῶς πατὴρ εἶναι κυρίως ὁμο-
λογηθήσεται, τῆς ἐννοίας ἐκείνης τῆς τοῦ υἱοῦ προεπινοου-
μένης παραγραφομένης τὸ ἀΐδιον καὶ διηνεκὲς τῆς πατρό-
τητος. πῶς γὰρ δυνατὸν τὸ μετὰ ταῦτά ποτε γενόμενον
592 νοεῖσθαι ὃ νῦν λέγεται; εἰ οὖν πρῶτον ἀγέννητος ὢν μετὰ
ταῦτα ἐγένετο καὶ ὠνομάσθη πατήρ, οὐκ ἀεὶ ἦν πάντως ὃ
νῦν ὀνομάζεται· ὁ δὲ θεὸς ὃ νῦν ἐστι, καὶ ἀεί ἐστιν, οὔτε
χείρων οὔτε βελτίων ἐκ προσθήκης γινόμενος οὔτε τι ἄλλο ἐξ
ἄλλου μεταλαμβάνων καὶ ἀλλοιούμενος, ἀλλ' ὁ αὐτός ἐστιν

VLACTS 4 ὑπερθῆναι L δυνηθήσεται V post θεῖον add εὐσεβῶς V 6 ἐπήρτηται S 7 ἀθρόοι VS 11 ἀποτετμημένων VLCT ω supra ο scr A ἀποτετμημένον v 14 νόημα ἢ ὄνομα V fort v l συνεκφαίνεται T 15 μὴ εἶναι π. ATV v 19 προσῇ VL 28 γενόμενος v 29 ὁ om S

ἑαυτῷ ἀεί. εἰ μὲν <οὖν> οὐκ ἦν ἐξ ἀρχῆς πατήρ, οὐδὲ μετὰ ταῦ-
593 τα ἐγένετο. εἰ δὲ ὁμολογεῖται εἶναι πατήρ, πάλιν τὸν αὐτὸν
λόγον ἐπαναλήψομαι, ὅτι ὃ νῦν ἐστι, καὶ ἀεὶ ἦν, καὶ εἰ ἀεὶ
ἦν, καὶ εἰς ἀεὶ ἔσται. οὐκοῦν ἀεὶ πατὴρ ὁ πατήρ· τῷ δὲ
πατρὶ συνεπινοουμένου πάντως καὶ τοῦ υἱοῦ (οὐδὲ γάρ ἐστι
δυνατὸν βεβαιωθῆναι τοῦ πατρὸς τὴν κλῆσιν, μὴ υἱοῦ τὴν
προσηγορίαν ἐπαληθεύοντος), καὶ τὰ <ἐν> τῷ πατρὶ θεω-
594 ρούμενα πάντα καὶ ἐπὶ τοῦ υἱοῦ καθορᾶται. πάντα γὰρ
ὅσα ἔχει ὁ πατὴρ τοῦ υἱοῦ ἐστι, καὶ τὰ τοῦ υἱοῦ πάντα
ὁ πατὴρ ἔχει. ὁ πατήρ, εἶπον, τὰ τοῦ υἱοῦ, ὡς ἂν
μὴ ἐξείη τῷ συκοφάντῃ συμπεριλαμβάνειν ἐπηρεαστικῶς
πως πᾶσι καὶ τὸ μὴ γεγεννῆσθαι τὸν υἱὸν ἐν τῷ λέγειν
πάντα τὰ τοῦ πατρὸς τὸν υἱὸν ἔχειν, ἢ πάλιν τὸ γεννητὸν
εἶναι καὶ τὸν πατέρα ἐν τῷ τὰ τοῦ υἱοῦ πάντα ἐν τῷ
πατρὶ καθορᾶσθαι. πάντα γὰρ τὰ τοῦ πατρὸς ἔχει ὁ υἱός,
οὐχὶ πατήρ ἐστι, καὶ τὸ ἔμπαλιν τὰ τοῦ υἱοῦ πάντα ἐν τῷ
πατρὶ θεωρεῖται, οὐχὶ υἱός ἐστιν.
595 Εἰ οὖν ἐν τῷ μονογενεῖ τὰ τοῦ πατρὸς πάντα, οὗτος
δὲ ἐν τῷ πατρί, ἡ δὲ πατρότης τῆς ἀγεννησίας οὐ διατέ-
μνηται, τί πρὸ τῆς τοῦ υἱοῦ ἐννοίας κεχωρισμένως ἐφ'
ἑαυτοῦ κατά τι διάστημα περὶ τὸν πατέρα νοεῖσθαι δύναται;
596 ἐγὼ μὲν οὖν οὐ συνορῶ. οὐκοῦν ἀφόβως ἔστιν ἐπιθαρσήσαντας
τοῖς προφερομένοις διὰ τοῦ σοφίσματος ἡμῖν ὁμόσε χω-
ρῆσαι, καὶ μηδὲν πτοηθέντας τοῦ συλλογισμοῦ τὴν μορμόνα
τὴν ἐπὶ καταπλήξει τῶν παίδων σεσοφισμένην εἰπεῖν, ὅτι ὁ
θεὸς καὶ ἅγιος καὶ ἀθάνατος καὶ πατὴρ καὶ ἀγέννητος

8 Joh 16, 15

VLACTS 1 οὖν add Wilamowitz οὐδὲ correxi: οὔτε 3 ὃ CT: om VL εἰ AS v 3-4 verba καὶ εἰ ἀεὶ ἦν om VLCTS add A v 6 δυνατὸν post κλῆσιν collocat V 7 ἐν addidi 10 εἶπεν v 11 συνεπιλαμβάνειν S 12 πῶς VS γεγενῆσθαι AS ν alt sscr AS 13 τὸν γεννητὸν v 18 οὖν om V 20 ἐννοίας A v: ἐπινοίας VLCTS 22 οὖν οὐ CT: οὖν om ceteri ἐπιθαρσήσαντα VLACT cf 24 πτοηθέντας 23 ὁμόσε χωρῆσαι: νόμος ἐχώρησε VLT 24 μορμόνα: γοργόνα AT v 25 ἐπὶ κατάπληξιν L

καὶ ἀΐδιος καὶ ὁμοῦ τὰ πάντα ἐστί· κἂν ἕν τι τῶν εὐσεβῶς περὶ αὐτοῦ λεγομένων καθ' ὑπόθεσιν μὴ εἶναι δῶς, τὰ πάντα τῷ ἑνὶ συνανῄρηται· οὐ γάρ ἐστι δυνατόν, ἐὰν μὴ ἀθάνατος ᾖ, τὰ λοιπὰ εἶναι, ὃ δὲ ἐπὶ μέρους εἴρηται,
597 καθόλου νοεῖσθαι. οὐκοῦν οὐδὲν περὶ αὐτὸν οὔτε προγενέστερον οὔτε νεώτερον, ἢ οὕτως ἀνευρεθήσεται πρεσβύτερος αὐτὸς ἑαυτοῦ καὶ νεώτερος. εἰ γὰρ μὴ πάντοτε πάντα ἐστὶν ὁ θεός, ἀλλὰ κατά τινα τάξιν καὶ ἀκολουθίαν τὸ μέν τί ἐστι, τὸ δὲ γίνεται (σύνθεσις δὲ περὶ αὐτὸν οὐδεμία, ἀλλ' ὅπερ ἂν ᾖ, ὅλος ἐστί), κατὰ δὲ τὸν τῆς αἱρέσεως λόγον πρότερον ἀγέννητος ὢν μετὰ ταῦτα γίνεται πατήρ,
436 M. οὐδεμιᾶς σωρείας ἐπιτηδευμάτων περὶ αὐτὸν νοουμένης, οὐδὲν ἄλλο ἢ ὅλος αὐτὸς ἑαυτοῦ ὅλου πρεσβύτερός τε καὶ μεταγενέστερος γίνεται, κατὰ μὲν τὸ ἀγέννητον ἑαυτοῦ προτερεύων, κατὰ δὲ τὴν τοῦ πατρὸς ἔννοιαν ἑαυτοῦ γινό-
598 μενος δεύτερος. εἰ δὲ καθώς φησι περὶ τοῦ θεοῦ ὁ προφήτης ὅτι ὁ αὐτός ἐστι, μάταιος ὁ λέγων ὅτι πρὶν γεννῆσαι οὐκ ἦν ἀγέννητος, ὅτι οὐδέτερον τούτων χωρὶς τοῦ ἑτέρου εὑρίσκεται, οὔτε τοῦ πατρὸς τὸ ὄνομα οὔτε τοῦ ἀγεννήτου, ἀλλ' ὁμοῦ τὰ δύο καὶ μετ' ἀλλήλων ταῖς διανοίαις τῶν εὐσεβῶς λογιζομένων ἐγγίνεται τὰ νοήματα. καὶ γὰρ ἐξ ἀϊδίου πατὴρ ὁ θεὸς καὶ πατὴρ ἀΐδιος, καὶ πάντα ὅσα εὐσεβῶς λέγεται κατὰ ταὐτὸν ὀνομάζεται, τῆς χρονικῆς ταύτης καθὼς ἔφαμεν ἀκολουθίας καὶ τάξεως ἐπὶ τῆς προαιωνίου φύσεως ἀργούσης.
599 Ἴδωμεν δὲ καὶ τὰ λοιπὰ τῆς διαλεκτικῆς εὐστροφίας, ἃ καὶ αὐτὸς γελοῖά τε ἅμα καὶ ἐλεεινά φησιν εἶναι, καλῶς τοῦτο λέγων. πλατὺς γὰρ ὡς ἀληθῶς ἐν τοῖς εἰρημένοις ὁ γέλως, μᾶλλον δὲ πολὺς ὁ θρῆνος ἐπὶ τῇ κατε-

16 talia passim occurrunt velut Ps 101, 28 al   27 quae sint ipsius Eunomii verba, accurate dici non potest

VLACTS 1 καὶ ante ὁμοῦ om C   5 νοείσθω AS v   6 ἀνευρεθήσεται correxi: ἂν εὑρεθήσεται   7 αὐτὸς om VS, sed postea suprascr S   ἑαυτοῦ: αὐτοῦ V   10 ἅπερ A (fort ex ω factum α) v   15-16 γενόμενος v   17 ὁ ante αὐτός om VLCT

χούσῃ τὴν ψυχὴν ἀπάτῃ. ἐπειδὴ γὰρ κατά τι σημαινόμενον ὁ πατὴρ καὶ τὴν τοῦ ἀγεννήτου περιείληφεν ἔννοιαν, ὡς ὁ ἡμέτερος λόγος, μεταλαβὼν τὴν κυρίαν τοῦ πατρὸς σημα-
600 σίαν εἰς τὸ ἀγέννητον μόνον τάδε φησίν· εἰ γὰρ ταὐτόν ἐστιν εἰπεῖν ἀγέννητος ἢ πατήρ, ἐξέσται ἡμῖν καταλιποῦσι τὴν τοῦ πατρὸς φωνήν, μεταλαβοῦσι δὲ τὸ ἀγέννητον εἰπεῖν· ὁ ἀγέννητος υἱοῦ ἐστιν ἀγέννητος· ὥσπερ γὰρ ὁ ἀγέννητος υἱοῦ πατήρ, οὕτως ἔμπαλιν υἱοῦ ἀγέννητος ὁ πατήρ. ἔπεισί μοι λοιπὸν θαυμάζειν τὸν ἄνδρα τῆς εὐμηχανίας, καὶ τὸ πολύτροπον αὐτοῦ καὶ ποικίλον τῆς εἰς τὰ δόγματα παιδιᾶς ὑπὲρ τὴν τῶν πολλῶν εἶναι δύναμιν οἴε-
601 σθαι. τὸ μὲν γὰρ εἰρημένον παρὰ τοῦ διδασκάλου ἡμῶν εἷς λόγος ἐν βραχεῖ τὴν περιγραφὴν ἔχων, τὸ δυνατὸν εἶναι καὶ διὰ τῆς τοῦ πατρὸς προσηγορίας τὴν ἀγεννησίαν σημαίνεσθαι, τὰ δὲ παρὰ τούτου τοσαῦτα, ὧν τὸ πλῆθος οὐκ ἐν τῇ διαφορᾷ τῶν νενοημένων ἐστίν, ἀλλ' ἐν τῇ περιόδῳ καὶ ἀναστροφῇ τῶν ὁμοίων ῥημάτων. καθάπερ γὰρ οἱ τὴν μύλην κεκαλυμμένοις τοῖς ὀφθαλμοῖς περιθέοντες ἐν πολλῇ τῇ ὁδοιπορίᾳ κατὰ τὸν αὐτὸν μένουσι τόπον, οὕτως ἀεὶ περὶ τὰ αὐτὰ στρέφεται καὶ τῶν αὐτῶν οὐκ ἀφίσταται.
602 εἶπεν ἅπαξ ἐπιχλευάζων, ὅτι οὐ τὸ γεννῆσαι σημαίνει ὁ πατήρ, ἀλλὰ τὸ ἐξ οὐδενὸς εἶναι. πάλιν τὸ ὅμοιον ἔπλεξεν· εἰ πατὴρ τὸ ἀγέννητον σημαίνει, πρὶν γεννῆσαι οὐκ ἦν ἀγέννητος. εἶτα ἐκ τρίτου ἐπὶ τὰ αὐτὰ ἐπανέρχεται· ἔξεστι γάρ, φησί, μεταλαβοῦσι τὸ ἀγέννητον εἰπεῖν· ὁ ἀγέννητος υἱοῦ ἐστιν ἀγέννητος. καὶ εὐθὺς ἐπανέλαβεν ὃ πολλάκις ἐξήμεσε καί φησιν·

VLACTS 3 μεταβαλὼν v   4 τὸ ἀγέννητον μόνον τάδε S: τὸ ἀγέννητον μέν, ὄντα δὲ VLCT μόνον om A v   6 καταληποῦσι L   8 υἱοῦ in rasura add L[2] υἱὸς V   ὁ ante alt ἀγέννητος add A om VLCTS   ἐστιν post alt ἀγέννητος add V (sed cf 202,3)   11 τὸ om v   12 παιδείας VLA v   13 γὰρ om A v   14 ἐν βραχεῖ: ἐν γραφῇ V   20 τρόπον T   ἀεὶ om S   22 σημαίνοι L   23 πάλιν: πᾶν L   24 σημαίνῃ L   26 φησί collocat post 27 εἰπεῖν S   27 υἱὸς VL (cf 200, 30)

ὥσπερ γὰρ ὁ ἀγέννητος υἱοῦ πατήρ, οὕτως ἔμ-
603 παλιν υἱοῦ ἀγέννητος ὁ πατήρ. ὢ ποσάκις ἐπὶ τὸν
ἑαυτοῦ ἔμετον ἐπανέδραμε, ποσάκις ἐπανέλαβε, ποσάκις ἐξέ-
βλυσεν. ἆρ' οὖν οὐκ ἐπαχθεῖς καὶ ἡμεῖς τοῖς πολλοῖς
γενησόμεθα τῇ ματαιότητι τῶν παρ' αὐτοῦ προφερομένων
καὶ τὸν ἡμέτερον λόγον συμπερισύροντες;

Καὶ ἴσως τὸ σιωπᾶν ἦν ἐν τοῖς τοιούτοις ἁρμοδιώ-
437 M. τερον· ἀλλ' ἵνα μή τις τῇ περὶ τὸν ἔλεγχον ἀσθενείᾳ καθ-
υφιέναι νομίσῃ τὸν λόγον, ταῦτα τοῖς εἰρημένοις ἀποκρι-
604 νούμεθα. οὐκ ἔξεστί σοι λέγειν υἱοῦ ἀγέννητον τὸν
πατέρα, κἂν ἡ τοῦ πατρὸς κλῆσις τὸ μὴ ἐξ αἰτίας εἶναι
τὸν γεγεννηκότα σημαίνῃ. ὥσπερ γὰρ κατὰ τὸ ῥηθὲν ἡμῖν
ὑπόδειγμα τὴν τοῦ βασιλέως ἀξίαν ἀκούσαντες δύο ἐκ τοῦ
ὀνόματος ἐνοήσαμεν, τό τε ὑποτετάχθαι μηδενὶ τὸν κατ'
ἐξουσίαν προέχοντα, καὶ τὸ τῶν ὑποχειρίων κρατεῖν, οὕτω
καὶ ἡ τοῦ πατρὸς προσηγορία διπλῆν ἡμῖν ἐπὶ τοῦ θεοῦ
τὴν σημασίαν παρέχεται, τήν τε πρὸς τὸν υἱὸν νοουμένην
<σχέσιν> καὶ τὸ μηδεμιᾶς αὐτὸν ἐξῆφθαι προεπινοουμένης
605 αἰτίας. ὥσπερ οὖν οὐκ ἔστιν ἐπὶ τοῦ βασιλέως εἰπεῖν, ὅτι εἰ
τὰ δύο διὰ τῆς αὐτῆς προσηγορίας σημαίνεται, τό τε κρατεῖν
τῶν ὑποχειρίων καὶ τὸ μὴ ἔχειν τὸν προηγούμενον, ἔξεστι
μὴ ἄρχοντα τοῦ ἔθνους, ἀλλ' ἀβασίλευτον τῶν ὑποταγ-
μένων προσαγορεύειν, οὐδὲ συντιθέντας τὸ τοιοῦτο λέγειν,
ὅτι ὥσπερ βασιλεὺς ἔθνους λέγεται, οὕτω καὶ ἀβασίλευτος
τοῦ ἔθνους ὀνομασθήσεται, τὸν αὐτὸν τρόπον καὶ τῆς τοῦ
πατρὸς φωνῆς τόν τε υἱὸν ἐνδεικνυμένης καὶ τὴν τοῦ ἀγεν-
νήτου ἔννοιαν παριστώσης οὐκ ἔξεστι μετατιθέντας παρὰ τὸ
δέον τὴν σημασίαν τῇ πρὸς τὸν υἱὸν οἰκειότητι γελοίως
προσκολλᾶν τοῦ ἀγεννήτου τὴν ἔννοιαν ἐν τῷ λέγειν ὅτι
τοῦ υἱοῦ ἀγέννητος ὁ ἀγέννητος.

VLACTS 2 ἀγεννήτως ὁ πατὴρ V 3 ἀνέδραμε(ν) VL post ἀνέδραμεν collocat ἔμετον V ποσάκις ἐπανέλαβε om CT 4 τ. πολλοῖς κ. ἡμεῖς SV 5 ματαιότητι post προφερομένων collocat V 7 ἦν om ACTS v τούτοις V 8 τὸν ἔλεγχον VL, in marg γρ καὶ περὶ τὸν ἔλεγχον A: τὸ λέγειν ACTS τοῦ λέγειν v 18 σχέσιν addidi cf 186, 19. 187,11 21 τὸν: τί V 29-30 ὅτι τοῦ υἱοῦ ἀγέννητος ὁ ἀγέννητος VLC(om ὅτι)T: ὅτι τοῦ om AS omnia praeter υἱοῦ ἀγέννητος om v

606 Ἐπὶ τούτοις δὲ τοῖς εἰρημένοις ὡς ἐπιβὰς τῆς ἀλη-
θείας καὶ διελέγξας τῶν ἀντιτεταγμένων τὸ ἄτοπον οἷα
μεγαλαυχούμενος φθέγγεται. καὶ τίς πώποτε, φησί,
σωφρονῶν σιωπᾶσθαι τὴν φυσικὴν ἔννοιαν ἐδι-
καίωσε, τὴν δὲ παράνοιαν ἐτίμησεν; οὐδείς, ὦ
σοφώτατε, οὔκουν οὐδὲ ὁ ἡμέτερος λόγος ὁ εἰπὼν τὴν τοῦ
ἀγεννήτου προσηγορίαν ταῖς ἐννοίαις συμβαίνειν καὶ δεῖν
ταύτην ἔχειν ἐν ταῖς καρδίαις ἀκίνητον, ἀντὶ δὲ τῆς δια-
στραφείσης παρ' ὑμῶν φωνῆς τὴν τοῦ πατρὸς προσηγορίαν
607 ἱκανὴν εἶναι καὶ πρὸς ἐκείνην ἄγειν τὴν ἔννοιαν. μνήσθητι
γὰρ ὧν αὐτὸς παρέθου ῥημάτων, ὅτι οὐχὶ σιωπᾶσθαι
τὴν φυσικὴν ἔννοιαν ἐδικαίωσε, τὴν δὲ παρά-
νοιαν, ὡς αὐτὸς ὀνομάζεις, ἐτίμησεν· ἀλλὰ τὴν προσ-
ηγορίαν μόνην τοῦ ἀγεννήτου, τοῦτ' ἔστι τὴν ἐν ταῖς συλ-
λαβαῖς προφοράν, ὡς κακῶς ἐξειλημμένην καὶ ἅμα μηδὲ
παρὰ τῆς γραφῆς εἰρημένην ἀκινδύνως σιωπᾶν συμβουλεύει,
τὸ δὲ σημαινόμενον καὶ μάλιστα ταῖς ἐννοίαις ἡμῶν συμ-
βαίνειν φησίν.
608 Ἀλλὰ τὰ μὲν παρ' ἡμῶν τοιαῦτα. ὁ δὲ τοὺς σοφι-
στὰς διαβάλλων καὶ τῇ ἀληθείᾳ καθοπλίζων τὸν λόγον
καὶ τῶν ἡμετέρων πλημμελημάτων κατηγορῶν οὐκ ἐρυθριᾷ
ἐν τοῖς περὶ τῶν δογμάτων λόγοις διὰ σοφισμάτων ἀστεϊ-
ζόμενος καὶ μιμούμενος τοὺς ἐν τοῖς συμποσίοις διὰ κομ-
ψευμάτων τινῶν ἐφελκομένους τὸν γέλωτα. θεᾶσθε γὰρ τὸ
ἐμβριθὲς καὶ λελογισμένον τῆς τοῦ συλλογισμοῦ συμπλοκῆς·
τῶν αὐτῶν γὰρ πάλιν ἐπιμνησθήσομαι. εἰ γὰρ ταὐτόν
ἐστιν εἰπεῖν ἀγέννητος ἢ πατήρ, ἐξέσται ἡμῖν

VLACTS 1 τούτοις: τοιούτοις ACTS v 3 φησί om ACTS v 4 φρονῶν T 5 τήν τε VL 6 οὐκοῦν v οὐδὲ: δὲ L 8 ἔχειν ταύτην CT ταύτην traiecit post καρδίαις S 9 παρ' ἡμῶν A v 12-13 παροινίαν VL 15 παραφορὰν V μηδὲ correxi: μήτε 16 συμβουλεύει S (ex—ειν) v: συμβουλεύειν VLACT subiectum est 6 ὁ ἡμ. λόγος 19 τοιαῦτα: τοιάδε S 19-20 σοφιστὰς: σοφοὺς CT 23 τοῖς om v 24 θεᾶσθε: ἴδετε V 25 πλοκῆς A v 27 ἢ: ὁ CT

καταλιποῦσι τὴν τοῦ πατρὸς φωνήν, μεταλαβοῦσι δὲ τὸ ἀγέννητον εἰπεῖν· ὁ ἀγέννητος υἱοῦ ἐστιν ἀγέννητος· ὥσπερ γὰρ ὁ ἀγέννητος υἱοῦ πατήρ, οὕτως ἔμπαλιν υἱοῦ ἀγέννητος ὁ
609 πατήρ. παράπλήσιον γὰρ τοῦτο ἐκείνῳ. ὥσπερ
440 M. γὰρ εἴ τις τὸν Ἀδὰμ ὀρθῷ καὶ ὑγιαίνοντι λόγῳ μηδὲν διαφέρειν λέγοι ἢ πατέρα πάντων ἀνθρώπων ἢ πρῶτον ἀνθρώπων ὑπὸ τοῦ θεοῦ πεπλάσθαι λέγειν (ταὐτὸν γὰρ δι' ἑκατέρων σημαίνεσθαι), εἶτά τις τῶν κατ' αὐτὸν διαλεκτικῶν ἐφαλλόμενος τοῖς εἰρημένοις μιμοῖτο τὴν τοιαύτην πλοκήν, ὅτι εἰ ταὐτόν ἐστιν ἢ πρῶτον αὐτὸν ὑπὸ τοῦ θεοῦ πεπλάσθαι λέγειν ἢ πατέρα τῶν μετὰ ταῦτα, ἐξέσται καταλιποῦσι τὴν τοῦ πατρὸς φωνήν, μεταλαβοῦσι δὲ τὸ πρωτόπλαστον εἰπεῖν· ὁ Ἀδὰμ τοῦ Ἄβελ οὐχὶ πατήρ ἐστιν, ἀλλὰ πρωτόπλαστος· ὥσπερ γὰρ ὁ πρωτόπλαστος υἱοῦ πατήρ, οὕτω τὸ ἔμπαλιν
610 υἱοῦ πρωτόπλαστος ὁ πατήρ—εἰ ταῦτα ἐν καπηλείῳ λέγοιτο, πόσον ἂν οἴει κρότον καὶ γέλωτα παρὰ τῶν διακωθωνιζομένων ῥαγῆναι, ἐπικαγχαζόντων τῇ κομψείᾳ τοῦ παρευρέματος; τοιούτοις ὁ σοφὸς θεολόγος ἰσχυρίζεται καθ' ἡμῶν τοῖς λόγοις καὶ κατατρέχει τοῦ δόγματος, παιδαγωγοῦ τινος ὄντως καὶ βακτηρίας δεόμενος, ὡς ἂν διδαχθείη ὅτι οὐ πάντα ὅσα κατά τινος κατηγορεῖται πρὸς ἓν πάντως τὸ σημαινόμενον βλέπει, ὡς διὰ τοῦ ῥηθέντος ἡμῖν κατὰ τὸν
611 Ἄβελ καὶ τὸν Ἀδὰμ ὑποδείγματος δείκνυται. τὸν γὰρ Ἀδὰμ τὸν αὐτὸν καὶ πατέρα τοῦ Ἄβελ καὶ ἔργον τοῦ θεοῦ λέγειν ἀληθές ἐστιν· οὐ μὴν ἐπειδὴ αὐτὸς ἀμφότερα, ἐπὶ τοῦ Ἄβελ τὰ δύο. οὕτω καὶ ἐπὶ τοῦ θεοῦ τῶν ὅλων ἡ τοῦ πατρὸς προσηγορία δηλοῖ μὲν καὶ τὸ ἰδίως ὑπὸ τῆς τοιαύτης φωνῆς σημαινόμενον, τὸ γεγεννηκέναι λέγω τὸν υἱόν, ἐνδείκνυται δὲ καὶ τὸ μηδεμίαν αἰτίαν προεπινοεῖσθαι

VLACTS 3 γὰρ om T 6 μηδὲν: μὴ A v 7 λέγει T πρῶτον: πρὸ τῶν VL 9 καθαυτὸν VL 10 μιμεῖτο T συμπλοκὴν S 11 αὐτὸν om T 13 τὸ: τὸν V 17 οἴει: εἴη v 18 ἐπικακχαζόντων LA 18-19 παραρεύματος V 19-20 τοῖς καθ' ἡμῶν λόγοις V 21 ὄντος L διδαθείη L 24 τοῦ ἀδὰμ S 28 μὲν: δ' ἂν S τῆς om v 29 λέγω om A v 30 καὶ om CT

τοῦ ἀληθῶς πατρός· οὐ μὴν ἐπάναγκες, ὅταν τοῦ υἱοῦ μνησθῶμεν, μὴ πατέρα υἱοῦ λέγειν, ἀλλ' ἀγέννητον υἱοῦ προσαγορεύειν· οὐδ' αὖ πάλιν εἰ πρὸς τὴν τοῦ υἱοῦ σχέσιν τὸ ἄναρχον σιωπηθείη, ἐκβάλλειν τῆς διανοίας ἡμῶν ἐπὶ τοῦ θεοῦ τὸ ἀγέννητον. ἀλλ' ἀπωθεῖται τὴν τοιαύτην χρῆσιν τῶν ὀνομάτων καὶ κατὰ τοὺς μίμους τῶν γελοίων διαχλευάζει τὸν λόγον τῷ ἀλλοκότῳ τῶν σοφισμάτων γελωτοποιῶν ἐν τοῖς δόγμασι.

612 Πάλιν γὰρ τῶν παρ' αὐτοῦ ῥηθέντων ἐπιμνησθήσομαι. εἰ ταὐτόν ἐστιν εἰπεῖν ἀγέννητος ἢ πατήρ, ἐξέσται ἡμῖν καταλιποῦσι τὴν τοῦ πατρὸς φωνήν, μεταλαβοῦσι δὲ τὸ ἀγέννητον εἰπεῖν· ὁ ἀγέννητος υἱοῦ ἐστιν ἀγέννητος· ὥσπερ γὰρ ὁ ἀγέννητος υἱοῦ πατήρ, οὕτως ἔμπαλιν υἱοῦ ἀγέννητος ὁ πατήρ. ἀλλ' ἀντιγελάσωμεν εἰ δοκεῖ καὶ
613 ἡμεῖς, εἰς τοὐναντίον αὐτῷ περιαγαγόντες τὸ σόφισμα. εἰ οὐκ ἔστι ταὐτὸν ὁ πατὴρ τῷ ἀγεννήτῳ, ὁ τοῦ πατρὸς υἱὸς οὐκ ἔσται καὶ τοῦ ἀγεννήτου υἱός. πρὸς γὰρ τὸν πατέρα μόνον τὴν σχέσιν ἔχων ἀλλοτρίως πάντως ἕξει κατὰ τὴν φύσιν πρὸς τὸν ἄλλο τι ὄντα καὶ τῇ ἐννοίᾳ τοῦ πατρὸς μὴ
614 συμβαίνοντα· ὥστε εἰ ἄλλο τι παρὰ τὸν ἀγέννητόν ἐστιν ὁ πατὴρ καὶ οὐ περιλαμβάνει τοῦ πατρὸς ἡ προσηγορία καὶ τοῦ ἀγεννήτου τὸ σημαινόμενον, οὐ δύναται εἷς ὢν ὁ υἱὸς εἰς δύο πραγμάτων σχέσεις καταμερίζεσθαι, καὶ ὁ αὐτὸς εἶναι τοῦ τε πατρὸς καὶ τοῦ ἀγεννήτου υἱός· καὶ ὡς ἄτοπον ἐνομίσθη υἱοῦ ἀγέννητον τὸν θεὸν λέγειν, οὕτω πάντως καὶ ἐν τῷ ἀντιστρέφοντι τὸ ἴσον ἄτοπον εὑρεθήσεται τοῦ
441 M. ἀγεννήτου υἱὸν <τὸν> μονογενῆ λέγειν· ὥστε τῶν δύο τὸ ἕτερον, ἢ ταὐτόν ἐστι τῷ ἀγεννήτῳ ὁ πατήρ, ἵνα ὁ τοῦ πατρὸς

VLACTS 1 μὴν: μὴν in ras C ut vid μόνον T 2 πατέρα om AT v υἱοῦ pr om S 4 ἐπὶ: ἀπὸ ACT v 5 τὸ om CT 6 τῶν ante ὀνομάτων om v 10 ἀγέννητος εἰπεῖν S 16 εἰ om V 17 οὐκ ἔστι: οὐκέτι L 18 καὶ om TA v ὁ ante υἱὸς add V 21 τὸν: τὸ S 23 εἷς ὢν ὁ εἷς ACT ὁ εἷς ὢν (om ὁ υἱὸς) v 24 καὶ ὁ: καὶ εἰ L 26 υἱοῦ γεννητὸν VL 27 καὶ om A v 28 τὸν addidi μὴ ante λέγειν A ut vid alt man

υἱὸς καὶ τοῦ ἀγεννήτου υἱὸς ᾖ, καὶ μάτην ἡμῶν διεχλευάσθη
ὁ λόγος, ἢ εἰ ἕτερόν τι παρὰ τὸ ἀγέννητόν ἐστιν ὁ πατήρ,
ὁ τοῦ πατρὸς υἱὸς τῆς πρὸς τὸ ἀγέννητον σχέσεως ἠλλο-
615 τρίωται. καὶ ἐὰν τοῦτο κρατήσῃ, μὴ ἐκ τοῦ ἀγεννήτου
εἶναι τὸν μονογενῆ, γεννητὸν αὐτῷ πάντως ἡ ἀκολουθία τοῦ
λόγου τὸν πατέρα ἐνδείξεται· τὸ γὰρ ὂν μὲν μὴ ἀγεννήτως
δὲ ὂν γεννητὴν πάντως ὑπόστασιν ἔχει. εἰ οὖν γεννητὸς ὁ
πατὴρ κατ' ἐκείνους ἄλλο τι ὢν παρὰ τὸν ἀγέννητον, ποῦ
ἡ πολυθρύλητος ἀγεννησία ἐκείνη; ποῦ ἡ κρηπὶς καὶ ἡ
616 ὑποβάθρα τῆς αἱρετικῆς πυργοποιΐας; οἴχεται καὶ ἠφά-
νισται διὰ τοῦ γλίσχρου τῶν σοφισμάτων ἐκ τῶν κατέχειν
τέως δοκούντων διολισθῆσαν τῆς λαβῆς τὸ ἀγέννητον, καὶ
ἡ τοῦ ἀνομοίου κατασκευὴ καθάπερ τι ὄναρ διαρρυεῖσα τοῦ
λόγου τὴν ἐπαφὴν διαπέφευγε τῷ ἀγεννήτῳ συναποπτᾶσα.
οὕτως ὅταν τι ψεῦδος ᾖ πρὸ τῆς ἀληθείας τιμώμενον, κἂν
πρὸς ὀλίγον διὰ τῆς ἀπάτης ἀνθήσῃ, ταχέως περὶ ἑαυτὸ
καταρρεῖ καὶ ταῖς ἰδίαις κατασκευαῖς διαλύεται.
617 Ἀλλὰ ταῦτα μέν, ὅσον ἐπιμειδιᾶσαι τῇ κομψείᾳ τῆς
τοῦ ἀνομοίου ἀνταποδόσεως, καὶ παρ' ἡμῶν προενήνεκται.
618 καιρὸς δ' ἂν εἴη πάλιν ἐπαναγαγεῖν ἐπὶ τὴν ἀκολου-
θίαν τὸν λόγον. οὐ βούλεται ὁ Εὐνόμιος ὑπὸ τῆς τοῦ
πατρὸς φωνῆς καὶ τοῦ ἀγεννήτου τὴν σημασίαν παρίστασθαι,
ἵνα τὸ ποτὲ μὴ εἶναι τὸν μονογενῆ κατασκευάσῃ. καὶ γὰρ
καὶ πολὺ τοῦτο παρὰ τῶν μαθητῶν αὐτοῦ τὸ ἐρώτημα ὅτι,
619 ὁ ὢν πῶς γεννᾶται; αἴτιον δὲ τούτου οἶμαι τὸ μὴ ἐθέλειν
τῆς ἀνθρωπίνης χρήσεως τῶν ὀνομάτων καὶ ἐπὶ τῶν θείων
διανοημάτων ἀφίστασθαι. ἀλλ' ἡμεῖς εὐνοϊκῶς αὐτῷ τὸ
πεπλανημένον τῆς ὑπονοίας εἰς τὸ εὐθὲς προαγάγωμεν,
620 εἰπόντες ἃ περὶ τούτου γινώσκομεν. ἄλλα σημαίνει παρ'

VLACTS 1 ἡμῖν S 2 εἰ om et καὶ post πατὴρ add S 3 καὶ ante τῆς add V 4 κρατήσαι L 7 δὲ ὢν L 8 ἄλλότι VS ἀλλ' ὅτι L ὢν: ὂν CT τὸν: τὸ CTS 9 πολύθρυλος VL ἡ ante ὑποβάθρα om S 12 διολισθεῖσαν VL 13 τι: τινος v 16 ἀνθήσοι A v περὶ αὐτὸ T πρὸς ἑαυτὸ v 19 ὁμοίου V 23 τὸ post ἵνα om V μὴ: μὲν T 24 τῶν μαθητῶν παρ' αὐτοῦ V 25 οἴομαι S 27 τὸ εὐνοϊκῶς αὐτῷ πεπλ. S αὐτὸ A v 28 πεπλασμένον v

ἡμῖν, ὦ Εὐνόμιε, τὰ ὀνόματα, καὶ ἑτέραν ἐπὶ τῆς ὑπερκει-
μένης δυνάμεως τὴν σημασίαν παρέχεται. καὶ γὰρ καὶ
ἐν τοῖς λοιποῖς πᾶσι πολλῷ τῷ μέσῳ ἡ θεία φύσις ἀπὸ
τῆς ἀνθρωπίνης διατετείχισται, καὶ οὐδὲν ἐνταῦθα τοιοῦτον
ἡ πεῖρα δείκνυσιν, ὅσον ἐν ἐκείνῃ στοχασμοῖς τισι καὶ ὑπο-
νοίαις εἰκάζεται. τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς ὑπὸ τῶν
ὀνομάτων σημαινομένοις, κἂν ὁμωνυμία τις ᾖ τῶν ἀνθρω-
πίνων πρὸς τὸ ἀΐδιον, ἀλλὰ κατὰ τὸ μέτρον τῆς τῶν φύ-
σεων ἀποστάσεως καὶ τὰ σημαινόμενα διὰ τῶν ὀνομάτων
621 κεχώρισται. οἷον οἰκοδεσπότην ἄνθρωπον διὰ τῆς παρα-
βολῆς τὸν θεὸν ὀνομάζει ὁ κύριος· ἀλλὰ πολὺ τοῦτο καὶ
ἐν τῷ βίῳ τὸ ὄνομα. ἆρ' οὖν ὁ αὐτὸς λόγος τοῦ καθ'
ἡμᾶς ἀνθρώπου καὶ τοῦ ἀνθρώπου ἐκείνου, καὶ τοιοῦτος ὁ
ἡμέτερος οἶκος οἵα ἡ μεγάλη οἰκία ἐκείνη, καθώς φησιν
ὁ ἀπόστολος, ἐν ᾗ τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ
ὅσα τῆς λοιπῆς ὕλης ἠρίθμηται; ἢ ἄλλα μὲν ἐκεῖνα ἃ
οὐδ' ἂν ἐπιγνοίη τις εὐκόλως, ἐν ἀφθαρσίᾳ καὶ μακαριό-
τητι θεωρούμενα, ἄλλα δὲ τὰ παρ' ἡμῖν ἐκ γῆς ὄντα καὶ
622 εἰς γῆν καταρρέοντα; ὡσαύτως δὲ καὶ ἐν τοῖς λοιποῖς
πᾶσι σχεδὸν ὁμωνυμία τίς ἐστι πρὸς τὰ θεῖα τῶν ἡμετέρων
444 M. πραγμάτων, ἐν τῇ ταὐτότητι τῶν ὀνομάτων πολὺ τὸ διά-
φορον τῶν σημαινομένων ἐνδεικνυμένη. διὸ καὶ τὰ τῶν
μελῶν καὶ τὰ τῶν αἰσθητηρίων ὀνόματα παραπλησίως ἔστιν
εὑρεῖν ὥσπερ ἐφ' ἡμῶν οὕτω καὶ ἐπὶ τῆς θείας τεταγμένα
ζωῆς, ἣν ὑπὲρ αἴσθησιν εἶναι πάντες ὁμολογοῦσιν ἄνθρωποι.
δάκτυλοι καὶ βραχίων καὶ χεὶρ ὀφθαλμός τε καὶ βλέφαρα
καὶ ἀκοὴ καὶ καρδία καὶ πόδες καὶ ὑποδήματα καὶ ἵπποι
καὶ ἱππασίαι καὶ ἅρματα καὶ μυρία τοιαῦτα ἐκ τοῦ
ἀνθρωπίνου βίου πρὸς τὴν τῶν θείων δήλωσιν δι' αἰνίγματος
623 ὑπὸ τῆς γραφῆς μετενήνεκται. ὥσπερ τοίνυν ἕκαστον τού-

10 Matth 13, 27 et 52 14 II Tim 2, 20

VLACTS 1 ὑποκειμένης T 12 καὶ ante τοῦ add S 13 τοιοῦτος: τὸ οὗτος VL 14 οἰκεία L ι sscr 15 τὰ ante ἀργυρᾶ om VAS v 16 ἃ om VL 18 ἡμῶν A v 24 ἡμῖν A v 24-25 τεταγμένα ζωῆς om V 28 ἱππασία v 29 ἀνθρωπείου ACL

των τῶν ὀνομάτων καὶ ἀνθρωπίνως λέγεται καὶ οὐκ ἀνθρω-
πίνως σημαίνεται, οὕτω καὶ τὸ τοῦ πατρὸς ὄνομα κἂν
ὡσαύτως ἐπί τε τῆς ἡμετέρας καὶ ἐπὶ τῆς θείας λέγηται
φύσεως, ἀλλὰ κατὰ τὸ μέτρον τῆς διαφορᾶς τῶν ἐν τοῖς
ὀνόμασιν ὑποκειμένων καὶ τὰ διὰ τῶν φωνῶν σημαινόμενα
τὴν παραλλαγὴν ἔχει.

624 Ἄλλως γὰρ νοοῦμεν ἐπ' ἀνθρώπων τὴν γέννησιν καὶ
ἄλλως περὶ τῆς θείας γεννήσεως στοχαζόμεθα. ὁ ἄν-
θρωπος ἐν χρόνῳ τίκτεται καὶ τόπος τις αὐτῷ πάντως τὴν
625 ζωὴν ὑποδέχεται, ὧν ἄνευ συστῆναι φύσιν οὐκ ἔχει. διὰ
τοῦτο τοίνυν τὰ χρονικὰ τμήματα περὶ τὴν τοῦ ἀνθρώπου
ζωὴν ἀναγκαίως εὑρίσκεται, τὸ πρὸ αὐτοῦ λέγω καὶ τὸ κατ'
αὐτὸν καὶ τὸ μετὰ τοῦτο. ἀληθὲς γάρ ἐστιν εἰπεῖν περί
τινος τῶν γεγενημένων ὅτι ποτὲ μὴ ὢν νῦν ἔστι, καὶ μέντοι
καί ποτε πάλιν τοῦ εἶναι παύσεται· ἐπὶ δὲ τῆς προαιωνίου
γεννήσεως τὰ χρονικὰ ταῦτα νοήματα ἅτε μηδὲν ἔχοντα
συγγενὲς πρὸς ἐκείνην τὴν φύσιν τοῖς νηφόντως λογιζομένοις
οὐ συνεισέρχεται. τὸ γὰρ ποτὲ καὶ τὸ ὕστερον καὶ τὸ πρό-
τερον, καὶ ὅσα τὴν χρονικὴν ταύτην παράτασιν ἀποσημαίνει,
διαβὰς ὁ τὴν θείαν ζωὴν λογιζόμενος ὑψηλῶς τὰ ὑψηλὰ
κατασκέψεται, καὶ οὐχ ὅσα περὶ τὴν ἀνθρωπίνην γέννησιν
βλέπει, τούτοις νομίσει δουλεύειν καὶ τὴν ἀδέσποτον φύσιν.
626 ἐνταῦθα πάθος προηγεῖται τῆς ἀνθρωπίνης συστάσεως, καὶ
σωματικαί τινες ἀφορμαὶ πρὸς τὴν τοῦ ζῴου κατασκευὴν
καταβάλλονται, καὶ ὑπόκειται κατὰ τὸ θεῖον βούλημα ἡ τὰ
τοιαῦτα θαυματοποιοῦσα φύσις πανταχόθεν τὸ οἰκεῖόν τε
καὶ κατάλληλον εἰς τὴν τοῦ γινομένου τελείωσιν ἐρανίζουσα,
τῶν τε τοῦ κόσμου στοιχείων ὅσον ἱκανὸν ἀφ' ἑκάστου καὶ

VLACTS 2 κἂν: καὶ V 3 ἐπὶ alt om V λέγεται VLCT 7 τὴν γέννησιν ἐπ' ἀνθρώπων A v 8 περὶ: ἐπὶ S 11 τὰ om v 12 πρὸς αὐτοῦ L 12-13 καθ' αὑτὸν VL ex κατ' αὐτῶν corr vid κατ' αὐτὸν CT 14 γεγεννημένων AT alt v sscr v ποτὲ μὴ: μήποτε ACTS v 19 παράστασιν VLCT ὑποσημαίνει L 21 κα-τασκέπτεται T 22 φύσιν cum ἀδέσποτον iunxi et post φύσιν interpunxi, ad proximam sententiam referunt v 26 θαυματο-ποιοῦσαι L ἡ ante πανταχόθεν add VL 27 ἀκατάλληλον VL

τῆς ὑπὸ τοῦ χρόνου συνεργίας τὸ μέτριον καὶ τῆς ἐκ τῶν
διαπλασσόντων τὸ τικτόμενον τροφῆς, ὅσον οἰκεοῖν τῷ πλασ-
σομένῳ γίνεται, καὶ συνελόντι φάναι διὰ πάντων χωροῦσα
ἡ φύσις, δι' ὧν ἡ ἀνθρωπίνη ζωὴ τὴν κατασκευὴν ἔχει,
οὕτως εἰς γέννησιν τὸ μὴ ὂν ἄγει, καὶ διὰ τοῦτο μὴ ὂν
γίνεσθαι λέγομεν, ὅτι τὸ ἔν τινι χρόνῳ μὴ ὂν ἐν ἄλλῳ
627 χρόνῳ τοῦ εἶναι ἄρχεται. ἐπὶ δὲ τῆς θείας γεννήσεως ἡ
ἔννοια τήν τε τῆς φύσεως ὑπηρεσίαν καὶ τὴν τοῦ χρόνου
τελείωσιν πρὸς τὴν τοῦ γινομένου συνεισφοράν, καὶ πάντα
ὅσα περὶ τὴν κάτω γέννησιν ὁ λόγος ἐθεώρησεν, οὐ προσ-
ίεται καὶ οὐδενὶ τῶν ταπεινῶν νοημάτων συνεμπεσεῖται ὁ
μὴ σαρκικαῖς διανοίαις τῶν θείων μυστηρίων ἐπιβατεύων,
ἀλλὰ ζητεῖ τινα διάνοιαν τῷ μεγαλείῳ τοῦ σημαινομένου
628 πρέπουσαν· οὔτε γὰρ πάθος περὶ τὸν ἀπαθῆ νοήσει οὔτε
445 M. συνεργίας φυσικῆς τὸν δημιουργὸν πάσης φύσεως ἐπιδεῖσθαι
λογίσεται οὔτε χρονικὴν παράτασιν ἐπὶ τῆς αἰωνίου ζωῆς
παραδέξεται, ἀλλὰ πάντων τούτων καθαρεύουσαν τὴν θείαν
γέννησιν κατανοήσας μόνον τὸ μὴ ἀνάρχως εἶναι διὰ τῆς
τοῦ πατρὸς σημασίας τὸν μονογενῆ δηλοῦσθαι συνθήσεται,
ὡς τὴν αἰτίαν μὲν ἐκεῖθεν ἔχειν τοῦ εἶναι, ἀρχὴν δὲ τῆς
ὑποστάσεως μὴ λογίζεσθαι, διὰ τὸ μὴ δύνασθαί τι ση-
629 μεῖον τοῦ ζητουμένου κατανοῆσαι. τοῦ γὰρ προγενεστέρου
καὶ τοῦ νεωτέρου καὶ πάντων τῶν τοιούτων νοημάτων ἐν
τοῖς χρονικοῖς διαστήμασιν εὑρισκομένων, ἐὰν ὑφέλῃς τῷ
λόγῳ τὸν χρόνον, πάντα συνυφήρηται τὰ τοιαῦτα σημεῖα
καὶ συνυπεσπάσθη μετὰ τοῦ χρόνου.

630 Ἐπεὶ οὖν τὸ „ποτέ" οὐ προσίεται ὁ πρὸ τῶν αἰώνων
κατὰ τὸν ἄφραστον λόγον τῷ πατρὶ συνών, γεννητὸς μὲν
ἐστίν, οὐ μήν ποτε τοῦ εἶναι ἄρχεται· οὔτε γὰρ ἐν χρόνῳ

VLACTS 1 μέτριον: μέτρον AS v τῆς ἐκ S: ἐκ τῆς VLA CT v 2 διαπλάσσον V 6 τὸ om A v 8 ὑπηρεσίαν om T 9 πρὸς: καὶ V om L τὴν om VL 10 ἐθεώρησεν ὁ λόγος V 11 συμπεσεῖται A sed εν sscr 12 μυστηρίων om ACTS v 15 ἐπι-δεῖσθαι: ἐπιδείκνυσθαι VL 16 προαιωνίου V 17 περιδέξεται v τούτων om T 18 εἶναι om T 20 ὡς: ὥστε S 28 τῶν ἄφρασ-τον L γεννητὸς: γεννητῶς ACT v

οὔτε ἐν τόπῳ τὴν ζωὴν ἔχει. ἐξαιρεθέντος δὲ καὶ τόπου
καὶ χρόνου καὶ παντὸς τοιούτου διανοήματος ἐπὶ τῆς τοῦ
μονογενοῦς ὑποστάσεως, τὸ πρὸ ἐκείνου νοούμενον ὁ πατήρ
ἐστι μόνος. ἀλλ' ἐν τούτῳ καὶ ὁ μονογενὴς ὤν, καθὼς
αὐτὸς ἐκεῖνός φησι, τὴν τοῦ ποτὲ μὴ εἶναι ὑπόνοιαν δέ-
631 ξασθαι φύσιν οὐκ ἔχει. εἰ μὲν γάρ ποτε οὐκ ἦν καὶ ὁ
πατήρ, ἀναγκαίως τῇ τοῦ πατρὸς ἀνυπαρξίᾳ καὶ ἡ τοῦ υἱοῦ
ἀϊδιότης ἐπὶ τὸ ἄνω συναπεκόπτετο. εἰ δὲ ἀεί ἐστιν ὁ
πατήρ, πῶς ὁ υἱός ποτε οὐκ ἔστιν ὁ μὴ δυνάμενος ἐφ'
ἑαυτοῦ χωρὶς τοῦ πατρὸς νοηθῆναι, ἀλλὰ κατὰ τὸ σιωπώ-
632 μενον ἀεὶ τῷ πατρὶ συνονομαζόμενος; ἡ γὰρ τοῦ πατρὸς
κλῆσις ἐπίσης τῶν δύο προσώπων ἐν ἑαυτῇ τὴν ἐπισημασίαν
ἔχει, αὐτομάτως τῆς περὶ τοῦ υἱοῦ ἐννοίας τῇ φωνῇ ταύτῃ
συνεισιούσης. πότε οὐκ ἦν ὁ υἱός; ἐν τίνι τὸ μὴ εἶναι
αὐτοῦ κατελήφθη; ἐν τόπῳ; τόπος οὐκ ἦν· ἐν χρόνῳ; πρὸ
χρόνων ὁ κύριος. εἰ οὖν πρὸ τούτων ἦν, πότε οὐκ ἦν; καὶ
εἰ ἐν τῷ πατρὶ ἦν, ἐν τίνι οὐκ ἦν, εἴπατε οἱ τὰ ἀθέατα
633 βλέποντες. τί διὰ μέσου ὁ λογισμὸς ὑμῶν ἀνετυπώσατο; τί
καινὸν τοῦ μονογενοῦς ἐνοήσατε ἢ πρᾶγμα ἢ νόημα, ὃ τῷ
πατρὶ συμπαρεκτεινόμενον περισσοτέραν αὐτοῦ τὴν ζωὴν
τοῦ μονογενοῦς ἀποδείκνυσι;
634 Καὶ τί τοῦτο λέγω; οὐδὲ γὰρ ἐπὶ τῶν ἀνθρώπων
κυρίως ἔστιν εἰπεῖν, ὅτι οὐκ ὤν τις ἐγεννήθη. Λευῒς γὰρ
πρὸ πολλῶν γενεῶν τῆς κατὰ σάρκα ἑαυτοῦ γεννήσεως ὑπὸ
τοῦ Μελχισεδὲκ δεδεκάτωται· οὕτω γάρ φησιν ὁ ἀπόστολος,
ὅτι Λευῒς ὁ τὰς δεκάτας λαμβάνων δεδεκάτωται, καὶ τὴν
ἀπόδειξιν τοῖς λεγομένοις ἐπήγαγεν, ὅτι ἐν τῇ ὀσφύϊ τοῦ

17 Joh 14, 20; 17, 21 22-28 Hebr 7, 5 sq

VLACTS 2 τοῦ ante τοιούτου add VL 5 αὐτὸς sscr A 8-9 ὁ ante πατήρ add S om VLACT v 10 χωρὶς τοῦ πατρὸς om CT ποτε ante νοηθῆται add CT 12 ἐν ἑαυτῇ om A v σημασίαν LS v 13 τε post τῆς add VL 14 ποτὲ L 15 κατελείφθη S 16 τούτου CT 18 τί alt: τὸ V 19 καινὸν VLCT, S prius: κενὸν A et S ex corr v ὃ τῷ: ἃ τῶ L 20 αὐτοῦ: αὐτῶ S 23 ὢν: ἄν V γὰρ: ὑ S 23 et 26 λευῒ A v

πατρὸς αὐτοῦ ἦν ὅτε Ἀβραὰμ τῷ ἱερεῖ τοῦ ὑψίστου συνήν-
635 τησεν. εἰ οὖν ἄνθρωπος τρόπον τινὰ ὢν γεννᾶται, κατὰ
τὴν ἀποστολικὴν μαρτυρίαν διὰ τοῦ κοινοῦ τῆς οὐσίας ἐν
τῷ γεγεννηκότι αὐτὸν προϋφεστώς, πῶς ἐπὶ τῆς θείας φύ-
σεως τὴν φωνὴν ταύτην τολμῶσι προφέρειν, ὅτι οὐκ ὢν
ἐγεννήθη ὁ ἐν τῷ πατρὶ ὤν, καθώς φησιν ὁ κύριος· Ἐγὼ
636 ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί, κατ' ἄλλην δηλαδὴ καὶ
448 M. ἄλλην ἐπίνοιαν ἑκάτερος ἐν τῷ ἑτέρῳ εἶναι λεγόμενος, ὁ
μὲν υἱὸς ἐν τῷ πατρί, ὡς τὸ ἐπὶ τῆς εἰκόνος κάλλος ἐν
τῇ ἀρχετύπῳ μορφῇ, ὁ δὲ πατὴρ ἐν τῷ υἱῷ, ὡς ἐν τῇ
εἰκόνι ἑαυτοῦ τὸ πρωτότυπον κάλλος. ἀλλ' ἐπὶ μὲν τῶν
χειροκμήτων εἰκόνων ὁ διὰ μέσου χρόνος τὴν μεταλη-
φθεῖσαν μορφὴν ἀπὸ τοῦ πρωτοτύπου πάντως διΐστησιν, ἐκεῖ
δὲ οὐκ ἔστι χωρίσαι τοῦ ἑτέρου τὸ ἕτερον, καθώς φησιν ὁ
ἀπόστολος, οὔτε τῆς ὑποστάσεως τὸν χαρακτῆρα οὔτε τῆς
θείας δόξης τὸ ἀπαύγασμα οὔτε τῆς ἀγαθότητος τὴν **εἰ-
κόνα**, ἀλλ' ὁ τούτων τι διανοηθεὶς συνημμένως καὶ τὸ μετ'
637 αὐτοῦ νοούμενον τῇ διανοίᾳ συμπαρεδέξατο. ὢν γάρ, φη-
σίν, ἀπαύγασμα τῆς δόξης, ὤν, οὐχὶ γενόμενος, ὡς σαφῶς
διὰ τούτου τὸ ἐφ' ἑκάτερα τῶν ὑπολήψεων ἀσεβὲς ἀποπέμ-
ψασθαι καὶ μήτε ἀγέννητον οἰηθῆναι τὸν μονογενῆ, διὰ
τοῦ εἰπεῖν ἀπαύγασμα τῆς δόξης· ἐκ γὰρ τῆς δόξης ἐστὶ
τὸ ἀπαύγασμα, καὶ οὐ τὸ ἔμπαλιν ἀπὸ τούτου ἡ δόξα·
μήτε ὅτι ποτὲ τοῦ εἶναι ἤρξατο· ἡ γὰρ τοῦ ὢν μαρτυρία
τὸ διηνεκὲς τοῦ υἱοῦ καὶ ἀΐδιον καὶ τὸ πάσης χρονικῆς
638 σημασίας ὑπερκείμενον ἑρμηνεύει. ὥστε τίνα καιρὸν ἔχει
τὴν μικροπρεπῆ ταύτην ἐρώτησιν ἐπὶ λύμῃ τῆς εὐσεβείας
παρὰ τῶν ἐναντίων προφέρεσθαι, ἣν ὡς ἄμαχον ἡμῖν εἰς

6 Joh 10, 38 9 εἰκὼν] II Cor 4, 4 Col 1, 15 19 Hebr 1, 3

VLACTS 5-6 οὐκ ὢν ἐν τῶ πατρὶ ἐγεννήθη S, om ὁ ante ἐν et ὢν post πατρὶ 6 ὁ ante ὢν add V 8 ἔννοιαν A v 11 αὐτοῦ TS 19 ὤν: ὢν L 20 ἑκατέρᾳ LA v 20-21 διαπέμψασθαι V ἀποπέμπεσθαι v 23 οὐ ante τὸ om T ἀπὸ: ἐκ S 26 ὥστέ τινα S 28 περιφέρεσθαι V ἄμαχος V

κατασκευὴν τοῦ οἰκείου προβάλλονται <δόγματος> διερω-
639 τῶντες εἰ ὁ ὢν γεννᾶται; πρὸς οὓς ἔστιν εὐθαρσῶς ἀπο-
κρίνασθαι, ὅτι ὁ ἐν τῷ ἀγεννήτῳ ὢν ἐξ αὐτοῦ ἐγεννήθη,
τὴν μὲν αἰτίαν τοῦ εἶναι ἐκεῖθεν ἔχων (Ἐγὼ γάρ, φησί, ζῶ
διὰ τὸν πατέρα) τὴν δ' ἀρχὴν οὐκ ἔστιν εἰπεῖν ὅτε. μὴ
γὰρ ὄντος τοῦ μεσιτεύοντος προστάγματος ἢ διανοήματος ἢ
χρονικοῦ διαστήματος, ᾧ διακρίνεται καὶ διαχωρίζεται τὸ
εἶναι τοῦ υἱοῦ ἀπὸ τοῦ πατρός, οὐδὲν ἐπινοεῖται σημεῖον
ἀφ' οὗ ὁ μονογενὴς τῆς τοῦ πατρὸς ζωῆς διαζευχθεὶς ἔκ
640 τινος ἰδιαζούσης ἀρχῆς ἀναφαίνεται. εἰ οὖν οὐδεμία ἐστὶν
ἄλλη ἀρχή, ἥτις τοῦ υἱοῦ τῆς ζωῆς ἡγεμονεύει, ἀλλὰ μόνον
τὸν πατέρα ὁ εὐσεβὴς λόγος τῆς ὑποστάσεως τοῦ υἱοῦ προ-
θεωρεῖ ἀδιαστάτως, ὁ πατὴρ δὲ ἄναρχος καὶ ἀγέννητος,
καθὼς καὶ ἡ τῶν ὑπεναντίων συνομολογεῖ μαρτυρία, πῶς
ἀρχὴν τοῦ εἶναι λαμβάνει ὁ τῷ ἀνάρχῳ ἐνθεωρούμενος;
641 τί δὲ βλάπτεται τῆς εὐσεβείας ὁ λόγος ἐκ τοῦ συντίθεσθαι
ταῖς τῶν ἐναντίων φωναῖς, ἃς ὡς ἀτόπους προτείνονται λέ-
γοντες εἰ ὁ ὢν ἐγεννήθη; οὐδὲ γὰρ τοῦτό φαμεν, ὅτι κατὰ
τὴν ῥυπαρὰν τοῦ Νικοδήμου πρὸς τὸν κύριον ἐπαπόρησιν,
καθ' ἣν ᾤετο μὴ εἶναι δυνατὸν ἐκεῖνος εἰς δευτέραν γέν-
νησιν τὸν ὄντα ἐλθεῖν, οὕτως ὁ ὢν τὴν γέννησιν δέχεται,
ἀλλ' ὅτι τοῦ ἀεὶ καὶ ἀνάρχως ὄντος ἐξημμένον ἑαυτοῦ τὸ
εἶναι ἔχων καὶ τῷ τὰ πρεσβύτερα πολυπραγμονοῦντι συναν-
ιὼν καὶ εἰς τὸ ὑπερκείμενον τῆς πολυπραγμοσύνης τοῦ νοῦ
προλαμβάνων καὶ πάσαις ταῖς περὶ τοῦ πατρὸς ἐννοίαις
συγκεκραμένος, οὔτε τοῦ εἶναι ἄρχεται οὔτε ἀγέννητός ἐστιν,
ἀλλὰ καὶ ἐγεννήθη καὶ ἦν, τῷ μὲν τῆς αἰτίας λόγῳ τὴν

4 Joh 6, 57   18 sq Joh 3, 2 sq

VLACTS 1 δόγματος suppl post προβάλλονται v, quod verisimile est 3 τῷ post ἀγεννήτῳ iterat L 5 δ' post τὴν om L 6 προστάγματος: πράγματος ACTS v ἢ διανοήματος om T 7 ᾧ: ὧ L 8 οὐδὲν: οὐδὲ ACTS v 14 ὁμολογεῖ V 15 συνθεωρούμενος S 20 μηδὲν εἶναι V 22 ἑαυτῷ S 23-24 συνιὼν V 25 προσλαμβάνων SA, sed σ erasum postea A 26 συγκεκραμμένος VT ἐγκεκραμένον L

449 M. ἐκ τοῦ πατρὸς γέννησιν ὁμολογῶν, τῷ δὲ ἀϊδίῳ τῆς ζωῆς
τὸ ποτὲ μὴ εἶναι οὐ προσιέμενος.
642 Ἀλλ' ἀντιβαίνει τοῖς εἰρημένοις ὁ τὰ περισσὰ σοφι-
ζόμενος καὶ διασχίζει τῆς τοῦ πατρὸς φύσεως τοῦ μονο-
γενοῦς τὴν οὐσίαν, διότι ὁ μὲν γεγέννηται, ὁ δὲ ἀγέννητός
ἐστι· καὶ τοσούτων ὄντων τῶν ὀνομάτων τῶν εὐσεβῶς περι-
θεωρουμένων τῇ θείᾳ φύσει, ἐν οἷς οὐδεμία παραλλαγὴ
τοῦ πατρὸς πρὸς τὸν υἱὸν καθορᾶται, πάντων δὲ κατὰ τὸ
ἴσον ἀμφοτέροις ἐφαρμοζόντων, οὐδενὸς τῶν ἄλλων ἐπιμνη-
σθεὶς δι' ὧν τὸ κοινὸν γνωρίζεται, μόνῳ τῷ ὀνόματι τῆς
ἀγεννησίας προσφύεται· καὶ οὐδὲ ταύτης τὴν συνήθη καὶ
νενομισμένην ἔμφασιν δέχεται, ἀλλὰ καινοτομεῖ τοῦ ἀγεν-
νήτου τὴν ἔννοιαν, τὰς κοινὰς περὶ τῆς φωνῆς ταύτης ὑπο-
643 λήψεις παραγραφόμενος. τί ποτ' οὖν ἐστι τούτων τὸ αἴτιον;
οὐδὲ γὰρ ἄνευ μεγάλης τινὸς αἰτίας τῆς μὲν συνήθους τῶν
ὀνομάτων ἐμφάσεως τὸν λόγον ἀφίστησι, ξενίζει δὲ τῇ
παραλλαγῇ τῆς τῶν φωνῶν σημασίας. οἶδεν ἀκριβῶς ὅτι
εἰ μὲν ἐπὶ τῆς συνηθείας φυλαχθείη τῶν ὀνομάτων ἡ
χρῆσις, οὐδεμίαν ἰσχὺν εὑρήσει πρὸς ἀνατροπὴν τοῦ ὑγιαί-
νοντος δόγματος, εἰ δὲ τῶν κοινῶν καὶ νενομισμένων δια-
νοημάτων παρακινηθείη τὰ ῥήματα, τῇ περὶ τὴν φωνὴν
κακοτροπίᾳ ῥᾳδίως δύνασθαι συγκακουργήσειν τὰ δόγματα.
644 οἷον (ἐπ' αὐτῶν γὰρ διέλθωμεν τῶν ἀδικουμένων ῥημάτων)
εἰ κατὰ τὴν κοινὴν τῶν δογμάτων ὑπόληψιν διὰ τὸ μὴ
γεγεννῆσθαι ἀγέννητον λέγεσθαι τὸν θεὸν κατεδέξατο, διέ-
πεσεν ἂν ὅλον αὐτοῖς τὸ μηχάνημα τῆς αἱρέσεως, ὑπο-
645 σπασθέντος τοῦ κατὰ τὴν ἀγεννησίαν σοφίσματος. εἰ γὰρ
ἐπείσθη διὰ τῆς ἀκολουθίας ταύτης καθ' ὁμοιότητα πάν-
των σχεδὸν τῶν εἰς ἐκκλησίαν θεοῦ συντελούντων ὥσπερ

VLACTS 7 θείᾳ om V 8 τοῦ πατρὸς ante πρὸς om ACT v errore e ligatura orto 10 ἀλλὰ ante μόνῳ add VL ex coniectura ut vid 12 οὐ ante δέχεται add V 15 οὐδὲ: οὐ VL 15-16 τῶν ὀνομάτων om V 18 συνήθους V 21 παρακινηθείη: παρακριθείη CT 22 συγκακουργῆσαι conicio 23 διέλθωμεν correxi: ἔλθωμεν ACST v παρέλθωμεν VL (παρ ex γὰρ antecedente ut vid) γὰρ om L ῥημάτων: δογμάτων V 25 γεγενῆσθαι LT 26 ὅλως V

ἀόρατον καὶ ἀπαθῆ καὶ ἀσώματον, οὕτω καὶ ἀγέννητον
νοεῖσθαι τὸν ἐπὶ πάντων θεόν, δι' ἑκάστου τῶν ὀνομάτων
τὸ μηδαμῶς προσὸν τῷ θεῷ σημαίνεσθαι συντιθέμενος, μὴ
σῶμα μὴ πάθος μὴ χρῶμα μὴ τὸ ἐξ αἰτίας ἔχειν τὸ εἶναι,
εἰ ταῦτα οὕτως ἔχειν ὑπέλαβεν, οὐδεμίαν ἔσχεν ἂν δύναμιν
ὁ τῆς ἀνομοιότητος λόγος αὐτῶν, ἐν τοῖς λοιποῖς πᾶσιν,
ὅσα περὶ τὸν τῶν ὅλων θεὸν θεωρεῖται, συγχωρούντων καὶ
τῶν ἐναντίων τῷ μονογενεῖ πρὸς τὸν πατέρα τὸ ὅμοιον.
646 Ἀλλ' ἵνα μὴ τοῦτο γένηται, πάντων τῶν περὶ τὸν θεὸν
ὀνομάτων, τῶν ἐνδεικτικῶν λέγω τῆς ὑπερκειμένης δυνά-
μεως, προτίθησι τὸ τῆς ἀγεννησίας ὄνομα καὶ τοῦτο πε-
ποίηται τῆς κατὰ τοῦ δόγματος ἡμῶν καταδρομῆς ὁρμη-
τήριον, τὴν τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον κατὰ τὴν προ-
φορὰν ἐναντίωσιν ἐπὶ τὰ πρόσωπα μεταφέρων, οἷς ἐφήρμοσται
τὰ ὀνόματα· καὶ διὰ τούτων τὴν ἑτερότητα τῶν οὐσιῶν τῷ
παρηλλαγμένῳ τῶν ὀνομάτων σοφίζεται, οὐκ ἐπειδὴ γεγέν-
νηται γεννητόν, οὐδ' ὅτι μὴ γεννηθείς ἐστιν ἀγέννητον λέ-
γεσθαι συντιθέμενος, ἀλλὰ τὸν μὲν ἐκ τῆς <ἀγεννησίας τὸν
δὲ ἐκ τῆς> γεννήσεως οὐσιῶσθαι λέγων, οὐκ οἶδα ποίας
647 αὐτὸν σοφίας ἐπὶ τὴν τοιαύτην σύνεσιν χειραγωγούσης. εἰ
γάρ τις αὐτὰς ἐφ' ἑαυτῶν καταμάθοι τῶν ὀνομάτων τὰς
ἐμφάσεις, ὑφελὼν τῷ λόγῳ τὰ πρόσωπα ἐφ' ὧν τετάχθαι
δοκεῖ τὰ ὀνόματα, εὑρήσει τὸ μάταιον τῆς διανοίας τῶν
648 παρ' αὐτοῦ λεγομένων. μὴ γὰρ ὅτι προεπινοεῖται τοῦ υἱοῦ
ὁ πατὴρ κατὰ τὸν ἀληθῆ λόγον τῆς πίστεως, διὰ τοῦτο
452 M. καὶ τὴν τῶν ὀνομάτων τάξιν ἀξιούτω τις τῇ τῶν ὑποκει-
μένων αὐτοῖς προσώπων ἀξίᾳ καὶ τάξει συνδιατίθεσθαι,
ἀλλὰ αὐτὰ σκοπείτω ἐφ' ἑαυτῶν τὰ ὀνόματα, ποῖον τοῦ
ἑτέρου τῷ λόγῳ τῆς ἐπινοίας προτέτακται (τὸ ὄνομα πάλιν

VLACTS 2 ἑκάστου S: ἑκάστων VLACT v 3 προσὸν πάθος, sed exp πάθος V 3-4 μὴ σῶμα om S 7 τῶν om S 11 προτίθησι: προστίθησι VL 15 τούτων: πάντων L 18 verba ἀγεννησίας τὸν δὲ ἐκ τῆς supplevi 19 λέγων correxi: λέγειν 20 σοφίας αὐτὸν V αὐτῶν T 21 ὑφ' ἑαυτῶν V 23 εὑρήσει τὸ μάταιον in rasura L 26 καὶ om CT 27 καὶ τῇ τάξει V 28 αὐτὰ: ταῦτα ACT v 29 προστέτακται V

φημί, οὐ τὸ πρᾶγμα τὸ διὰ τοῦ ὀνόματος σημαινόμενον),
ποῖον τῶν εἰρημένων θέσιν τινὸς νοήματος καὶ ποῖον τὴν
τοῦ τεθέντος ἀναίρεσιν ἐνδείκνυται· οἷον (σαφηνείας γὰρ
ἕνεκεν διὰ τῶν ὁμοίων οἶμαι χρῆναι παραστῆσαι τὸν λόγον)
παίδευσις καὶ ἀπαιδευσία ὀργὴ καὶ ἀοργησία πάθος καὶ
ἀπάθεια καὶ ὅσα τοῦ τοιούτου εἴδους ἐστί, ποῖα τούτων τὸ
προεπινοεῖσθαι τῶν ἄλλων ἔχει; ὅσα τὴν ἀναίρεσιν τοῦ τε-
θέντος ἢ ὅσα τὴν θέσιν τοῦ ὑποκειμένου παρίστησιν; ἐγὼ
649 μὲν τοῦτό φημι. πρότερον γὰρ νοεῖται ἡ παίδευσις καὶ ἡ
ὀργὴ καὶ τὸ πάθος, καὶ τότε ἡ τῶν νοηθέντων ἀναίρεσις.
οὕτω καὶ ἡ γέννησις καὶ ἡ ἀγεννησία. καὶ μηδεὶς διὰ τῆς
ἐθελοθρησκείας διαβαλλέτω τὸν λόγον ὡς προτιθέντα τὸν
650 υἱὸν τοῦ γεννήσαντος. οὐ γὰρ τὸν υἱὸν προτετάχθαι τοῦ
πατρὸς καὶ προεπινοεῖσθαι κατασκευάζομεν, εἰ περὶ τῆς
τοῦ γεννητοῦ καὶ ἀγεννήτου σημασίας διαλαμβάνει ὁ λόγος.
οὐκοῦν ἡ μὲν γέννησίς τινος πράγματος ἢ νοήματος θέσιν
ἀποσημαίνει, ἡ δὲ ἀγεννησία τὴν τοῦ τεθέντος, καθὼς
εἶπον, ἀναίρεσιν· ὥστε παντὶ τρόπῳ προεπινοεῖσθαι τοῦ τῆς
651 ἀγεννησίας ὀνόματος τὸ τῆς γεννήσεως ὄνομα. τί οὖν ἐν
τούτοις οἰκεῖον τῷ πατρὶ τὸ τῇ τάξει δεύτερον ἐν τοῖς ὀνό-
μασιν ἐφαρμόζειν βιάζονται, καὶ οἴονται τό τινος ἀφαιρετικὸν
νόημα δεικτικὸν καὶ περιληπτικὸν εἶναι τῆς τοῦ ὄντος
οὐσίας, καὶ πρὸς τοὺς ἐλέγχοντας τὴν σαθρότητα τῶν λό-
γων ἀγανακτοῦσι καὶ παροξύνονται;
652 Ἰδοὺ γὰρ πῶς μνησικακεῖ τῷ τὸ σαθρὸν αὐτοῦ καὶ
ἀσθενὲς τῆς κακουργίας φωράσαντι, καὶ ὡς ἀμύνεται αὐτὸν
δι' ὧν δύναται· δύναται δὲ διὰ λοιδορίας μόνης καὶ ὕβρεως,
καὶ σφόδρα γε αὐτῷ περιττεύει τὸ κτῆμα τῆς τοιαύτης
δυνάμεως. καθάπερ γὰρ ἐπὶ τῶν καλλιγραφούντων τὸν

VLACTS 1 τὸ post πρᾶγμα om VL 2 ποῖον alt: ποίαν V 3 θέντος V 5 ὀργὴ καὶ ἀοργησία om ACTS v 6 τοῦ om VT τούτων: τοῦτο VL 7 ἐπιπρονοεῖσθαι L 10 ἡ add A v: om VLCTS 12 βαλλέτω VL 14 κατασκευάζοιεν L κατασκευάζει V εἰ om VL 15 καὶ ἀγεννήτου om CT 17 τεχθέντος L 17-18 καθὼς εἶπον post 17 ἀγεννησία coll S 20-21 ἐν τοῖς ὀνόμασιν om CT 22 ὄντος: ὀνόματος AS v 25 πως AS τῷ om L τὸ om CT 26 φωράντι L αὐτῷ V

λόγον σύνδεσμοί τινες τοῦ ῥυθμοῦ τὸ ἐνδέον παραπληροῦσι, τὸ εὔηχόν τε καὶ ἐναρμόνιον δι' ἑαυτῶν ἐντιθέντες τῇ συντάξει τῆς λέξεως, οὕτω καὶ ἐν τοῖς πλείστοις ὧν λέγει [ἐν] ταῖς λοιδορίαις καταποικίλλει τὴν συγγραφήν, ὥσπερ καλλωπιζόμενος τῇ περιουσίᾳ τῆς τοῦ ὑβρίζειν δυνάμεως.
653 πάλιν γὰρ ἡμεῖς μάταιοι, πάλιν τῶν ὀρθῶν λογισμῶν ἁμαρτάνοντες καὶ οὐ μετὰ τῆς ἀρκούσης τῇ χρείᾳ παρασκευῆς τοῖς λόγοις ἐπιχειροῦντες καὶ τῆς τοῦ λέγοντος διανοίας ἀπολειπόμενοι. ταῦτα γὰρ πάντα καὶ ἔτι πλείω τούτων παρὰ τοῦ εὐσταθοῦντος στόματος ὁ διδάσκαλος ἡμῶν ὀνομάζεται. καὶ ἴσως οὐκ ἄλογος τῆς ὀργῆς ἡ αἰτία, ἀλλὰ δικαίως ὁ λογο-
654 γράφος παρώξυνται. τί γὰρ αὐτὸν ἔδει λυπεῖν ἐξελέγχοντα τὴν ἀρρωστίαν τοῦ λόγου, τί δὲ παραγυμνοῦν τε καὶ φανερὸν ποιεῖν τοῖς ἀκεραιοτέροις τὸ βλάσφημον τῇ πιθανότητι τῶν σοφισμάτων συγκαλυπτόμενον; διὰ τί δὲ οὐκ ἐπικαλύπτει τῇ σιωπῇ τὰ σαθρὰ τοῦ δόγματος, ἀλλὰ στηλιτεύει τὸν δείλαιον, δέον ἐλεεῖν καὶ ἐπικαλύπτειν διὰ ἡσυχίας τὴν ἀσχημοσύνην τοῦ λόγου; ὁ δὲ ἐλέγχει καὶ θεατρίζει τὸν ὁπωσοῦν παρὰ τοῖς ἰδίοις μαθηταῖς ἐπὶ σοφίᾳ καὶ ἀγχινοίᾳ
655 τιμώμενον. εἶπέ που τῶν ἑαυτοῦ λόγων ὁ Εὐνόμιος ἕπε-
453 M. σθαι τῷ θεῷ τὸ ἀγέννητον. ἐπέστη τῷ ῥήματι ὁ διδάσκαλος ἡμῶν, ὅτι τὸ ἑπόμενον τῶν ἔξωθεν ἐπιθεωρουμένων ἐστίν, ἡ δὲ οὐσία οὐ τῶν ἔξωθέν τινος, ἀλλ' αὐτοῦ τοῦ εἶναι καθὸ ἔστι τὴν σημασίαν ἐνδείκνυται. διὰ τοῦτο ἀγανακτεῖ ὁ ἐπιεικής τε καὶ ἄμαχος καὶ πολύς ἐστιν εὑροῶν τοῖς ὀνείδεσι, διότι ἀκούσας τοῦ ῥηθέντος καὶ τῆς διανοίας ἐπήσθετο. τί οὖν ἥμαρτεν, εἰ ἐπιστατικῶς τῇ

22 Eun apol cp 7 (p 841 C) 23 Bas c Eun I p 517 B

VLACTS 1 δέον V 2 αὐτῶν ACTS v συντιθέντες S 2-3 συνάξει v 3 οὗτος VL καὶ om VLCT v 4 ἐν delevi 10 ἔτι A v: εἴ τι VLCTS πλείων VL 12 ἄλογον T 13 καὶ ante ἐξελέγχοντα add L 14 τί δὲ V: τοῦ δὲ L τοῦδε ACTS v τε om V 15 εὐκεραιοτέροις v 18 διὰ τῆς ἡσυχίας S 21-22 re vera Eunomius scripsit ἀκολουθεῖ 24 τινὸς τῶν ἔξωθεν S

656 διανοίᾳ τῶν γεγραμμένων ἐπηκολούθησεν; εἰ μὲν γὰρ οὐ κατὰ λόγον τῶν εἰρημένων ἐλάβετο, καλῶς ἔχει σοι τὰ εἰρημένα, καὶ ἡμεῖς <οὐκ> ἀγανακτήσομεν· εἰ δὲ ἐρυθριᾷς πρὸς τὸν ἔλεγχον, τί οὐκ ἐξαλείφεις ἐκ τῶν γεγραμμένων, ἀλλὰ λοιδορεῖς τὸν προφέροντα; ναί, φησίν, ἀλλ' οὐ συνῆκε
657 τοῦ λόγου τὸ βούλημα. τί οὖν ἀδικοῦμεν, εἰ ἄνθρωποι ὄντες ἐκ τῶν εἰρημένων τῆς διανοίας ἐστοχασάμεθα, τῶν ἐν κρυπτῷ τῆς καρδίας οὐδεμίαν κατάληψιν ἔχοντες; θεῷ μὲν γὰρ ὑπάρχει καὶ τὰ ἀθέατα βλέπειν καὶ τῶν μηδενὶ τρόπῳ καταλαμβανομένων τοὺς χαρακτῆρας ἐπισκοπεῖν καὶ τὴν ἀνομοιότητα τῶν ἀοράτων ἐπιγινώσκειν. ἡμεῖς δὲ μόνον δι' ὧν ἀκούομεν κρίνομεν.
658 Εἴρηται τοίνυν παρέπεσθαι τῷ θεῷ τὸ ἀγέννητον. ἐκ τοῦ λόγου τούτου τῶν ἔξωθέν τι τῷ θεῷ παρακολουθούντων τὴν ἀγεννησίαν αὐτὸν λέγειν ὑπενοήσαμεν. πάλιν εἴρηται μᾶλλον δὲ αὐτό ἐστιν οὐσία τὸ ἀγέννητον. οὐκέτι τούτου συνεῖναι τὴν ἀκολουθίαν ἰσχύσαμεν, πολὺ τὸ ἀπεμφαινόμενον καὶ τὸ ἀλλόκοτον ἐν
659 τοῖς σημαινομένοις κατανοήσαντες. εἰ γὰρ παρέπεται τῷ θεῷ τὸ ἀγέννητον, τὸ δὲ ἀγέννητον οὐσία ἐστί, δύο τινῶν πάντως οὐσιῶν ἔννοιαν ἐν ταὐτῷ κατασκευάζει ὁ λόγος· ὡς εἶναι μὲν τὸν θεὸν κατὰ ταὐτὸν ** ὡς εἶναί ποτε καὶ εἶναι <εἰσαεὶ> πεπίστευται, ἔχειν δὲ παρεπομένην αὐτῷ οὐσίαν ἄλλην, ἣν ἀγεννησίαν προσαγορεύουσιν, ἕτερόν τι οὖσαν παρὰ τὸν οὗ ἐστιν ἐπακολούθημα, καθώς φησιν ὁ διδάσκαλος· καὶ εἰ οὕτω ταῦτα κελεύει νοεῖν,

9 Matth 6, 4 16 Eun apol cp 7 (p 841 C) 25 Bas c Eun I p 520 B

VLACTS 2 ἐλάβετο: ἐβούλετο V 3 οὐκ ἀγανακτήσομεν correxi: ἀγανακτήσομεν S ἀγνοήσωμεν VL ἀγνοήσομεν ACT v 7 τῆς διανοίας τῶν εἰρημένων A 8 θεῷ: τῷ VL 9 ὑπάρχειν CT 13 verba a τὸ ἀγέννητον usque ad 14 τῷ θεῷ om v 18 τὸ post καὶ om V 20 τινῶν om ACTS v 22 ὡς (alterum) VLACS v καὶ T corruptum, legendum videtur ὃ vel ὅπερ 23 εἰσαεὶ addidi πιστεύεται S 25 verba οὖσαν παρὰ τὸν om V verba ἐστιν sq usque ad 26 φησιν om V

συγγνώτω τοῖς ἰδιώταις ἡμῖν, μὴ δυναμένοις τῇ λεπτότητι
ταύτῃ τῶν θεωρημάτων ἐφίστασθαι.
660 Εἰ δὲ ἀποβάλλει τοῦτον τὸν λόγον καὶ οὔ φησι διπλῆν
οὐσίαν περὶ τὸν θεὸν λέγειν, τὴν μὲν ἐκ τῆς θεότητος,
τὴν δὲ ἐκ τῆς ἀγεννησίας γνωριζομένην, ἑαυτῷ συμβουλευ-
σάτω ὁ μήτε προπετὴς καὶ ἀπόνηρος μὴ πολὺ νέμειν ταῖς
λοιδορίαις ἐν τοῖς ὑπὲρ τῆς ἀληθείας ἀγῶσιν, ἀλλὰ διασα-
φεῖν τοῖς ἀπαιδεύτοις ἡμῖν, πῶς τὸ ἐπακολουθοῦν καὶ τὸ
προηγούμενον οὐκ ἄλλο τι καὶ ἄλλο ἐστίν, ἀλλ' ἓν ἀμφό-
τερα γίνεται· καὶ γὰρ ἐν οἷς ὑπερμάχεται νῦν τοῦ λόγου,
μένει παραπλησίως τὸ ἄτοπον, καὶ οὐδέν, καθὼς αὐτός
φησιν, ἡ τῶν εὐαριθμήτων ἐκείνων ῥημάτων
661 προσθήκη διορθοῦται τὸ τῶν εἰρημένων ἀσύμφωνον. τίνα
γὰρ ἐν τούτοις ἔστιν εὑρεῖν διδασκαλίαν, οὔπω κατιδεῖν
ἠδυνήθην. εἰρήσεται δὲ αὐτὰ τὰ γεγραμμένα παρ' αὐτοῦ
ἐπὶ λέξεως. εἴπομεν, φησί· μᾶλλον δὲ αὐτό ἐστιν
ἀγέννητον, οὐκ εἰς τὸ εἶναι συναιροῦντες τὸ
δειχθὲν ἀκολουθεῖν, ἀλλὰ τὸ μὲν Ἀκολουθεῖ
τῇ προσηγορίᾳ, τὸ δὲ Ἐστὶ τῇ οὐσίᾳ συναρμό-
ζοντες. ὧν συντεθέντων γένοιτο ἂν πᾶς ὁ λόγος
τοιοῦτος, ὅτι ἀκολουθεῖ τὸ ἀγέννητον ὄνομα,
ἐπείπερ αὐτό ἐστιν ἀγέννητος. τίνα τοίνυν ἑρμηνέα
τῶν εἰρημένων παραστησόμεθα; οὐκ εἰς τὸ εἶναι, φησί,
662 συναιροῦντες τὸ δειχθὲν ἀκολουθεῖν. ἀλλὰ τὸ
μὲν „συναιροῦντες" ἴσως ἄν τινες τῶν αἰνιγματιστῶν
456 M. εἴποιεν ἀντὶ τοῦ „συνάπτοντες" αὐτῷ νενοῆσθαι, τῶν δὲ
λοιπῶν πῶς ἄν τις ἐπιγνοίη τὸ συνετὸν καὶ ἀκόλουθον; τὸ

VLACTS 2 ἐπίστασθαι VL 5-6 ἐμβουλευσάτω prius A, sed eraso spiritu σ add et υ sscr 11 αὐτόν L 12-13 ῥημάτων προσθήκη VLS: ῥημ. ἐκείνων προσθ. CT ἐκ. προσθ. ῥημ. A ἐκ. ῥημ. προσθ. v 14 εὑρεῖν ἐν τούτοις ἐστὶ V ἔστιν om T 15 ἠδυνήθην: ἀθάνατον V 17 συναιροῦντα V 20 ὁ λόγος: ὅλος V 21 τὸ τοιοῦτον ἀγέννητον V 22 ἑρμηνέα post 23 εἰρημένων traiecit V 23 παραστησώμεθα L φησί om V 24 συναναιροῦντες pr V αν postea eras 25 συναιροῦντες om V, deinde iterat verba ab 18 ἀκολουθεῖ usque ad 22 ἀγέννητος 26 ante ἀντὶ exhibet ἂν τὸ συναιροῦντες V αὐτῷ VAS v: αὐτὸ LCT

φανέν, φησίν, ἐκ τῆς ἀκολουθίας οὐ πρὸς τὴν οὐσίαν, ἀλλὰ
πρὸς τὴν προσηγορίαν οἰκείως ἔχει. ἡ δὲ προσηγορία, ὦ
σοφώτατε, τί; πότερον ἀπᾴδει τῆς οὐσίας ἢ σύνδρομός ἐστι
663 κατὰ τὴν ἔννοιαν; εἰ μὲν γὰρ ἀνοικείως ἔχει πρὸς τὴν
οὐσίαν τὸ ὄνομα, πῶς ὑπὸ τῆς τοῦ ἀγεννήτου προσηγορίας
ἡ οὐσία χαρακτηρίζεται; εἰ δὲ προσφυῶς, καθὼς αὐτὸς
ὀνομάζεις, ὑπὸ τῆς ἀγεννησίας ἡ οὐσία περιλαμβάνεται,
πῶς ἐνταῦθα καταμερίζεται; καὶ τὸ μὲν ὄνομα τῆς οὐσίας
ἑτέρῳ ἀκολουθεῖ, αὐτὴ δὲ πάλιν ἡ οὐσία ἑτέρῳ. τίς δὲ ἡ
σύνθεσις τοῦ παντὸς λόγου; ἀκολουθεῖ, φησί, τῷ θεῷ
τὸ ἀγέννητον ὄνομα, ἐπείπερ αὐτό ἐστιν ἀγέν-
664 νητος. ἄλλο τι ὄντι τῷ θεῷ παρὰ τὸ ἀγέννητον ἀκολου-
θεῖν τοῦτο λέγει τὸ ὄνομα; καὶ πῶς τὴν θεότητα ἐν τῇ
ἀγεννησίᾳ ὁρίζεται; ἀλλ' ἀγεννήτῳ ὄντι τῷ θεῷ ἕπεσθαι
πάλιν φησὶ τὸ ἀγέννητον. καὶ τίς ἡμῖν τῶν αἰνιγμάτων
τούτων διαλύσει τὸν γρῖφον, ἀγέννητον προηγούμενον καὶ
ἀγέννητον ἐφεπόμενον καὶ προσηγορίαν οὐσίας νῦν μὲν
προσφυῶς ἐφηρμοσμένην, πάλιν δὲ ὡς ἀλλοτρίαν παρεπο-
665 μένην; τίς δὲ αὐτῷ καὶ ἡ τοσαύτη περὶ τὸ τῆς ἀγεννησίας
ὄνομα πτόησις, ὥστε ἐκείνῳ πᾶσαν ἀνατιθέναι τὴν τῆς
θεότητος φύσιν, καὶ εἰ μὲν οὕτως ὀνομασθείη, μηδὲν τῆς
εὐσεβείας ἐνδεῖν, εἰ δὲ μή, τὸν πάντα τῆς πίστεως κινδυ-
νεύεσθαι λόγον; καὶ εἰ μὴ περιττόν τις καὶ παρέλκον οἰήσε-
ται τὸ περὶ τούτων βραχέα διαλαβεῖν, οὑτωσὶ τὸν λόγον
διαληψόμεθα.
666 Τὸ ἀΐδιον τῆς θείας ζωῆς, ὡς ἄν τις ὅρῳ τινὶ περι-
λαβὼν ὑπογράψειε, τοιοῦτόν ἐστιν. ἀεὶ μὲν ἐν τῷ εἶναι
καταλαμβάνεται, τοῦ δὲ ποτὲ μὴ εἶναι καὶ ποτὲ μὴ ἔσεσθαι
667 τὸν λόγον οὐκ ἐπιδέχεται. ἀλλ' ὥσπερ ἐπὶ τοῦ κυκλοτεροῦς
σχήματος οἱ τὰ ἐπίπεδα γεωμετροῦντες ἐξίσης ἀπὸ τοῦ

VLACTS 3 ἀπᾴδει: ἀποδεῖ V 4 κατὰ: κάτω L 7 παραλαμβάνεται S 9 αὕτη VL 11 ἀγέννητος ὄν. S αὐτὸς v αὐτῶ L 12 ὄντι: ὢν V 14 ἀλλ' ἀγεννήτῳ VLS: ἀλλὰ γεννητῷ CT ἀλλ' ἀγεννήτως A v 15 τῷ θεῷ ante τὸ ἀγέννητον add V 16 τὸν: τὸ TS 20 πτόησις: ποίησις V ἐν ante ἐκείνῳ add V ἐκεῖνο L 25 διαληψώμεθα V 28 ἔσθαι L

κέντρου πρὸς τὸ διάστημα τῆς γραμμῆς πρὸς ἑαυτὴν ἑλιχθείσης ἀόριστον εἶναι τὴν ἀρχὴν τοῦ σχήματος λέγουσι, μήτε εἰς τέλος ὁμολογούμενον μήτε εἰς ἀρχὴν φανερὰν τῆς γραμμῆς διασπωμένης, ἀλλ' ἐκ τῶν ἴσων διαστημάτων πανταχόθεν ἐκ τοῦ κέντρου πρὸς ἑαυτὴν ἡνωμένης ἐκφυγεῖν τὸ ἀρχήν τινα καὶ τελευτὴν ἐπιδέξασθαι, οὕτω καὶ μηδεὶς συκοφαντείτω τὸν λόγον ὡς περιγεγραμμένῳ σχήματι τὴν
668 ἀόριστον φύσιν προσεικαζόντων. οὐ γὰρ πρὸς τὴν περιγραφὴν τοῦ κύκλου βλέποντες, ἀλλὰ πρὸς τὸ ὅμοιον τοῦ πανταχόθεν ἀλήπτου τῆς ζωῆς ἀφορῶντές φαμεν τοῦ ἀϊδίου τὴν ἔννοιαν τοιαύτην εἶναι. ἀπὸ γὰρ τοῦ νῦν ἐνεστῶτος
457 M. ὥσπερ ἀπὸ κέντρου καὶ σημείου τινὸς πανταχόθεν τὴν διάνοιαν πρὸς τὸ ἄπειρον τῆς ζωῆς ἐπεκτείνοντές τε καὶ περιάγοντες ἴσως καὶ ὁμοίως ὑπὸ τῆς ἀκαταληψίας ἐν κύκλῳ περιελκόμεθα, συνεχῆ καὶ ἀδιάστατον αὐτὴν πρὸς ἑαυτὴν τὴν θείαν ζωὴν ἁπανταχόθεν καταλαμβάνοντες καὶ οὐδὲν
669 πέρας κατ' οὐδὲν μέρος ἐπιγνῶναι δυνάμενοι. τοῦτο λέγομεν περὶ τῆς ἀϊδιότητος τοῦ θεοῦ, ὃ παρὰ τῆς προφητείας ἠκούσαμεν, ὅτι θεὸς καὶ βασιλεὺς προαιώνιος καὶ βασιλεύει τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι, καὶ διὰ τοῦτο ἀνώτερον μὲν πάσης ἀρχῆς, περισσότερον δὲ παντὸς τέλους εἶναι διοριζόμεθα. ταύτην οὖν τὴν ἔννοιαν ὡς πρέπουσαν τῷ θεῷ τῶν ὅλων περὶ αὐτὸν ἔχοντες δύο προσηγορίαις τὸ νοηθὲν ἐξαγγέλλομεν, τῷ ἀγεννήτῳ καὶ τῷ ἀτελευτήτῳ τὸ ἄπειρον καὶ
670 διηνεκὲς καὶ ἀΐδιον τῆς ζωῆς τοῦ θεοῦ παριστῶντες. εἰ γὰρ τὸ ἕτερον τούτων μόνον εἰς τὴν διάνοιαν ταύτην παραληφθείη, σιωπηθείη δὲ τὸ λειπόμενον, χωλεύσει πάντως τὸ

19 Ps 73, 12 20 Ps 28, 10 vel 145, 10

VLACTS 1 ἑαυτὴν: αὑτὴν VL 1-2 ἑλιχθείσης: ἐνεχθείσης S 3 φανερὰν post 4 διασπωμένης traiecit S 6 ἐπιδείξασθαι AS v post οὕτω καὶ haec add V: περὶ τούτου εἰπεῖν εἰ καὶ θεοπρεπῶς quae verba a margine invaserunt 11 ταύτην AS v ἑστῶτος CTS 15 ἀδιάσπαστον ACTS v 17 κατ' οὐδὲν: καὶ οὐδὲν v 21 εἶναι om VL 22 τῷ ante θεῷ unus V om LACTS v 23 περὶ ἑαυτὸν L περὶ αὐτοῦ V 24 τῷ ante ἀτελευτήτῳ om T τὸ post ἀτελευτήτῳ om L 26 ἕτερον: ὕστερον T 26-27 παραλειφθείη V 27 λειπόμενον: λεγόμενον V χωλεύει S

σημαινόμενον ἐν τῷ λείποντι. οὐ γάρ ἐστι δυνατὸν <δι'> ἑνός τινος τούτων τὴν ἐν ἑκατέρῳ σημασίαν ὑγιῶς παραστῆσαι. ὁ γὰρ ἀτελεύτητον εἰπὼν τὴν πρὸς τὸ τέλος μόνον ἀλλοτρίωσιν ἔδειξεν, οὐ μήν τι καὶ περὶ τῆς ἀρχῆς διελέχθη· καὶ ὁ τὸν ἄναρχον ὀνομάσας τὸ μὲν ὑπὲρ ἀρχὴν εἶναι τὸ σημαινόμενον ἔδειξε, τὸν δὲ περὶ τοῦ τέλους λόγον ἀφῆκεν ἀμφίβολον.

671 Τούτων οὖν, ὡς ἔφην, τῶν ὀνομάτων ἐπίσης τὸ ἀΐδιον τῆς θείας ζωῆς παριστώντων, καιρὸς ἂν εἴη κατεξετάσαι, πῶς οὗτοι διατεμόντες τοῦ ἀϊδίου τὸ σημαινόμενον τὸ μὲν τῆς ἀρχῆς ἀναιρετικὸν νόημα οὐσίαν εἶναί φασιν, [οὐ περὶ τὸ ἀΐδιον θεωρεῖσθαι] τὸ δὲ τοῦ τέλους ἀνεπίδεκτον ἐν τοῖς ἔξω τῆς οὐσίας λογίζονται, οὐκ οἶδα τίνι διανοίᾳ τὸ τοιοῦτον ἀποκληροῦντες, ὥστε τὸ μὲν ἀρχὴν μὴ ἔχειν ἐν οὐσίᾳ τίθεσθαι, τὸ δὲ τέλος μὴ ἔχειν ὡς ἐκτὸς τῆς οὐσίας ἀπο-
672 ποιεῖσθαι. ἐχρῆν γάρ, ἐπειδὴ τὰ δύο περὶ τὸ αὐτὸ θεωρεῖται, ἢ ἀμφότερα εἰς τὸν τῆς οὐσίας παραδέχεσθαι λόγον ἤ, εἰ τὸ ἓν ἀπόβλητον ἔκριναν, συναποβάλλειν τούτῳ καὶ τὸ λειπόμενον. εἰ δὲ πάντως ἀρέσκει διελόντας τοῦ ἀϊδίου τὴν ἔννοιαν τὸ μέν τι εἰς οὐσίαν τῆς θείας φύσεως κατατάττειν, τὸ δὲ ἐν τοῖς μὴ οὖσι λογίζεσθαι (ἐπειδὴ ταπεινοῖς λογισμοῖς τὰ τοιαῦτα κρίνειν ἐθέλουσι, πρὸς τὸ ὕψος τῶν περὶ θεοῦ νοημάτων ὥσπερ τὰ πτερορρυήσαντα τῶν ὀρνέων οὐκ ἀνιπτάμενοι), συμβουλεύσαιμι ἂν αὐτοῖς ἔγωγε μεταλαβεῖν πρὸς τὸ ἐναντίον τὰ δόγματα, ὡς τὸ μὲν ἀτελεύτητον ἐν οὐσίᾳ λογίζεσθαι, περιορᾶν δὲ μᾶλλον τοῦ ἀτελευ-

VLACTS 1 οὐ: οὔτε ACTS v δι' addidi 2 ἐν om C ἑκατέροις L παραστῆναι T 3 ἐγὼ γὰρ L 4 διειλέχθαι V 5 ὁ τὸν: ὁ τὸ V 10 διατέμνοντες v 11 φησίν T οὐ περὶ ACT v: τοῦ περὶ VLS „non accidens circa substantiam aeterni esse" sed verba antitheton pessumdant, delevit omnino Wilamowitz cf 23, 25 14 et 15 ἔχον V post 15 ἔχον verba 14 ἐν οὐσίᾳ τίθεσθαι errore iterat V sed expunxit 16 τὸ ante αὐτὸ om AS v 17 παραδέξασθαι AS v 18 ἤ ante εἰ om v 20-21 κατατάσσειν VL 21 συλλογίζεσθαι v ἐπειδὴ ταπεινοῖς — 23 νοημάτων iteravit sed exp V 22 τὰ om VL 24 συμβουλεῦσαι L (etiam in V μι spatio a συμβουλεύσαι dirimitur) 26 μᾶλλον post 26-p 220, 1 ἀτελευτήτου traiecit V

τήτου τὸ ἄναρχον, τῷ μέλλοντι καὶ τῷ κατ' ἐλπίδας πλέον
ἢ τῷ παρῳχηκότι καὶ ἑώλῳ τὰ πρωτεῖα προσνέμοντας.
673 ἐπειδὴ γάρ (λέγω δὲ ταῦτα διὰ τοὺς μικροὺς τὰ ψυχάρια
ἑκουσίως τῇ τῶν νηπίων ὑπολήψει συγκατάγων τὸν λόγον)
ἐπειδὴ τοίνυν τὸ παρελθὸν τῆς ζωῆς ἀντ' οὐδενός ἐστι τῷ
ζήσαντι, πᾶσα δὲ ἡ σπουδὴ τοῖς ζῶσι πρὸς τὸ μέλλον καὶ
προσδοκώμενον γίνεται, τιμιώτερον ἂν εἴη τοῦ ἀνάρχου τὸ
ἀτελεύτητον, ὅτι πρὸς τὸ μέλλον καὶ προσδοκώμενον τὸ
674 ἀθάνατον φέρεται. ὥστε ἢ θεοπρεπῆ καὶ ὑψηλὰ <τὰ>
περὶ τῆς θείας φύσεως ἔστω νοήματα, ἢ εἴπερ ἀνθρωπίνοις
λογισμοῖς κρίνουσι τὰ τοιαῦτα, τὸ μέλλον ἔστω τοῦ παρῳ-
460 M. χηκότος αὐτοῖς τιμιώτερον, καὶ τούτῳ τοῦ θεοῦ τὴν οὐσίαν
περιγραφέτωσαν, ἐπειδὴ πᾶν τὸ παρελθὸν ἤδη τοῦ χρόνου
τῇ παρόδῳ συναφανίζεται, τὸ δὲ προσδοκώμενον διὰ τῆς
ἐλπίδος τὴν ὑπόστασιν ἔχει.
675 Ἀλλὰ ταῦτα μὲν ὡς παιδίοις τοῖς ἐν τῇ ἀγορᾷ καθ-
ημένοις καὶ παίζουσι γελοῖα καὶ παιδαριώδη προφέρω·
οὐδὲ γὰρ ἔστι τὸ χαμαιρριφές τε καὶ γήϊνον τῶν τῆς αἱρέ-
σεως δογμάτων ἐπισκεπτόμενον μὴ οὐχὶ πάντως εἰς μειρα-
676 κιώδη τινὰ παιδιὰν ὑποφέρεσθαι. ἐκεῖνο δὲ προσθεῖναι τῷ
λόγῳ καλῶς ἔχειν φημί, ὅτι τῆς τοῦ ἀϊδίου σημασίας δι'
ἀμφοτέρων κατὰ τὸν ῥηθέντα λόγον συμπληρουμένης, ἔκ τε
τῆς <τῆς> ἀρχῆς καὶ ἐκ τῆς τοῦ τέλους ἀλλοτριώσεως, εἰ μὲν
ἐν τῷ ἑνὶ τὴν οὐσίαν τοῦ θεοῦ περιγράφοιεν, ἡμιτελὴς
αὐτοῖς καὶ ἡμίτομος ὁ τῆς οὐσίας λόγος ἀναφανήσεται, ἐν
μόνῳ τῷ ἀνάρχῳ νοούμενος, τὸ δὲ ἀτελεύτητον ἐν ἑαυτῷ
677 κατ' οὐσίαν μὴ κεκτημένος. εἰ δὲ ἀμφότερα συνθέντες τὸν
τῆς οὐσίας λόγον δι' ἑκατέρων συναπαρτίσουσι, πάλιν σκο-
πήσωμεν τὴν συναναδεικνυμένην ἀτοπίαν τῷ λόγῳ· εὑρε-
θήσεται γὰρ αὐτοῖς οὐκέτι πρὸς τὸν μονογενῆ μόνον, ἀλλὰ

VLACTS 2 προσνέμοντες V 3 δὲ om VL 8 γίνεσθαι post προσδοκώμενον add V γίνεται L (quod ex 7 irrepsit et falso in infin correxit V) 9 τὰ addidi 10 ἔσται V 12 τοῦτο L τὴν οὐσίαν τοῦ θεοῦ VT 17 προφέρων L προσφέρων V 21 τοῦ om V 23 τῆς addidi τῆς ἐκ τοῦ V ἐκ om CTS 26 αὐτῷ VL 28 συναπαρτήσουσι T corr V 30 πρὸς τὸν: τὸ πρὸς V τὸν πρὸς L

καὶ πρὸς ἑαυτὸν ἀλλοτρίως ἔχων. σαφὴς δὲ ὁ λόγος καὶ
οὐδὲ πολλῆς τῆς ἐπιστασίας δεόμενος. ὁ γὰρ τῆς ἀρχῆς
καὶ ὁ τοῦ τέλους λόγος ἐναντίως ἑκάτερος πρὸς τὸν ἕτερον
ἔχει, καὶ διάφορον ἐπ' ἀμφοτέρων τὸ σημαινόμενον, ὥσπερ
καὶ ἐπὶ τῶν λοιπῶν τῶν κατὰ διάμετρον ἀλλήλοις ἀντικει-
678 μένων, οἷς οὐδὲν ὕπεστι μέσον. ὁ γὰρ ἐρωτηθεὶς τὸν περὶ
τῆς ἀρχῆς λόγον οὐ τὸν αὐτὸν ἀποδώσει τῷ περὶ τοῦ τέ-
λους ὅρῳ, ἀλλ' ἐπὶ τὸ ἐναντίον ἐκείνῳ προάξει τὸν ὡρι-
σμένον τῆς ἀρχῆς λόγον. οὐκοῦν καὶ τὰ ἑκατέρῳ τούτων
ἀντικείμενα κατὰ τὸ ἴσον μέτρον τῆς ἀντιθέσεως καὶ ἀπ'
ἀλλήλων διενεχθήσεται, καὶ ἄλλο τι ὁμολογηθήσεται εἶναι
τὸ ἄναρχον, ὅπερ ἀντίκειται τῷ ὑπὸ τῆς ἀρχῆς δηλουμένῳ,
ἄλλο δέ τι τὸ ἀτελεύτητον, ὅπερ ἀναιρετικὸν τοῦ τέλους
679 ἐστίν. εἰ οὖν ταῦτα τὰ δύο εἰς τὴν οὐσίαν τοῦ θεοῦ φέ-
ροντες ἀναθήσουσι, τό τε ἀτελεύτητόν φημι καὶ τὸ ἄναρχον,
δύο τινῶν ἐναντίων καὶ ἀσυμφώνων συνδρομὴν τὸν θεὸν ἑαυτῶν
ἀποδείξουσι. τὴν γὰρ τοῦ τέλους πρὸς τὴν ἀρχὴν ἐναν-
τίωσιν ἡ ἑκατέρῳ τούτων ἀντικειμένη διάνοια καὶ ἐφ' ἑαυ-
τῆς ἐπιδείκνυται. τὰ γὰρ τοῖς ἀντικειμένοις ἐναντία καὶ
680 ἀλλήλοις ἐναντία πάντως ἐστίν. ἀληθὴς δὲ ὁ λόγος ὅτι
πάντα, ὅσα τοῖς ἐναντίως ἔχουσι κατὰ τὴν φύσιν ἀντι-
καθίσταται, ταῦτα καὶ πρὸς ἄλληλα τὸ ἐναντίον ἔχει, ὡς
ἐπὶ τῶν ὑποδειγμάτων ἔστιν ἰδεῖν. τῷ πυρὶ τὸ ὕδωρ ἀνθ-
έστηκεν· οὐκοῦν καὶ αἱ ἀναιρετικαὶ τούτων δυνάμεις ἀλ-
λήλαις ἐναντιώσονται. εἰ γὰρ σβεστικὴ τοῦ πυρός ἐστιν ἡ
ὑγρότης, ἀναιρετικὴ δὲ τοῦ ὕδατός ἐστιν ἡ ξηρότης, τὴν
τοῦ ὕδατος πρὸς τὸ πῦρ ἐναντίωσιν καὶ αἱ ἀντικείμεναι
τούτοις ποιότητες καὶ ἐφ' ἑαυτῶν διεσώσαντο, ὡς ἐναντίως
681 ἔχειν ὁμολογεῖσθαι τῷ ξηρῷ τὴν ὑγρότητα. οὕτως οὖν καὶ
τῆς ἀρχῆς καὶ τοῦ τέλους ὑπεναντίως διακειμένων, τὰ

VLACTS 1 ἔχειν V 10 μέτρον: μετὰ L 12 ὅπερ ἀντίκειται —13 ἀτελεύτητον om T 15 τε om ACT v post ἀτελεύτητον coll S 18 ἐπικειμένη V 18-19 ἑαυτοῖς T 21-22 ἀντικαθίστασθαι VL 23 τῷ: τὸ L 25 εἰ γὰρ: εἰ μὲν γὰρ V ἡ δὲ S 26 τοῦ ὕδατος: τούτων V 29 post οὖν in marg add 30 τῆς ἀρχῆς S, om καὶ 30 τῶν ante ὑπεναντίως add L

ἀντικείμενα τούτοις ὀνόματα καὶ ἀλλήλοις μάχεται κατὰ τὴν ἔννοιαν, τὸ ἄναρχον λέγω καὶ τὸ ἀτελεύτητον. εἰ
461 M. τοίνυν τὸ ἕτερον τούτων μόνον τῆς οὐσίας ἐνδεικτικὸν εἶναι ὁρίζονται (πάλιν γὰρ τὸν αὐτὸν ἐπαναλήψομαι λόγον), ἐξ ἡμισείας προσμαρτυρήσουσιν οὕτω τῷ θεῷ τὸ εἶναι, ἐν μόνῳ τῷ ἀνάρχῳ περιγράφεσθαι λέγοντες αὐτοῦ τὴν οὐσίαν,
682 πρὸς δὲ τὸ ἀτελεύτητον οὐκέτι ἐκτείνοντες· εἰ δὲ ἀμφότερα εἰς τὸν τῆς οὐσίας λόγον φέροντες καταθήσουσιν, οὐδὲν ἕτερον ἢ ἐξ ἐναντίων αὐτὴν συγκεῖσθαι ἀποφανοῦνται κατὰ τὸν ῥηθέντα τρόπον, τῇ κατὰ τὸ τέλος πρὸς τὴν ἀρχὴν ἐναντιώσει τῷ ἀτελευτήτῳ καὶ ἀνάρχῳ κατ' οὐσίαν διασχιζομένην. καὶ οὕτως εὑρίσκεται αὐτῶν ὁ θεὸς ποικίλον τι χρῆμα καὶ σύνθετον, ἐξ ἀντικειμένων τινῶν συγκεκροτημένος.

683 Ἀλλ' οὔτε ἔστιν οὔτε μὴ γένηται δόγμα τοιοῦτον ἐν ἐκκλησίᾳ θεοῦ, ὥστε τὸν ἁπλοῦν καὶ ἀσύνθετον μὴ μόνον πολυειδῆ καὶ ποικίλον, ἀλλὰ καὶ ἐξ ἐναντίων συγκείμενον ἀποφαίνεσθαι. ἡ γὰρ ἁπλότης τῶν τῆς ἀληθείας δογμάτων τὸν θεὸν ὅπερ ἐστὶν ὑποτίθεται, οὔτε ὀνόματι οὔτε διανοήματι οὔτε τινὶ ἄλλῃ καταληπτικῇ ἐπινοίᾳ περιληφθῆναι δυνάμενον, οὐ μόνον ἀνθρωπίνης, ἀλλὰ καὶ ἀγγελικῆς καὶ πάσης ὑπερκοσμίου καταλήψεως ὑψηλότερον μένοντα, ἄφραστόν τε καὶ ἀνεκφώνητον καὶ πάσης τῆς διὰ λόγων σημασίας ἀνώτερον, ἓν ὄνομα γνωριστικὸν τῆς ἰδίας ἔχοντα φύσεως, τὸ μόνον αὐτὸν ὑπὲρ πᾶν εἶναι ὄνομα· ὃ δὴ καὶ τῷ μονογενεῖ κεχάρισται, διὰ τὸ πάντα ὅσα ἔχει ὁ πατὴρ καὶ
684 τοῦ υἱοῦ εἶναι. τῆς δὲ ἀϊδιότητος αὐτοῦ, οὐχὶ τῆς οὐσίας ἐνδεικτικὰς εἶναι τὰς φωνὰς ταύτας ὁμολογεῖ τῆς εὐσεβείας

25 Phil 2, 13 26 Joh 16, 15

VLACTS 1 μάχεται ex corr L 5 προσμαρτυρήσωσιν VL (-ουσιν L²) τὸ εἶναι τῷ θεῷ V 6 περιγράφεσθαι τῷ ἀνάρχῳ V αὐτῷ S 8 καθήσουσιν V 11 κατ' οὐσίαν ἀνάρχῳ V 19 θεὸν om CT 24 γνωστικὸν v post γνωριστικὸν verba a 22-23 ἄφραστον usque ad 24 ἀνώτερον iterat V 25 πᾶν: παντὸς prius L -τος exp 28 ἐνδεικτικῶς V

ὁ λόγος, τήν τε ἀγέννητόν φημι καὶ τὴν ἀτελεύτητον, ὡς τοῦ μὲν ἀγεννήτου τὸ μηδεμίαν αὐτοῦ ὑπερκεῖσθαι ἀρχὴν καὶ αἰτίαν ἐνδεικνυμένου, τοῦ δὲ ἀτελευτήτου τὸ εἰς μηδὲν πέρας στήσεσθαι αὐτοῦ τὴν βασιλείαν σημαίνοντος. Σὺ γάρ, φησίν, ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι, διὰ μὲν τοῦ εἶναι τὸ μὴ ἐξ αἰτίας τινὸς ὑποστῆναι σημαίνων, διὰ δὲ τοῦ ἐφεξῆς τὴν ἄπαυστόν τε καὶ ἀτελεύτητον μακαριότητα τῆς ζωῆς ἐνδεικνύμενος.

685 Ἀλλ' ἴσως ἐρεῖ τις καὶ τῶν εὐλαβεστέρων ἐπιστὰς τοῖς περὶ τοῦ ἀϊδίου ἡμῖν ἐξητασμένοις, ὅτι χαλεπόν ἐστι τὸν περὶ τοῦ μονογενοῦς λόγον διὰ τῶν εἰρημένων παρελθεῖν ἀπροσκόπως. δύο γὰρ ἀπεμφαινόντων δογμάτων, ἑνὶ ὁ λόγος συνενεχθήσεται. ἢ γὰρ ἀγέννητον εἶναι καὶ τὸν υἱὸν κατασκευάσομεν, ὅπερ ἄτοπον, ἢ οὐδὲ τὸ ἀΐδιον αὐτῷ
686 συγχωρήσομεν, ὅπερ ἴδιον τῶν βλασφημούντων ἐστίν. εἰ γὰρ τῷ ἀνάρχῳ καὶ ἀτελευτήτῳ ἡ ἀϊδιότης γνωρίζεται, ἀνάγκη πᾶσα ἢ ἀσεβεῖν μὴ ὁμολογοῦντας τοῦ υἱοῦ τὸ ἀΐδιον, ἢ πρὸς τὴν τῆς ἀγεννησίας ὑπόληψιν ἐν ταῖς περὶ τοῦ μονογενοῦς ὑπονοίαις ἐκφέρεσθαι. τί οὖν ἡμεῖς; εἰ μέν τινα χρονικὴν ἔμφασιν ὑπερετίθει τῆς τοῦ μονογενοῦς ὑποστάσεως ὁ τὸν πατέρα τοῦ υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ
687 τοῦ υἱοῦ λόγος ἐκινδυνεύετο. νυνὶ δὲ τὸ ποτὲ μὴ ἔσεσθαι ἐπὶ τῆς προαιωνίου φύσεως ἴσως καὶ ὁμοίως ἐπί τε τῆς τοῦ πατρὸς ζωῆς καὶ τῆς τοῦ μονογενοῦς [ἀλλὰ καὶ τῆς τοῦ ἁγίου πνεύματος ὁμολογίας] οὐ δέχεται· ἔνθα γὰρ
688 χρόνος οὐκ ἔστι, καὶ τὸ ποτὲ συνανῄρηται. εἰ δὲ ἀεὶ ἐν
464 M. τῷ εἶναι καταλαμβάνεται ὁ υἱὸς τῇ περὶ τοῦ πατρὸς ἐννοίᾳ συναναφαινόμενος, τίς ὁ φόβος προσμαρτυρεῖν τῷ μονογενεῖ

4 Ps 101, 28

VLACTS 6 διὰ τοῦ μὲν V 9 ἐφιστὰς ACTS v 12 ἑνὶ ex corr L 13 πάντως ante ὁ λόγος add VAS ὁ λόγος om v 14 κατασκευάζωμεν V 19 φέρεσθαι ACTS v 21 τῷ om v 24 post ἴσως dist v 25 ὑποστάσεως post μονογενοῦς add V verba ab ἀλλὰ καὶ usque ad 26 ὁμολογίας huc nullo modo quadrant, seclusi 29 μονογενεῖ: υἱῷ V

τὸ ἀΐδιον, τῷ μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς ἔχοντι τέλος;
ὡς γὰρ ἐκ φωτὸς φῶς καὶ ζωὴ ἐκ ζωῆς καὶ ἐξ ἀγαθοῦ
ἀγαθὸς σοφός τε καὶ δίκαιος καὶ δυνατὸς καὶ τὰ ἄλλα
πάντα ὡσαύτως ἐκ τοιούτου τοιοῦτος, οὕτω καὶ ἐξ ἀϊδίου
πάντως ἀΐδιος.

689 'Αλλ' ὑφαρπάζει τὸν λόγον ὁ ἀντιλογικός τε καὶ φίλ-
ερις, ὡς τῆς ἀκολουθίας ταύτης καὶ ἐξ ἀγεννήτου ἀγέν-
νητον ὑπονοεῖσθαι ποιούσης. ἀλλὰ νηψάτω τῇ καρδίᾳ καὶ
ταῖς ἰδίαις ἐπιστήτω φωναῖς ὁ μαχόμενος, ὅτι τὸ ἐκ τοῦ
πατρὸς ὁμολογῶν τὴν τοῦ ἀγεννήτου ὑπόνοιαν ἐπὶ τοῦ μονο-
γενοῦς ἀπεπέμψατο, καὶ οὐδεὶς ἔπεστι φόβος καὶ ἀΐδιον
690 αὐτὸν καὶ οὐκ ἀγέννητον λέγειν. ὅτι μὲν γὰρ οὐ διαστή-
ματι χρονικῷ τοῦ υἱοῦ τὸ εἶναι περιορίζεται, ἀλλὰ καὶ πρὸ
τῶν αἰώνων καὶ μετὰ τούτους τὸ ἄπειρον αὐτοῦ τῆς ζωῆς
ἁπανταχόθεν ἐκκέχυται, κυρίως τῇ τοῦ ἀϊδίου προσηγορίᾳ
κατονομάζεται· ὅτι δὲ πάλιν υἱὸς καὶ ὢν καὶ λεγόμενος
συνημμένως τὴν τοῦ πατρὸς ἔννοιαν ἑαυτῷ συνθεωρεῖσθαι
δίδωσι, τὸ ἀγεννήτως εἶναι δοκεῖν διὰ τούτου ἐκπέφευγεν,
ἀεὶ συνὼν τῷ ἀεὶ ὄντι πατρί, καθὼς εἶπε καὶ ἡ θεόπνευστος
ἐκείνη τοῦ διδασκάλου ἡμῶν φωνή, ὅτι γεννητῶς τῇ ἀγεν-
691 νησίᾳ τοῦ πατρὸς συναπτόμενος. ὁ δὲ αὐτὸς ἡμῖν καὶ περὶ
τοῦ ἁγίου πνεύματος λόγος, ἐν μόνῃ τῇ τάξει τὴν διαφορὰν
ἔχων. ὡς γὰρ συνάπτεται τῷ πατρὶ ὁ υἱὸς καὶ τὸ ἐξ αὐτοῦ
εἶναι ἔχων οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν, οὕτω πάλιν
καὶ τοῦ μονογενοῦς ἔχεται τὸ πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ

1 Hebr 7, 3

VLACTS 1 τὸ ἀΐδιον: τὸ ἄναρχον V sed in ras 4 τοῦ ante τοιούτου add V 5 πάντως in marg add T 9 ὅτι τὸ add al manus iam evanescens L 11 ἀπεπέμψ add man al -ατο man prim L verba 9 ἐκ τοῦ—10 μονογενοῦς in lacuna om L 11 post οὐδεὶς verba 9 ἐπιστήτω—μαχόμενος iterat V οὐδὲ ἔπεστί τις φόβος V οὐδείς ἐστι φ. LCT verba ab alt καὶ—12 καὶ om in lac L[1], suppl man al 12 οὐκ om CT sscr C[2] 12-13 ὅτι μὲν γὰρ οὐ διασιήμα ante τι suppl man alt in lac L 13 εἶναι περιορίζεται suppl man alt L 14 καὶ μετὰ τούτους suppl m alt L ζωῆς suppl m alt L 16 πάλινος V καὶ ante ὢν om ACTS v 17 συνημμένος L 18 τῶ L διὰ: ἐκ V

κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ πνεύματος ὑποστάσεως· αἱ δὲ χρονικαὶ παρατάσεις ἐπὶ τῆς προαιωνίου ζωῆς χώραν οὐκ ἔχουσιν. ὥστε τοῦ λόγου τῆς αἰτίας ὑπεξῃρημένου ἐν μηδενὶ τὴν ἁγίαν τριάδα πρὸς ἑαυτὴν ἀσυμφώνως ἔχειν.

VLACTS 1-2 πνεύματος: πατρὸς V coniectura falsa 3 ζωῆς χώραν et 4 τῆς αἰτίας et τὴν ἁγ. τρι . . . et 5 . . . ώνως ἔχειν suppl in lac m alt L 4-5 πρὸς αὐτὴν VL 5 post ἔχειν explicit hic liber in VLCTS ᾗ πρέπει ἡ δόξα add v ᾗ πρέπει ἡ δόξα νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν add A τέλος τοῦ κατὰ εὐνομίου πρώτου λόγου V

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

ΠΡΟΣ ΤΟΝ ΕΥΝΟΜΙΟΥ ΔΕΥΤΕΡΟΝ ΛΟΓΟΝ

1 Τὰ μὲν δὴ πρῶτα τῶν πρὸς Εὐνόμιον ἀγώνων ἱκανῶς
909 M. ἤδη κατὰ θείαν συμμαχίαν ἐν τοῖς φθάσασι διήνυσται
πόνοις, καθὼς πάρεστι τοῖς βουλομένοις ἐξ αὐτῶν ἡμῖν
τῶν πεπονημένων μαθεῖν, ὅπως ἐν τῷ προτέρῳ τῶν λόγων
ἡ ἀπάτη κατὰ κράτος ἐλήλεγκται, καὶ οὐδεμίαν ἰσχὺν ἔτι
κατὰ τῆς ἀληθείας ἐν τοῖς ἐξητασμένοις τὸ ψεῦδος ἔχει
τοῖς γε μὴ λίαν ἐκθύμως ἀναισχυντοῦσι πρὸς τὴν ἀλή-
2 θειαν. ἐπειδὴ δὲ καὶ δεύτερος αὐτῷ κατὰ τῆς εὐσεβείας
πόνος οἷόν τις ληστρικὸς συγκεκρότηται λόγος, πάλιν τοῦ
θεοῦ συμμαχοῦντος δι' ἡμῶν ἡ ἀλήθεια τῇ παρατάξει τῶν
ἐχθρῶν ἀνθοπλίζεται, καθάπερ τις στρατηγὸς προκαθη-
γουμένη τῶν ἡμετέρων λόγων καὶ πρὸς τὸ δοκοῦν ἑαυτῇ
κατὰ τῶν πολεμίων εὐθύνουσα, ᾗ κατ' ἴχνος ἑπόμενοι θαρ-
ρούντως τοῖς δευτέροις τῶν ἀγώνων ἐπιτολμήσομεν οὐδὲν
καταπλαγέντες τὴν τοῦ ψεύδους παράταξιν, κἂν ἐν πλήθει
3 προφαίνηται λόγων· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος χι-
λίους ὑφ' ἑνὸς διωχθήσεσθαι καὶ μυριάδας ὑπὸ δύο μετα-
κινηθήσεσθαι, ὡς τῆς εὐσεβείας, οὐ τῆς πολυχειρίας ἐχού-
4 σης τὸ κατὰ πόλεμον κράτος. ὥσπερ γὰρ ὁ πολύσαρκος
Γολιὰθ τὴν βαρεῖαν ἐκείνην τοῖς Ἰσραηλίταις ἐπισείων αἰχμὴν
οὐδεμίαν ἐπήγαγε δειλίαν ἀνδρὶ ποιμένι καὶ ἀμελετήτῳ τῆς

19 Deut 32, 30 21 I Reg 17, 4 sqq

MCTS Tit τοῦ αὐτοῦ ἁγίου γρηγορίου ἀντιρρητικὸς πρὸς τὸν εὐνομίου τοῦ δυσσεβοῦς δεύτερον λόγον M τοῦ αὐτοῦ πρὸς τὸν εὐνομίου τοῦ ἀσεβοῦς δεύτερον λόγον S τοῦ ἁγίου γρηγορίου ἐπισκόπου νύσης πρὸς τὸν εὐνομίου τοῦ ἀσεβοῦς δεύτερον λόγον CT hic liber post libr III tom 1 (= lib III Par Mig) positus est in CT 5 καθώσπερ ἔστι S v 11 πόνος om v οἷόν τις: τι C λόγος v 16 ἐπιτολμήσομεν o in ras M 18 ὁ add S, om cett 21 γὰρ om v

πολεμικῆς εὐστροφίας, ᾧ συμπλακεὶς κατὰ τὴν μάχην ἀκέ-
φαλος γίνεται, πρὸς τοὐναντίον αὐτῷ τῆς ἐλπίδος περιτρα-
πείσης, τὸν αὐτὸν τρόπον καὶ ὁ καθ' ἡμᾶς Γολιὰθ ὁ τῆς
ἀλλοφύλου καθηγούμενος γνώσεως πρόκωπόν τε καὶ γυμνὴν
οἷόν τινα ῥομφαίαν τὴν βλασφημίαν τοῖς ἀντιτεταγμένοις
προτείνων καὶ στίλβων ἅμα τοῖς νεοθήκτοις σοφίσμασιν, οὐκ
ἐφάνη φοβερὸς καὶ δυσάντητος τοῖς ἰδιώταις ἡμῖν, ὡς κατ'
ἐξουσίαν ἔχειν αὐτὸν τῇ ἐρημίᾳ τῶν ἀντιβαινόντων ἐπικομ-
πάζειν· ἀλλ' εὗρεν ἡμᾶς ἐκ τῆς τοῦ κυρίου ποίμνης αὐτο-
σχεδίους πολεμιστὰς τοὺς μήτε μαθόντας λογομαχεῖν μήτε
ζημίαν τὸ μὴ μεμαθηκέναι νομίζοντας ἰδιωτικόν τε καὶ
ἀγροικίζοντα τὸν λόγον τῆς ἀληθείας κατ' αὐτοῦ σφενδονή-
5 σαντας. ἐπειδὴ τοίνυν καὶ ὁ μνημονευθεὶς ἐκεῖνος ποιμὴν
τῇ σφενδόνῃ καταβαλὼν τὸν ἀλλόφυλον, ὑπορραγείσης τῷ
λίθῳ τῆς περικεφαλαίας καὶ πρὸς τὴν βίαν τῆς βολῆς ἐπὶ
τὰ ἐντὸς διασχούσης, οὐ τοῦτον ἐποιήσατο τῆς ἀνδραγαθίας
912 M. τὸν ὅρον, τὸ ἰδεῖν ἐν πτώματι τὸν ἀντίπαλον, ἀλλ' ἐπιδρα-
μὼν καὶ τῆς κεφαλῆς τὸν ἐχθρὸν ἀποσυλήσας τροπαιοφόρος
τοῖς ἰδίοις ἐπάνεισι, τὴν μεγαλορρήμονα κεφαλὴν ἐκείνην
ἐν τῷ στρατῷ τῶν ὁμοφύλων διαπομπεύων, διὰ τοῦτο καὶ
ἡμᾶς προσήκει πρὸς τὸ ὑπόδειγμα βλέποντας μὴ καταμα-
λακισθῆναι πρὸς τοὺς δευτέρους τῶν πόνων, ἀλλ' ὡς ἔνι
μάλιστα μιμήσασθαι τοῦ Δαβὶδ τὴν ἀριστείαν καὶ παραπλη-
σίως ἐκείνῳ μετὰ τὴν πρώτην πληγὴν ἐπεμβῆναι τῷ κει-
μένῳ, ὡς ἂν φανείη μάλιστα τῆς κεφαλῆς ἔρημος ὢν ὁ
6 τῆς ἀληθείας πολέμιος. ὁ γὰρ τῆς πίστεως διεζευγμένος
τὴν κεφαλὴν ἀποτέτμηται τοῦ ἀλλοφύλου μᾶλλον. ἐπεὶ γὰρ
κεφαλὴ παντὸς ἀνδρὸς ὁ Χριστός, καθώς φησιν ὁ ἀπό-
στολος, ἄνδρα δὲ τὸν πιστὸν πάντως εἰκὸς ὀνομάζεσθαι (οὐ
γὰρ δὴ καὶ τῶν ἀπίστων ἂν εἴη κεφαλὴ ὁ Χριστός), πάν-

28 I Cor 11, 3

MCTS 2-3 περιστραφείσης S v 4 τε S v: τινα MCT 15 ἐπὶ: πρὸς TS v 17 τὸν ἀντίπαλον: τὸν πολέμιον S v 18 ἐχθρὸν: πολέμιον S v 20 ἐν om S v 22 λόγων S v 24 τῷ om S v 25 ὢν om S v 27 ἐπειδὴ γὰρ CT 30 εἴη codd: ᾖ v

τως ὁ τῆς σῳζούσης πίστεως ἀποτμηθεὶς ἀκέφαλος ἂν εἴη κατὰ τὸν Γολιάθ, διὰ τῆς ἰδίας μαχαίρας, ἣν κατὰ τῆς ἀληθείας ἐθήξατο, τῆς ἀληθινῆς κεφαλῆς μεριζόμενος, ἣν οὐχὶ τεμεῖν ἀπ᾽ αὐτοῦ, ἀλλ᾽ ἀποδεῖξαι τετμημένην ἔργον ἡμέτερον.

7 Καί με μηδεὶς οἰέσθω φιλοτιμίᾳ τινὶ καὶ δόξης ἀνθρωπίνης ἐπιθυμίᾳ πρὸς τὸν ἄσπονδον τοῦτον καὶ ἀκήρυκτον πόλεμον ἑτοίμως κατιόντα τοῖς ἐναντίοις συμπλέκεσθαι. εἰ μὲν γὰρ ἐξῆν ἀπραγμόνως καθ᾽ ἡσυχίαν διάγειν ἐν εἰρηνεύοντι βίῳ, πόρρω τοῦ καθεστῶτος ἂν ἦν ἑκουσίως ἐπιταράσσειν τὴν ἡσυχίαν, αὐθαίρετον ἐκ προ-
8 κλήσεως πόλεμον καθ᾽ ἡμῶν αὐτῶν ἐπεγείροντας. ἐπεὶ δὲ πολιορκεῖται μὲν ἡ πόλις τοῦ θεοῦ, ἡ ἐκκλησία, κατασείεται δὲ τὸ μέγα τεῖχος τῆς πίστεως τοῖς μηχανήμασι τῆς αἱρέσεως ἐν κύκλῳ περιδονούμενον, κίνδυνος δὲ οὐ μικρὸς αἰχμάλωτον οἴχεσθαι παρὰ τῆς τῶν δαιμόνων ἐπιστρατείας ἀνάρπαστον τὸν λόγον τοῦ κυρίου γενόμενον, διὰ τοῦτο φοβερὸν εἶναι κρίνας τὸ μὴ συμμετασχεῖν τῆς τῶν Χριστιανῶν ἀγωνίας οὐκ ἐπὶ τὴν ἡσυχίαν ἀπέκλινα, προτιμοτέρους δὲ μᾶλλον ἐποιησάμην τοὺς ἐκ τῶν πόνων ἱδρῶτας τῆς ἐκ τοῦ ἡσυχάζειν ἀνέσεως, εἰδὼς ἀκριβῶς ὅτι ὥσπερ τὸν μισθὸν λήψεται, καθώς φησιν ὁ ἀπόστολος, κατὰ τὸν ἴδιον κόπον ἕκαστος, οὕτω πάντως καὶ τὴν τιμωρίαν ἐπὶ
9 τῇ τῶν κατὰ δύναμιν πόνων ὀλιγωρίᾳ. διὰ τοῦτο καὶ τὴν πρώτην τοῦ λόγου μάχην εὐθαρσῶς ὑπέστην, ἐκ τοῦ ποιμενικοῦ καδδίου, τουτέστιν ἐκ τῶν ἐκκλησιαστικῶν δογμάτων, τοὺς ἀκατασκεύους τούτους καὶ αὐτοφυεῖς λόγους εἰς ἀνατροπὴν τῆς βλασφημίας ἀφεὶς καὶ οὐδεμιᾶς τῆς ἐκ τῶν

10 πόλεμος ἄσπονδος καὶ ἀκήρυκτος] formula proverbialis apud Xenophontem, Platonem, Demosthenem aliosque multos reperta 13-14 Apc 21, 10, 12 22 I Cor 3, 8 26 I Reg 17, 40

MCTS 4 ἀλλὰ δεῖξαι M 10 ἐν om T 11 ἐπιταράσσειν ἑκουσίως CT 12 ἐπεγείραντας S ἐπεγείραντι v 12-13 ἀλλ᾽ ἐπειδὴ v 14 τῆς πίστεως om MS v 15 περιδινούμενον C v 18 κρίνων C v τὸ om S v 23 πάντας v 26 κάδου CTS v

ἔξωθεν λόγων ὁπλίσεως ἐπὶ τὸν ἀγῶνα προσδεηθείς, καὶ νῦν πρὸς τοὺς δευτέρους τῶν ἀγώνων οὐκ ἀναδύομαι, τὴν ἐλπίδα θέμενος κατὰ τὸν μέγαν Δαβὶδ ἐπὶ τὸν διδάσκοντα χεῖρας εἰς παράταξιν καὶ δακτύλους εἰς πόλεμον, εἴ πως γένοιτο καὶ ἡμῖν ἐκ θείας δυνάμεως εὐθυνθῆναι μὲν τὴν γράφουσαν χεῖρα πρὸς τὴν τῶν αἱρετικῶν δογμάτων ἀναίρεσιν, ὑπηρετῆσαι δὲ τοὺς δακτύλους τῇ ἀνατροπῇ τῆς πονηρᾶς παρατάξεως, ἐμπείρως καὶ ἀγωνιστικῶς διατιθέντας κατὰ τῶν πολεμίων τὸν λόγον. ὥσπερ δὲ ἐπὶ τῶν ἀνθρωπίνων πολέμων οἱ μὲν ἀνδρείᾳ τε καὶ δυνάμει τῶν λοιπῶν
913 M. διαφέροντες, καὶ κατησφαλισμένοι τοῖς ὅπλοις καὶ ταῖς πρὸς τοὺς κινδύνους μελέταις τὴν τοῦ πολεμεῖν ἐμπειρίαν προσειληφότες ἐπὶ τοῦ μετώπου τῆς φάλαγγος ἵστανται τῶν κατὰ τὸ βάθος ἐπιτεταγμένων προκινδυνεύοντες, ὁ δὲ λοιπὸς ὅμιλος εἰς μόνην φαντασίαν πλήθους συντείνοντες αὐτῷ τῷ συνασπισμῷ δοκοῦσί τι κέρδος τῷ κοινῷ συνεισφέρειν, οὕτως καὶ ἐπὶ τῶν ἡμετέρων ἀγώνων ὁ μὲν γενναῖος τοῦ Χριστοῦ στρατιώτης καὶ σφοδρὸς κατὰ τῶν ἀλλοφύλων ἀγωνιστής, ὁ μέγας τοῦ πνεύματος ὁπλίτης Βασίλειος, ὁ τὴν ἀποστολικὴν πανοπλίαν ἐνδεδυκὼς καὶ τῷ θυρεῷ κατησφαλισμένος τῆς πίστεως τό τε ἀμυντήριον ὅπλον, τὴν τοῦ πνεύματος λέγω μάχαιραν, ἀεὶ προβαλλόμενος, οὗτος μὲν προπολεμεῖ τῆς τοῦ κυρίου στρατιᾶς ἐν τῷ πονηθέντι κατὰ τῆς αἱρέσεως λόγῳ ζῶν τε καὶ ἀμυνόμενος καὶ κατὰ τῶν ἐχθρῶν ἀριστεύων, ἡμεῖς δὲ τὸ πλῆθος τῷ θυρεῷ τοῦ προμάχου τῆς πίστεως ἑαυτοὺς ὑποκρύψαντες, καθ᾽ ὅπερ ἂν προηγῆται πρὸς τοὺς ἐναντίους ὁ στρατηγός, τῶν κατὰ δύναμιν ἀγώνων οὐκ ἀφεξόμεθα.

11 Ἐπειδὴ τοίνυν διελέγχων ἐκεῖνος τὴν ἠπατημένην τῆς αἱρέσεως καὶ ἀνυπόστατον φαντασίαν οὐδαμῶς ἄλλως τὴν

3 Ps 143, 1 20 Eph 6, 16-17 29 Bas c Eun I 521 B

MCTS 7 ὑπηρετεῖσθαι S v 8 διατιθέντα CT 11 καὶ ante κατησφαλισμένοι om M 12 τοῦ πολέμου S 12-13 προειληφότες S v 16 τι om M 19 ὁπλίτης τοῦ πνεύματος M 20 ἐνδεδυμένος M 26 ὑποκρύψοντες C καθάπερ v προηγεῖται M 29 ἐπεὶ τοίνυν S v

προσηγορίαν τῆς ἀγεννησίας ἢ κατ' ἐπίνοιάν φησιν ἐπιλέγεσθαι τῷ θεῷ καὶ τὰς ἀποδείξεις ἐπήγαγε ταῖς τε κοιναῖς ἐννοίαις καὶ ταῖς γραφικαῖς μαρτυρίαις ἠσφαλισμένας, ὁ δὲ τῆς ἀπάτης εὑρετὴς Εὐνόμιος οὔτε συντίθεται τοῖς εἰρημένοις οὔτε ἀνατρέπειν δυνατῶς ἔχει, συνεχόμενος δὲ πρὸς τὴν ἀλήθειαν, ὅσῳ τηλαυγέστερον διαλάμπει τῆς εὐσεβείας τὸ δόγμα, τοσούτῳ μᾶλλον κατὰ τὰ νυκτινόμα τῶν ζῴων πρὸς τὸ φῶς ἀμβλυώττων καὶ οὐδὲ τὰς συνήθεις τῶν σοφισμάτων καταδύσεις εὑρίσκων μάτην διαπλανᾶται καὶ πρὸς τὸ τοῦ ψεύδους ἀδιεξόδευτον εἰσιὼν περὶ τὰ αὐτὰ συνειλεῖται καὶ πᾶς αὐτῷ σχεδὸν περὶ τὴν φλυαρίαν ταύτην ὁ δεύτερος κατησχόληται πόνος, διὰ τοῦτο καλῶς ἔχει καὶ ἡμῖν ἐν τούτῳ γενέσθαι τὴν πρὸς τοὺς ἀντιτεταγμένους μάχην, ἐν ᾧ καὶ ὁ πρόμαχος ἡμῶν διὰ τοῦ ἰδίου καθηγήσατο λόγου.

12 πρῶτον δέ φημι χρῆναι πᾶσαν ἐπὶ κεφαλαίῳ τὴν ἡμετέραν περὶ τῶν δογμάτων ὑπόληψιν καὶ τὴν τῶν ἐχθρῶν πρὸς ἡμᾶς διαφωνίαν ἐπιδραμεῖν, ὡς ἂν γένοιτο καθ' ὁδὸν ἡμῖν ἡ τῶν προκειμένων ἐξέτασις. ἔστι τοίνυν τὸ κεφάλαιον τῆς τῶν Χριστιανῶν εὐσεβείας τὸ πιστεύειν τὸν μονογενῆ θεόν, ὅς ἐστιν ἀλήθεια καὶ φῶς ἀληθινὸν καὶ δύναμις θεοῦ καὶ ζωή, ἀληθῶς πάντα εἶναι ἃ λέγεται, τά τε ἄλλα καὶ πρὸ τῶν ἄλλων ταῦτα· θεὸν καὶ ἀλήθειαν, τουτέστι θεὸν κατὰ ἀλήθειαν ἀεὶ ὄντα ὅπερ νοεῖται καὶ ὀνομάζεται καὶ οὔτε ποτὲ μὴ ὄντα οὔτε ποτὲ μὴ ἐσόμενον, οὗ τὸ εἶναι ὅ τι ποτὲ κατ' οὐσίαν ἐστὶ πᾶσαν ἐκφεύγει καταληπτικὴν ἔφοδον
13 καὶ πολυπραγμοσύνην· ἡμῖν δέ, καθώς πού φησι τῆς σο-
916 M. φίας ὁ λόγος, ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων κατά τινα τῶν γινωσκομένων ἀναλογίαν εἰς γνῶσιν ἔρχεται τοῦ εἶναι, μόνον τὴν πίστιν διὰ τῶν ἐνεργειῶν, οὐ τὴν γνῶσιν
14 τοῦ τί ἐστι χαριζόμενος. ταύτης τοίνυν τῆς διανοίας παρὰ

27 Sap Sal 13, 5

MCTS 3 ἐννοίαις om v 5 συνέχομεν T 7 τὰ δόγματα S v τοσοῦτον v 11 π. τὴν αὐτὴν φλυαρίαν S v 17 καθ' εἱρμὸν S 18 ἐξέτασις: σκέψις S v 26 καθὼς φησι S v 28 ἀναλογίαν om M 30 τοῦ τί ἐστι MS: αὐτοῦ τί ἐστι CT τουτέστι v

πᾶσι τοῖς Χριστιανοῖς κεκρατηκυίας τοῖς γε τῆς ἐπωνυμίας ταύτης ἀληθῶς ἀξίοις, ἐκείνοις φημὶ οἳ προσκυνεῖν παρὰ τοῦ νόμου μεμαθηκότες μηδέν, ὃ μή ἐστιν ἀληθινὸς θεός, αὐτῷ τῷ προσκυνεῖν τὸν μονογενῆ θεὸν ὁμολογοῦσιν ἐν ἀληθείᾳ καὶ οὐ ψευδώνυμον εἶναι θεόν, ἦλθεν ἡ φθοροποιὸς ἐρυσίβη τῆς ἐκκλησίας ἡ ἀχρειοῦσα τὰ εὐσεβῆ τῆς πίστεως σπέρματα, ἡ τῆς Ἰουδαϊκῆς ἀπάτης συνήγορος, ἔχουσά τι
15 καὶ τῆς Ἑλληνικῆς ἀθεΐας. τῷ μὲν γὰρ κτιστὸν ἀναπλάσσειν θεὸν τῆς τῶν Ἑλλήνων ἀπάτης συνήγορος γίνεται, τῷ δὲ μὴ παραδέχεσθαι τὸν υἱὸν τὴν Ἰουδαϊκὴν συνίστησι πλάνην. αὕτη τοίνυν ἡ αἵρεσις ἡ παραγραφομένη τὴν ἀληθινὴν τοῦ κυρίου θεότητα καὶ κατασκευάζουσα κτιστὸν αὐτὸν εἶναι δεῖν ὑπολαμβάνειν, καὶ μὴ ἐκεῖνο ὅπερ κατ' οὐσίαν καὶ δύναμιν καὶ ἀξίαν ἐστὶν ὁ πατήρ, ἐπειδὴ πανταχόθεν τῆς ἀληθείας περιλαμπούσης οὐδεμίαν ἔχει κατασκευὴν τὰ ζοφώδη ταῦτα νοήματα, πάντων τῶν ὀνομάτων ὑπεριδόντες τῶν εἰς θεοπρεπῆ τινα δοξολογίαν παρὰ τῆς γραφῆς εὑρεθέντων, ὁμοίως ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ λεγομένων, ἦλθον ἐπὶ τὸ τῆς ἀγεννησίας ὄνομα τὸ παρ' αὐτῶν τούτων ἐπὶ ἀθετήσει τῆς μεγαλειότητος τοῦ μονο-
16 γενοῦς θεοῦ συμπεπλασμένον. τῆς γὰρ εὐσεβοῦς ὁμολογίας τὴν εἰς τὸν μονογενῆ θεὸν πίστιν δογματιζούσης, Ἵνα πάντες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα, πάσας οὗτοι τὰς εὐσεβεῖς φωνὰς αἷς ἡ τοῦ υἱοῦ μεγαλειότης ὁμοτίμως πρὸς τὴν τοῦ πατρὸς ἀξίαν διασημαίνεται παρωσάμενοι ἐντεῦθεν ἑαυτοῖς τῆς ἀθέου περὶ τὸ δόγμα παρανομίας τὰς ἀρχὰς
17 καὶ τὰς ὑποθέσεις ἐπινοοῦσιν. ἐπειδὴ γὰρ ὁ μονογενὴς θεός, ὡς ἡ τοῦ εὐαγγελίου διδάσκει φωνή, ἐκ τοῦ πατρὸς ἐξῆλθε καὶ παρ' αὐτοῦ ἐστιν, ἄλλοις ὀνόμασι τὴν διάνοιαν ταύτην μεταλαβόντες δι' ἐκείνων τὴν ἀληθῆ πίστιν κατα-

22 Joh 5, 23 28 Joh 8, 42 et passim

MCTS 2 ἀληθῶς om S v οἳ om v 3 μεμαθηκόσιν v 6 τῆς πίστεως om v 12 παρασκευάζουσα S v κτιστόν: μὴ ἄκτιστον v 14 καὶ δύναμιν traiecit post πατὴρ S 16 πάντων: πάντα v 29-30 τὴν παρ' αὐτοῦ διάνοιαν μεταβαλόντες S v 30 ἀληθινὴν S v

18 σπαράσσουσι. τὸ γὰρ μὴ ἔκ τινος ὑπερκειμένης αἰτίας
εἶναι τὸν πατέρα τῆς ἀληθείας διδασκούσης, οὗτοι ἀγεννη-
σίαν ὠνόμασαν τὸ τοιοῦτον νόημα, καὶ τὴν ἐκ πατρὸς τοῦ
μονογενοῦς ὑπόστασιν τῷ τῆς γεννήσεως διασημαίνουσι
ῥήματι, εἶτα συνθέντες τὰς δύο φωνὰς τὴν ἀγεννησίαν
τε καὶ τὴν γέννησιν ἀντιφατικῶς ἐναντιουμένας ἀλλήλαις
ἐντεῦθεν τοὺς ἀνοήτους τῶν ἑπομένων αὐτοῖς παρακρούονται·
τὸ γὰρ „ἐγεννήθη" καὶ „οὐκ ἐγεννήθη" ὡς ἄν τις ὑπο-
δείγματι σαφηνίσειε, τοιοῦτόν ἐστιν οἷον καὶ τὸ „κάθηται"
19 καὶ „οὐ κάθηται" καὶ ὅσα τῷ τοιούτῳ λέγεται τρόπῳ. οἱ
δὲ τῆς κατὰ φύσιν τῶν ῥημάτων ἐμφάσεως τὰς φωνὰς
ταύτας παρακινήσαντες ἄλλην αὐτοῖς ἐφαρμόζειν διάνοιαν
ἐπὶ καθαιρέσει τῆς εὐσεβείας φιλονεικοῦσιν. οὐκ ἰσοδυνα-
μούσης γάρ, καθὼς εἴρηται, τῆς τῶν ῥημάτων σημασίας
τοῦ κάθηται καὶ οὐ κάθηται (ἀναιρεῖται γάρ πως ἐν θα-
τέρῳ τῶν σημαινομένων τὸ ἕτερον) ταύτην τὴν περὶ τὸ
σχῆμα τῆς προφορᾶς ἐναντίωσιν τῆς κατὰ τὴν οὐσίαν παρ-
αλλαγῆς ἐνδεικτικὴν εἶναι σοφίζονται, τῷ μὲν τὴν γέννησιν
917 M. τῷ δὲ τὴν μὴ γέννησιν οὐσίαν εἶναι διοριζόμενοι. καίτοι
ὥσπερ οὐκ ἔστιν οὐσίαν ἀνθρώπου νομίσαι τὸ καθῆσθαι ἢ
μὴ καθῆσθαι τὸν ἄνθρωπον (οὐ γὰρ τὸν αὐτὸν ἄν τις
ἀποδοίη λόγον καθέδραν τε ἀνθρώπου καὶ ἄνθρωπον αὐτὸν
ὁριζόμενος), οὕτως ἡ μὴ γεννηθεῖσα οὐσία κατὰ τὴν ἀνα-
λογίαν τοῦ ῥηθέντος ἡμῖν ὑποδείγματος ἄλλο τι πάντως
ἐστὶ τῷ ἰδίῳ λόγῳ πρὸς τὸ ἐκ τοῦ μὴ γεννηθῆναι δηλού-
21 μενον. ἀλλ' οὗτοι πρὸς τὸν πονηρὸν ἐκεῖνον σκοπὸν ἀφο-
ρῶντες, ὡς ἂν μάλιστα τῆς τοῦ μονογενοῦς θεότητος ἡ
ἄρνησις αὐτοῖς κυρωθείη, οὐχὶ τὴν οὐσίαν τοῦ πατρὸς
ἀγεννήτως εἶναί φασιν, ἀλλ' ἀναστρέψαντες τὸν λόγον οὐσίαν
τὴν ἀγεννησίαν ὁρίζονται, ἵνα τῇ πρὸς τὸ γεννητὸν ἀντι-
διαστολῇ τὸ τῆς φύσεως παρηλλαγμένον διὰ τῆς ἐναντιώ-

MCTS 5 τὰς om C 9 καὶ om M 13 οὐκ om S v 15 τοῦ: τῷ S v 20 ἢ: καὶ S v 29 ἀγεννήτως: ἀγεννησίαν S v φασιν: λέγουσιν S ἀναστρέψαντες M v: ἀνατρέψαντες S ἀντιστρέψαντες CT

22 σεως τῶν ὀνομάτων κατασκευάσωσι. καὶ πρὸς μὲν τὴν ἀσέ-
βειαν μυρίοις ὀφθαλμοῖς βλέπουσι, πρὸς δὲ τὸ ἀμήχανον
τῆς περὶ τοῦτο σπουδῆς ὡς μεμυκότες τὰ ὄμματα τῆς
ψυχῆς ἀμβλυώττουσι. τίς γὰρ μὴ παντάπασι λημῶν τὰ
τῆς ψυχῆς αἰσθητήρια οὐ διορᾷ τῆς τοῦ δόγματος αὐτῶν
ἀρχῆς τὸ ἀπαγὲς καὶ ἀσύστατον καὶ ὡς ἐπ' οὐδενὸς βέ-
βηκεν αὐτοῖς ὁ λόγος ὁ τὴν ἀγεννησίαν οὐσίαν ποιῶν;
οὑτωσὶ γὰρ αὐτοῖς ἡ ἀπάτη κατασκευάζεται. λέξω δὲ καθὼς
ἔστι δυνατὸν ἰσχυρῶς τῇ ἐμαυτοῦ φωνῇ τὸν τῶν ἐχθρῶν
ἀνθυποφέρων λόγον.
23 Φασὶν ἀγέννητον τὸν θεὸν ὀνομάζεσθαι, ἁ-
πλοῦν δὲ εἶναι τῇ φύσει τὸ θεῖον, τὸ δὲ ἁπλοῦν
μηδεμίαν ἐπιδέχεσθαι σύνθεσιν· εἰ οὖν ἀσύν-
θετος κατὰ τὴν φύσιν ἐστὶν ὁ θεός, ᾧ τὸ τοῦ
ἀγεννήτου ἔπεστιν ὄνομα, αὐτῆς ἂν εἴη τῆς φύ-
σεως ὄνομα τὸ ἀγένντηον, καὶ ἔστιν οὐδὲν ἕτε-
24 ρον ἢ ἀγεννησία ἡ φύσις. πρὸς οὓς τοῦτό φαμεν, ὅτι
ἕτερον τοῦ ἀσυνθέτου καὶ ἕτερον τοῦ ἀγεννήτου τὸ
σημαινόμενον. τὸ μὲν γὰρ τὴν ἁπλότητα τοῦ ὑποκειμένου,
τὸ δὲ τὸ μὴ ἐξ αἰτίας εἶναι παρίστησι, καὶ οὐκ ἐπαλλάσ-
σονται πρὸς ἀλλήλας αἱ τῶν ὀνομάτων ἐμφάσεις, κἂν περὶ
τὸ ἓν ἀμφότερα λέγηται. ἀλλ' ἐκ μὲν τῆς τοῦ ἀγεννήτου
προσηγορίας τὸ ἄνευ αἰτίας εἶναι τὸν οὕτως ὠνομασμένον
ἐμάθομεν, ἐκ δὲ τῆς τοῦ ἁπλοῦ τὸ καθαρεύειν συνθέσεως·
25 οὐδέτερον δὲ τούτων ἀντὶ τοῦ ἄλλου λέγεται. οὔκουν οὐ-
δεμίαν ἀνάγκην ἔχει, ἐπειδὴ ἁπλοῦν ἐστι τῇ φύσει τὸ θεῖον,
ἀγεννησίαν αὐτοῦ τὴν φύσιν κατονομάζεσθαι· ἀλλὰ καθ' ὃ
μὲν ἀμερής ἐστι καὶ ἀσύνθετος, ἁπλοῦς λέγεται, καθ' ὃ
δὲ οὐκ ἐγεννήθη, ἀγέννητος. εἰ δὲ μὴ σημαίνοι τὸ ἄνευ
αἰτίας εἶναι ἡ φωνὴ τοῦ ἀγεννήτου, ἀλλ' ἡ ἁπλότης ἀντεισ-
έρχοιτο τῇ σημασίᾳ τοῦ τοιούτου ὀνόματος καὶ διὰ τοῦτο
ἀγέννητος κατὰ τὸν λόγον τῆς αἱρέσεως λέγοιτο, διότι

MCTS 8 οὕτω S v 12 εἶναι om CT τῇ ante φύσει om M 17 ἢ: εἰ μὴ S v οὓς S v: οὖν MCT 19 τὴν om M 20-21 ἀπαλλάσσονται v 26 τῇ φύσει om T 30 ἡ ante ἁπλότης om v

ἁπλοῦς ἐστι καὶ ἀσύνθετος, μία δὲ τοῦ ἁπλοῦ τε καὶ ἀγεν-
νήτου ἡ σημασία, καὶ ἡ τοῦ υἱοῦ ἁπλότης ἀγεννησία
26 πάντως ὀνομασθήσεται. ἁπλοῦν γὰρ εἶναι τῇ φύσει καὶ
τὸν μονογενῆ θεὸν οὐκ ἀρνήσονται, εἰ μὴ ἄρα καὶ τὸ θεὸν
εἶναι αὐτὸν ἀρνήσαιντο. οὐκοῦν οὐδεμίαν κατὰ τὸ σημαι-
νόμενον κοινωνίαν ἡ ἁπλότης πρὸς τὸ ἀγέννητον ἕξει, ὡς
διὰ τὸ ἀσύνθετον ἀγεννησίαν τὴν φύσιν λέγεσθαι, ἵνα μὴ
δυοῖν ἀτόποιν τὸ ἕτερον καθ' ἑαυτῶν ἐπισπάσωνται, ἢ ἀρ-
920 M. νούμενοι τοῦ μονογενοῦς τὴν θεότητα ἢ κἀκείνῳ τὴν ἀγεν-
27 νησίαν ἐπιφημίζοντες. ἐπεὶ γὰρ ἁπλοῦν μὲν τῇ φύσει τὸ
θεῖον, ὄνομα δὲ κατ' αὐτοὺς τῆς ἁπλότητός ἐστι τὸ ἀγέν-
νητον, ἢ σύνθετον εἶναι τὸν υἱὸν κατασκευάσουσιν, ᾧ τὸ
μηδὲ θεὸν εἶναι συναποδείκνυται, ἢ εἰ ὁμολογοῖεν ἐπ' αὐτοῦ
τὴν θεότητα, ἁπλοῦν δὲ καθὼς εἴρηται τὸ θεῖόν ἐστι, τὸν
αὐτὸν καὶ ἀγέννητον διὰ τὴν ἁπλότητα πάντως εἶναι κατα-
σκευάσουσιν, εἴπερ ἡ ἁπλότης ταὐτὸν τῇ ἀγεννησίᾳ νομί-
ζεται. ὡς δ' ἂν σαφέστερον τὸ λεγόμενον γένοιτο, πάλιν
τὸ ῥηθὲν ἀναλήψομαι.

28 Ἡμεῖς τοῦτό φαμεν, ὅτι ἑκατέρῳ τῶν ὀνομάτων ἴδιόν
τι τὸ σημαινόμενον ὕπεστι καὶ οὔτε τῷ ἀγεννήτῳ τὸ ἀμερὲς
ἑρμηνεύεται οὔτε τῷ ἁπλῷ τὸ ἀγέννητον· ἀλλ' ἐν μὲν τῷ
ἁπλῷ τὸ ἀσύνθετον ἐνοήσαμεν, ἐν δὲ τῷ ἀγεννήτῳ τὸ μὴ
29 ἐξ αἰτίας εἶναί τινος ἐδιδάχθημεν. τὸν δὲ υἱὸν ἐκ θεοῦ
θεὸν ὄντα καὶ αὐτὸν ἁπλοῦν πιστεύειν οἰόμεθα δεῖν διὰ τὸ
πάσης συνθέσεως καθαρεύειν τὸ θεῖον καὶ κατὰ τὸν αὐτὸν
τρόπον καὶ ἐπὶ τούτου μήτε διὰ τῆς τοῦ υἱοῦ προσηγορίας
τὴν ἁπλότητα τῆς οὐσίας σημαίνειν μήτ' αὖ τῇ ἁπλότητι
παριστᾶν τὸ τοῦ υἱοῦ σημαινόμενον, ἀλλ' ἐκ τούτου μὲν
τὴν ἐκ τοῦ πατρὸς ὑπόστασιν φανεροῦσθαι, ἐκ δὲ τοῦ ἁπλοῦ
ὅπερ ἐμφαίνει ἡ τοιαύτη φωνή. ἐπεὶ οὖν ὁ μὲν τῆς κατ'

MCTS 7 καὶ post φύσιν v λέγεσθαι: νομίζεσθαι S v 8 ἐπισπάσοιντο S v 10 ἐπεὶ: ἐπειδὴ T εἰ S v 10-11 τὸ θεῖον τῇ φύσει T 13 ἐπ' αὐτῷ v 15 πάντως διὰ τὴν ἁπλ. M 15-16 κατασκευάζουσιν S v 19 ἐν ἑκατέρῳ MS v 23 ἐκ τοῦ θεοῦ M 27 αὖ τῇ CS: αὐτῇ T v 28 τούτων CT 29 φανερούσθω v

οὐσίαν ἁπλότητος λόγος εἷς καὶ ὁ αὐτὸς κἂν ἐπὶ πατρὸς
λέγηται κἂν ἐπὶ υἱοῦ, οὔτε ὑφέσει τινὶ οὔτε πλεονασμῷ
διαλλάσσων, τὸ δὲ γεννητὸν τῷ ἀγεννήτῳ πολλὴν κατὰ τὸ
σημαινόμενον τὴν διαφορὰν ἔχει (τοῦτο γὰρ ἔστιν ἐν τῷ
ἑτέρῳ τῶν ὀνομάτων νοῆσαι, ὃ ἐν τῷ ἄλλῳ οὐκ ἔστι), διὰ
τοῦτό φαμεν μηδεμίαν ἀνάγκην εἶναι ἀγεννήτου ὄντος τοῦ
πατρός, ἐπειδὴ ἁπλῆ ἐστιν αὐτοῦ ἡ οὐσία, ἀγεννησίαν
30 λέγεσθαι αὐτοῦ τὴν οὐσίαν. οὐδὲ γὰρ ἁπλοῦ ὄντος τοῦ
υἱοῦ, τοῦ αὐτοῦ καὶ γεννητοῦ εἶναι πεπιστευμένου, ἁπλότητα
λέγομεν τὴν οὐσίαν, ἀλλ' ὥσπερ ἁπλῆ ἐστιν ἡ οὐσία καὶ
οὐχ ἁπλότης, οὕτω καὶ ἀγέννητός ἐστιν ἡ οὐσία καὶ οὐκ
ἀγεννησία. τὸν αὐτὸν τρόπον γεννητοῦ ὄντος καὶ τοῦ
υἱοῦ, πάσης ἀνάγκης ὁ λόγος κεχώρισται, ἐπειδὴ ἁπλῆ
αὐτοῦ ἐστιν ἡ οὐσία, γέννησιν αὐτοῦ τὴν οὐσίαν ὁρί-
ζεσθαι, ἀλλὰ καὶ ἐνταῦθα ἰδίαν ἔμφασιν ἑκάτερα τῶν ὀνο-
μάτων ἔχει· ἥ τε γὰρ τοῦ γεννητοῦ προσηγορία τὸ ἔκ τινός
σοι παρίστησι καὶ τὸ ἁπλοῦν τὸ ἀπηλλάχθαι συνθέσεως.
31 ἀλλ' οὐ ταῦτα κἀκείνοις δοκεῖ· βούλονται γάρ, ἐπειδὴ ἁπλῆ
ἐστιν τοῦ πατρὸς ἡ οὐσία, μὴ ἄλλο τι ἢ ἀγεννησίαν αὐτὴν
εἶναι νομίζεσθαι, διότι καὶ ἀγέννητος λέγεται. πρὸς οὓς
καὶ τοῦτο ἔστιν εἰπεῖν ὅτι, ἐπειδὴ καὶ κτίστην τὸν πατέρα
καὶ δημιουργὸν ὀνομάζουσιν, ἁπλοῦς δὲ κατ' οὐσίαν ἐστὶν ὁ
ταῦτα ὀνομαζόμενος, ὥρα τοῖς σοφοῖς τούτοις „κτίσιν" καὶ
„δημιουργίαν" τὴν οὐσίαν τοῦ πατρὸς ἀποφαίνεσθαι, ἐπείπερ
πᾶσαν σημασίαν τοῦ περὶ αὐτὸν λεγομένου ὀνόματος ὁ τῆς
32 ἁπλότητος λόγος εἰς τὴν οὐσίαν ἀνάγει. ἢ τοίνυν χωρισά-
τωσαν τοῦ ὁρισμοῦ τῆς θείας οὐσίας τὴν ἀγεννησίαν ἐπὶ
μόνης τῆς ἰδίας ἐμφάσεως μένουσαν ἤ, εἴπερ διὰ τὴν ἁπλό-
τητα τοῦ ὑποκειμένου τῇ ἀγεννησίᾳ τὴν οὐσίαν ὁρίζοιντο,

14 cf Eun apol cp 12 (p 848 B)

MCTS 1-2 κἂν . . . κἂν: καὶ . . . καὶ v 7 ἐστιν αὐτοῦ (αὐτῷ S) TS v: αὐτοῦ ἐστιν MC 9 ἀγεννήτου C 11 ante ἀγέννητός ras trium litt T 14 αὐτοῦ ἐστιν CT: ἐστιν αὐτοῦ MS v 17 τῷ ἁπλοῦν τῷ v 19 τοῦ πατρός ἐστιν S v 19-20 αὐτὴν εἶναι om MCT

διὰ τὴν αὐτὴν αἰτίαν καὶ τὴν κτίσιν καὶ τὴν δημιουργίαν
τῇ τοῦ πατρὸς οὐσίᾳ ἐνθεωρείτωσαν, ὡς οὐχὶ κτιζούσης
921 M. καὶ δημιουργούσης τῆς ἐν τῇ οὐσίᾳ δυνάμεως, ἀλλ' αὐτῆς
33 τῆς δυνάμεως κτίσμα καὶ δημιούργημα νοουμένης. εἰ δὲ
τοῦτο ἀποβάλλουσιν ὡς πονηρόν τε καὶ ἄτοπον, πεισθή-
τωσαν ἐκ τῆς ἀκολουθίας κἀκεῖνον τούτῳ συναποβάλλειν
τὸν λόγον· ὡς γὰρ οὐκ ἔστι δημιούργημα ἡ τοῦ δημιουρ-
γοῦ οὐσία, οὕτως οὐδὲ ἀγεννησία ἡ τοῦ ἀγεννήτου οὐσία.
συντομίας δὲ χάριν καὶ σαφηνείας πάλιν τὸν αὐτὸν ἐπανα-
λήψομαι λόγον· εἰ μὴ διὰ τὸ γεγεννῆσθαι, ἀλλὰ διὰ τὸ
ἁπλῆ καὶ ἀσύνθετος οὐσία ὁ πατὴρ εἶναι ἀγέννητος λέγεται,
διὰ τὴν αὐτὴν ταύτην αἰτίαν ἀγέννητος καὶ ὁ υἱὸς ὀνομα-
σθήσεται· οὐσία γὰρ καὶ οὗτός ἐστι μονοειδὴς καὶ ἀσύν-
34 θετος. εἰ δὲ τὸν υἱόν, ἐπειδὴ ἐγεννήθη, γεννητὸν ἐξ ἀνάγ-
κης ὁμολογήσομεν, δῆλον ὅτι καὶ τὸν πατέρα, ἐπειδὴ οὐκ
ἐγεννήθη, προσεροῦμεν ἀγέννητον. εἰ δὲ τοῦτο ἥ τε ἀλή-
θεια καὶ ἡ τῶν κειμένων ἀκολουθία καταναγκάζει, πρό-
δηλον ὅτι οὐχὶ οὐσίας ἐστὶ τὸ ἀγέννητον ὄνομα, ἀλλὰ δια-
φορᾶς τινος νοημάτων σημαντικὸν τῆς τὸ γεννηθὲν τοῦ μὴ
γεννηθέντος διαστελλούσης.
35 Εἶτα καὶ τοῦτο τοῖς εἰρημένοις προσεξετάσωμεν. εἰ
τὸ ἀγέννητον ὄνομά φασι τὴν οὐσίαν σημαίνειν καὶ μὴ τὸ
ἄνευ αἰτίας τὴν ὑπόστασιν ἔχειν, ποίῳ ὀνόματι τὸ ἄνευ
αἰτίας εἶναι τὸν πατέρα συστήσουσι, τῆς ἀγεννησίας εἰς τὴν
36 τῆς οὐσίας ἔνδειξιν παρ' αὐτῶν ἀποτεταγμένης; εἰ γὰρ μὴ
τὴν διασταλτικὴν τῶν ὑποστάσεων διαφορὰν διὰ τῆς τοῦ
ἀγεννήτου φωνῆς διδασκόμεθα, ἀλλ' αὐτῆς τῆς φύσεως ἐν-
δεικτικὴν εἶναι τὴν φωνὴν ταύτην ὑποληψόμεθα οἷον ἀπορ-
ρέουσάν πως τοῦ ὑποκειμένου πράγματος καὶ διὰ τῆς τῶν

11-12 Eun apol cp 8 (p 844 B sq)

MCTS 3 τῆς om v 6 κἀκείνῳ τοῦτον M 7 δημιούργημα: δημιουργία ci Diekamp qui comparat 1 et 235, 24 ἡ om v 10 γεγενῆσθαι T μὴ γεγεννῆσθαι S 12 ταύτην om TS v καὶ ὁ υἱὸς ἀγέννητος S v 12-13 νομισθήσεται S v 14 et 15 ἐπεὶ S v 17 κειμένων: τεθέντων S v 27 τῆς om v 28 τὴν φωνὴν om S v 29 πως: πάντως T ὑπερκειμένου v

συλλαβῶν ἐκφωνήσεως ἐκκαλύπτουσαν τὸ ζητούμενον, ἀνάγκη
πᾶσα ἢ μὴ εἶναι τὸν θεὸν ἀγέννητον ἢ μὴ λέγεσθαι, μηδε-
μιᾶς φωνῆς τὴν τοιαύτην ἔμφασιν ἰδιαζόντως ἐπ' αὐτοῦ
37 παρεχομένης. τῆς γὰρ ἀγεννησίας, καθὼς οὗτοί φασιν, οὐ
τὸ ἄνευ αἰτίας εἶναι διασημαινούσης, ἀλλὰ τὴν φύσιν ἐν-
δεικνυμένης, περιτραπήσεται πάντως αὐτοῖς πρὸς τοὐναντίον
τὸ σόφισμα καὶ εὑρεθήσεται διαφεῦγον <ἐκ> τοῦ δόγματος
αὐτῶν ἐπὶ τοῦ θεοῦ τὸ ἀγέννητον. μηδενὸς γὰρ ἑτέρου
ῥήματος ἢ ὀνόματος τὸ μὴ γεννηθῆναι τὸν πατέρα παρι-
στῶντος, τοῦ δὲ ἀγεννήτου κατὰ τὴν σοφίαν αὐτῶν ἄλλο τι
καὶ οὐχὶ τὸ μὴ γεγεννῆσθαι διερμηνεύοντος, οἴχεται καὶ
συνερρύη πρὸς τὸν Σαβέλλιον αὐτοῖς κατολισθήσας ὁ λόγος.
38 ἀνάγκη γὰρ πᾶσα διὰ τῆς ἀκολουθίας ταύτης τὸν αὐτὸν
εἶναι νομίζεσθαι τῷ υἱῷ τὸν πατέρα, τῆς κατὰ τὸ γεννητὸν
καὶ ἀγέννητον διαφορᾶς ἐκ τοῦ δόγματος αὐτῶν ἐκκλα-
πείσης, ὥστε δυοῖν θάτερον ἢ ἀναθήσονται τὴν περὶ τοῦ
ὀνόματος δόξαν ὡς διαφορὰν τῆς ἑκατέρου ἰδιότητος καὶ
οὐχὶ φύσιν σημαίνοντος, ἢ παραμένοντες τοῖς ἐγνωσμένοις
περὶ ταύτης τῆς φωνῆς Σαβελλίῳ συνθήσονται· οὐ γὰρ ἔστιν
ὅπως ἡ τῶν ὑποστάσεων διαφορὰ τὸ ἀσύγχυτον ἕξει, μὴ τῷ
39 γεννητῷ διαστελλομένη πρὸς τὸ ἀγέννητον. ὥστε εἰ μὲν
διαφορὰν σημαίνει τὸ ὄνομα, ἡ οὐσία ἔσται διὰ τῆς προση-
924 M. γορίας ταύτης ἀσήμαντος· ἄλλος γὰρ τῆς διαφορᾶς καὶ
ἕτερος τῆς οὐσίας ὁ λόγος· εἰ δὲ πρὸς τὴν φύσιν τὴν ση-
μασίαν τῆς φωνῆς καθέλκουσιν, εἰς τὴν τῶν Υἱοπατόρων
λεγομένων ἀπάτην ἀκολούθως ὑποσυρήσονται, τῆς κατὰ τὰς
40 ὑποστάσεις τρανώσεως ὑφαιρεθείσης τοῦ λόγου. εἰ δὲ λέ-
γουσι κωλύειν μηδὲν καὶ τὴν πρὸς τὸ γεννητὸν ἀντιδιαστολὴν
ἐκ τῆς ἀγεννησίας σημαίνεσθαι καὶ αὐτὴν παριστᾶν τὴν
οὐσίαν, διαστειλάτωσαν ἡμῖν τὰς προσφυεῖς τοῦ ὀνόματος
σημασίας, ὡς δύνασθαι κυρίως ἁρμόζειν πρὸς ἑκατέραν

5 cf Eun apol l c

MCTS 7 ἐκ addidi cf 15 11 γεγενῆσθαι T 22 ἡ om 27 τρανώσεως ὑφαιρεθείσης MCT: τρανότητος ὑποσυρείσης SCv

41 διασχισθεῖσαν τοῦ ἀγεννήτου τὴν ἔννοιαν. ἡ μὲν γὰρ τῆς διαφορᾶς ἐκ τοῦ ὀνόματος τούτου δήλωσις ἀμφιβολίαν οὐκ ἔχει, τῷ τῆς ἀντιδιαστολῆς λόγῳ συνισταμένη· ἀντὶ γὰρ τοῦ „γεγέννηται ὁ υἱός" καὶ „οὐ γεγέννηται ὁ πατὴρ" τὸν μὲν ἀγέννητον τὸν δὲ γεννητὸν λέγεσθαι κατά τινα ῥημάτων παρωνυμίαν καὶ ἡμεῖς συντιθέμεθα· ἡ δὲ τῆς οὐσίας δεῖξις ἐκ ποίας διανοίας διὰ τοῦ προσρήματος τούτου σαφηνισθήσεται, εἰπεῖν οὐκ ἂν ἔχοιεν.

42 Ἀλλὰ τοῦτο σιωπήσας ὁ καινὸς θεολόγος ἑτέρους ἡμῖν φληνάφους ἐπὶ τῆς προλαβούσης λογογραφίας εἴρων διέξεισιν. ὅτι *ἁπλοῦς*, φησίν, *ὢν ὁ θεὸς ἀγέννητος λέγεται, διὰ τοῦτο ἀγεννησία ἐστὶν ὁ θεός*. τί κοινὸν ὁ τῆς ἁπλότητος ἔχει λόγος πρὸς τὴν τοῦ ἀγεννήτου διάνοιαν; καὶ γὰρ καὶ ὁ μονογενὴς καὶ γεννητός ἐστι καὶ ἁπλοῦς εἶναι οὐκ ἀμφιβάλλεται. *ἀλλὰ καὶ ἀμερής*, φησί, *καὶ ἀσύνθετος*. τί καὶ τοῦτο πρὸς τὸ ζητούμενον; οὐδὲ γὰρ ὁ υἱὸς πολυειδὴς καὶ συγκείμενος, ἀλλ' ὅμως οὐ διὰ
43 τοῦτο ἀγέννητος. ἀλλὰ καὶ ποσότητος, φησί, καὶ πηλικότητος ἠλλοτρίωται. ἔστω καὶ ταῦτα. καὶ γὰρ καὶ ὁ υἱὸς ἀπεριόριστος τῷ πηλίκῳ καὶ ἄποσος καὶ ὅμως υἱός. ἀλλὰ τὸ ζητούμενον οὐ τοῦτό ἐστι. πρόκειται γὰρ ἀποδειχθῆναι κατὰ τίνα τοῦ ἀγεννήτου σημασίαν ἡ οὐσία γνωρίζεται. ὡς γὰρ ἐκ τῆς φωνῆς ταύτης ὁ τῆς τῶν ἰδιωμάτων διαφορᾶς κατελήφθη λόγος, οὕτως ἠξίουν ἀναμφίβολον εἶναι καὶ τοῦ εἶναι τὴν ἔνδειξιν ἔκ τινος τῶν σημαινομένων διὰ τῆς αὐτῆς
44 ταύτης προσηγορίας. ἀλλὰ τοῦτο μὲν σιωπᾷ, λέγει δὲ *μὴ δεῖν κατ' ἐπίνοιαν ἐπιφημίζεσθαι τῷ θεῷ τὸ ἀγέννητον. τὰ γὰρ οὕτω λελεγμένα ταῖς φωναῖς*, φησί, *συνδιαλύεσθαι πέφυκε*. τί δὲ τῶν λε-

10 προλαβούσης λογογραφίας] in prima Apologia cp 8 (841 D sq-844 B)   11 et 26-29 Gregorius Eunomii verba ex prima Apologia non citat, sed enarrat

MCTS 2 τούτου om S v   3 διαστολῆς MS   4-5 τὸ μὲν T   10 τῆς παρούσης S   τῇ προλαβούσῃ λογογραφίᾳ T   24 λόγος: φθόγγος CT   ἄξιον S   ἀμφίβολον v

γομένων οὐχ ὁμοῦ τῷ λεχθῆναι καὶ διαλύεται; οὐ γὰρ ὥσπερ κεραμεύοντες ἢ πλινθευόμενοι κατὰ τὴν ἅπαξ γενομένην ἐν τῷ στόματι τοῦ λόγου τύπωσιν ἀδιάλυτα φυλάσσομεν τὰ διὰ τῆς φωνῆς προφερόμενα, ἀλλ' ὁμοῦ τε προενήνεκται διὰ τοῦ φθόγγου ὁ λόγος καὶ τὸ ῥηθὲν οὐκ ἔστι.
45 πάλιν γὰρ πρὸς τὸν ἀέρα τοῦ τῆς φωνῆς πνεύματος ἀναχεθέντος, οὐδὲν ἴχνος τῶν εἰρημένων ἐνετυπώθη τῷ τόπῳ, ἐν ᾧ γέγονε τῆς φωνῆς ἡ ἀνάχυσις· ὥστε εἰ τούτῳ τὸν κατ' ἐπίνοιαν λόγον χαρακτηρίζει, τῷ μὴ μένειν λόγον ἀλλὰ τῇ φωνῇ τοῦ φθεγγομένου συναφανίζεσθαι, οὐκ ἂν φθάνοι πάντα λόγον ὀνομάζων ἐπίνοιαν, μηδεμιᾶς ὑποστάσεως ἐν
46 οὐδενὶ λόγῳ μετὰ τὴν προφορὰν διαμενούσης. οὐδὲ γὰρ
925 M. αὐτὴν τὴν ἀγεννησίαν, ἣν ἐξαιρεῖ τῆς ἐπινοίας, ἀδιάλυτον καὶ παγίαν μετὰ τὸ προενεχθῆναι δεῖξαι δυνήσεται, τῆς προενεχθείσης διὰ τοῦ φθόγγου ῥήσεως ἐκ τοῦ στόματος ἐν τῷ ἀέρι μὴ συμμενούσης. καὶ οὕτω δ' ἄν τις μάθοι τὸ τῶν εἰρημένων ἀσύστατον, ὅτι κἂν σιωπῶντες τὰς τῆς ψυχῆς ἐννοίας ἀπογραφώμεθα, οὐ τὰ μὲν ὑφεστῶτα τῶν νοημάτων τὴν διὰ τῶν γραμμάτων σημείωσιν δέξεται, τὸ δὲ ἀσύστατον ἀμοιρήσει τῆς ἐν τοῖς γράμμασι σημειώσεως·
47 ἔξεστι γὰρ πᾶν, ὅτιπερ ἂν ἐπὶ νοῦν ἔλθῃ, κἂν ὑφεστήκῃ κατὰ τὴν σύνεσιν κἂν ὡς ἑτέρως ἔχῃ, κατ' ἐξουσίαν ἐναποθέσθαι τῷ γράμματι, ταὐτὸν δὲ εἰς φανέρωσιν διανοίας ὁ φθόγγος ἐστὶ τῷ γράμματι· ἐπίσης γὰρ δι' ἑκατέρων τὸ
48 νοηθὲν ἐξαγγέλλομεν. πρὸς τί τοίνυν ὁρῶν μόνῃ συνδιαλύει τῇ φωνῇ τὴν ἐπίνοιαν, συνιδεῖν οὐκ ἔχω. παντὸς γὰρ λόγου τοῦ διά τινος ἤχου προφερομένου τοῦ μὲν πνεύματος τοῦ τὴν φωνὴν διαπορθμεύσαντος πρὸς τὸ συγγενὲς ἡ μεταχώρησις γίνεται, ὁ δὲ τῶν ῥηθέντων νοῦς διὰ τῆς ἀκοῆς τῷ μνημονικῷ τῆς τοῦ ἀκούοντος ψυχῆς ἐγχαράσσεται, εἴτε

MCTS 3-4 φυλάξομεν S v   6-7 ἀναχυθέντος v   7 ἀνετυπώθη T   ἐτυπώθη S v   10 σαφηνίζεσθαι T   φθάνῃ M   12 προσφορὰν v   17 ὅτι: ὅτιπερ CT   19 νοημάτων S v: ὀνομάτων MCT   21 ὅτιπερ: ὅπερ T   ὑφεστήκῃ C ὑφεστήκει T: ὑφέστηκε M ὑφίσταται S v   22 ἔχει v

49 ἀληθὴς εἴτε διεσφαλμένος τύχοι. οὐκοῦν ψυχρὰν τῆς ἐπι-
νοίας ταύτης ὁ λογογράφος ἡμῖν τὴν ἑρμηνείαν ταύτην προ-
τείνεται, τῇ διαλύσει τῆς φωνῆς χαρακτηρίζων καὶ ὁριζό-
μενος. καὶ τούτου χάριν ὁ συνετὸς ἀκροατὴς ἐκεῖνος, καθ-
ώς φησιν Ἡσαΐας, παραγράφεται μὲν τὴν ἀδιανόητον ταύ-
την τῆς ἐπινοίας φυσιολογίαν, ὄντως διαλυτὴν αὐτὴν καὶ
ἀνυπόστατον ἀποδείξας κατὰ τὸν τούτου λόγον, τεχνολογεῖ
δὲ περὶ τῆς ἐγκειμένης τῇ λέξει δυνάμεως, διὰ τῶν γνωρί-
μων ὑποδειγμάτων τῇ περὶ τῶν δογμάτων θεωρίᾳ προσβιβά-
50 ζων τὸν λόγον. πρὸς ὃν ὁ Εὐνόμιος διὰ τῆς σεμνῆς ταύ-
της λογογραφίας ἑαυτὸν ἀντεπαίρων ἀναλύειν ἐπιχειρεῖ τὰ
περὶ τῆς ἐπινοίας διηρθρωμένα τοῦτον τὸν τρόπον. ἄμεινον
δὲ ἴσως πρὶν διευθῦναι τὰ γεγραμμένα τὸν σκοπὸν ἐξετάσαι,
τί βουλόμενος ἀποφεύγει τὸ κατ' ἐπίνοιαν ἐπιλέγεσθαι τῷ
θεῷ τὸ ἀγέννητον.

Δόγμα κοινὸν ἐπὶ πάντων τῶν παραδεδεγμένων τὸν
λόγον τῆς εὐσεβείας κεκράτηκε τὸ πᾶσαν ἐν τῷ Χριστῷ
τὴν ἐλπίδα τῆς σωτηρίας δεῖν ἔχειν, ὡς οὐκ ἐνδεχόμενον
ἄλλως ἐν ἀγαθοῖς γενέσθαι, μὴ τῆς εἰς Χριστὸν πίστεως
51 παρεχομένης τὸ σπουδαζόμενον. ταύτης δὲ τῆς διανοίας
παγίως ταῖς ψυχαῖς τῶν πεπιστευκότων ἐνερηρεισμένης καὶ
πάσης τιμῆς τε καὶ λατρείας καὶ δόξης τῷ μονογενεῖ
θεῷ παρὰ πάντων ὡς ἀρχηγῷ τῆς ζωῆς ἀνακειμένης τῷ
ποιοῦντι τὰ τοῦ πατρὸς ἔργα, καθὼς αὐτὸς ὁ κύριος ἐν τῷ
εὐαγγελίῳ φησί, καὶ μηδεμιᾶς κατὰ πᾶσαν ἀγαθοῦ πράγ-
ματος ἔννοιαν ὑπερβολῆς ἐλαττουμένῳ, οὐκ οἶδα πόθεν
παρακινηθέντες δυσμενείᾳ καὶ φθόνῳ τῆς τοῦ κυρίου τιμῆς,
καθάπερ ζημίαν ἑαυτοῖς κρίνοντες τὴν γινομένην τῷ μονο-

5 Jes 3, 3 Basilium dicit cf Bas c Eun I p 520 C sq 25 Joh 10, 37-38 26 sq Eunomii verba ex novissima eius scriptione (cf § 49) breviter enarrantur cf etiam ad 241, 8 et 19 φασί

MCTS 3 ταύτης om v τὴν om T 8 ἐπιδείξας MC 10-11 προσβίβαζων libri: προβιβάζων v 14 εὐθῦναι MCT 22 ἐνερηρεισμένης correxi: ἐρηρεισμένης 26-27 ἔννοιαν πράγματος T 27 ἐλαττουμένω ὑπερβολῆς T

γενεῖ θεῷ παρὰ τῶν πεπιστευκότων προσκύνησιν, ἀνταί-
ρουσι ταῖς θείαις τιμαῖς καὶ πείθειν ἐπιχειροῦσιν, ὡς
52 οὐδὲν τῶν περὶ αὐτῶν λεγομένων ἀληθῶς λέγεται. οὔτε
928 M. γὰρ θεός, κἂν ὀνομάζηταί πως ὑπὸ τῆς γραφῆς, ἀληθινός
ἐστι θεός, οὔτε υἱὸς λεγόμενος ἐπαληθεύουσαν ἔχει τῇ
προσηγορίᾳ τὴν φύσιν οὔτε ἀξίας οὔτε φύσεως αὐτῷ πρὸς
τὸν πατέρα ἔστι τις κοινωνία. μηδὲ γὰρ εἶναι δυνατὸν τῷ
γεγεννημένῳ πρὸς τὸν ποιήσαντα τὸ κατὰ τὴν ἀξίαν ἢ τὴν
δύναμιν ἢ τὴν φύσιν ὑπάρχειν ὁμότιμον, διότι τῷ μὲν
ἀόριστος ἡ ζωὴ καὶ ἐξ ἀϊδίου ἡ ὕπαρξις, τῷ δὲ υἱῷ τρόπον
τινὰ περιγέγραπται ἡ ζωή, τῆς ἀρχῆς καθ' ἣν γέγονε
περατούσης ἐπὶ τὸ ἄνω τῆς ζωῆς τὴν πρόοδον καὶ τῇ τοῦ
53 πατρὸς ἀϊδιότητι συμπαρατείνεσθαι κωλυούσης· ὥστε καὶ
τούτῳ τὴν ζωὴν ἐλλιπῆ νομίζεσθαι καὶ τὸν πατέρα μὴ
ἀεὶ εἶναι, ὅπερ νῦν ἐστί τε καὶ λέγεται, ἀλλ' ἕτερόν τι
πρότερον ὄντα μετὰ ταῦτα βουλεύσασθαι γενέσθαι πατέρα,
μᾶλλον δὲ οὐχὶ γενέσθαι, ἀλλὰ κληθῆναι· μηδὲ γὰρ υἱοῦ
κατὰ ἀλήθειαν ὀνομασθῆναι πατέρα, ἀλλὰ κτίσματος εἰς
54 υἱοῦ κλῆσιν ὑποβληθέντος. πάντως δέ, φασί, τὸ μετα-
γενέστερον τοῦ πρεσβυτέρου καὶ τὸ ὡρισμένον τοῦ ἀϊδίου
καὶ τὸ κατὰ βούλησιν τοῦ πεποιηκότος γεγεννημένον αὐτοῦ
τοῦ πεποιηκότος δυνάμει τε καὶ ἀξίᾳ καὶ φύσει καὶ τοῖς
ἐκ χρόνου πρεσβείοις καὶ ἅπασι τοῖς τιμίοις ἐξ ἀνάγκης
55 ἠλάττωται. οὗ δὲ τὸ τέλειον ἐν ταῖς θειοτέραις τῶν ὑπο-
λήψεων ἄπεστι, πῶς ἄν τις τοῦτο ταῖς τοῦ ἀληθινοῦ θεοῦ
τιμαῖς εὐλόγως ἀποσεμνύνειεν; ὡς ἐκ τούτου κατασκευά-
ζεσθαι παρ' αὐτῶν τὸν ἀτελῆ μὲν κατὰ τὴν δύναμιν, ἐλ-
λιπῆ δὲ κατὰ τὴν τῆς ζωῆς τελειότητα, ὑποχείριον δὲ τῷ
δυναστεύοντι, ποιοῦντα δὲ μηδὲν ἀφ' ἑαυτοῦ πλὴν εἴ τι
νομοθετεῖται τῷ τοῦ κρατοῦντος προστάγματι, τοῦτον ἐν

MCTS 3 αὐτοῦ T 8 κατ' ἀξίαν MCT ἀξία δύναμις φύσις coordinantur etiam infra 22, Eunomii ipsius verba respiciuntur 15 ἀεὶ S v: om MCT νῦν om CT τι: ἐστι v 17 δὲ οὐχὶ: δὲ οὐχὶ δὲ v 19 κλῆσιν: κτίσιν CT 21 αὐτοῦ om v 25 τοῦτον malim cf 30 ἀληθοῦς v 26-27 κατασκευάσασθαι M

μηδεμιᾷ θεοπρεπεῖ τιμῇ τε καὶ ὑπολήψει πιστεύειν <δεῖν>
εἶναι, ἀλλὰ θεὸν μὲν ὀνομάζειν, κενὸν δὲ πάσης μεγαλο-
πρεποῦς ἐννοίας περιφέρειν τὸ ὄνομα.
56 Καὶ ἐπειδὴ ταῦτα οὑτωσὶ λεγόμενα δίχα τῆς τῶν λο-
γισμῶν περιβολῆς παροξύνει πως εἰς ὀργὴν καὶ φρίττειν
ποιεῖ τῷ ξενισμῷ τὸν ἀκούοντα (τίς γὰρ δέχεται πονηρὸν
σύμβουλον γυμνῶς καὶ ἀκατασκεύως τὴν καθαίρεσιν τῆς
μεγαλειότητος τοῦ Χριστοῦ συμβουλεύοντα;), διὰ τοῦτο
παραγωγαῖς τισι πιθαναῖς καὶ ἀπάταις τὴν πονηρὰν ταύτην
ἐνέδραν τοῦ λόγου περικαλύψαντες ταῖς ἔξωθεν ἐπινοίαις
τοὺς ἀνοήτους τῶν ἀκροατῶν παρακρούονται. τὰ γὰρ ἄλλα
κατασκευάσαντες, δι' ὧν ἂν ᾖ δυνατὸν αὐτομάτως ἐπὶ ταῦτα
κατασυρῆναι τὴν τῶν ἀκουόντων διάνοιαν, τῷ ἀκροατῇ τὸ
57 πέρας τῆς καταστροφῆς καταλείπουσιν. εἰπόντες γὰρ μὴ
εἶναι ταὐτὸν κατὰ τὴν οὐσίαν τὸν μονογενῆ θεὸν τῷ ἀληθινῷ
πατρὶ καὶ τοῦτο σοφιστικῶς συμπεράναντες διὰ τῆς τοῦ
ἀγεννήτου πρὸς τὸ γεννητὸν ἀντιθέσεως τὸ ἀπὸ τούτου
σιωπῶντες ἐργάζονται, αὐτομάτως διὰ τοῦ ἀκολούθου τῆς
ἀσεβείας κρατυνομένης. καὶ ὥσπερ τὸ δηλητήριον ὁ φαρ-
μακεὺς εὐπαράδεκτον ποιεῖ, τῷ ἐπιβουλευομένῳ μέλιτι κατα-
γλυκάνας τὸν ὄλεθρον, καὶ ὁ μὲν ἔδωκε μόνον, τὸ δὲ ἐγ-
καταμιχθὲν τοῖς σπλάγχνοις οὐδὲν ἔτι πραγματευομένου
τοῦ φαρμακέως τὴν φθορὰν κατεργάζεται, ὅμοιόν τι καὶ
58 παρὰ τούτων γίνεται· ταῖς γὰρ κομψείαις τῶν σοφισμάτων
929 M. τὸ φθοροποιὸν δόγμα οἷόν τινι μέλιτι καταχρώσαντες, ἐπει-
δὰν ἐγχέωσι τὴν ἀπάτην τῇ ψυχῇ τοῦ ἀκούοντος τὴν περὶ
τοῦ μὴ εἶναι θεὸν ἀληθινὸν τὸν μονογενῆ θεόν, τὰ ἄλλα
πάντα τούτῳ καὶ σιωπῶντες συγκατειργάσαντο. τῷ γὰρ
πεισθῆναι μὴ ἀληθῶς εἶναι θεὸν ἐπακολουθεῖ τὸ μηδὲ
ἄλλο τι τῶν περὶ αὐτοῦ θεοπρεπῶς λεγομένων ἐν ἀληθείᾳ

MCTS 1 δεῖν supplevi cf p 240, 9 4 ἐπεὶ S v οὕτω S v 10 περινοίαις MCT 15 ἀληθεῖ v 16 σοφιστικῶς MS v: φυσικῶς CT 20 ποιεῖ: πονεῖ nescio unde Oehler 21-22 ἐγκαταμιχθὲν S v: καταμιχθὲν MCT 22 πραγματευομένου om T 28 τούτῳ om M κατειργάσαντο M τῷ: τὸ C 29 τῶ μηδὲ CT 30 θεοπρεπῶς περὶ αὐτοῦ S v

λέγεσθαι· εἰ γὰρ οὔτε υἱὸς οὔτε θεὸς ἐξ ἀληθείας, ἀλλ'
ἐκ καταχρήσεως τούτων ἑκάτερον, πάντως ὅτι καὶ τὰ
λοιπὰ τῶν ὀνομάτων, οἷς παρὰ τῆς θείας γραφῆς ὀνομά-
59 ζεται, τῆς ἀληθείας κεχώρισται. οὐ γὰρ δὴ τὸ μὲν ἀλη-
θῶς ἐπ' αὐτοῦ ῥηθήσεται, τὸ δὲ ἀμοιρήσει τῆς ἀληθείας,
ἀλλὰ πάντως ἀλλήλοις ἀκολουθήσει τὰ πάντα, ὥστε εἰ
μὲν ἀληθῶς εἴη θεός, καὶ κριτὴν καὶ βασιλέα καὶ τὰ
καθ' ἕκαστον τῶν λεγομένων εἶναι ὡς λέγεται, εἰ δὲ ἡ
θεότης ψεύδοιτο, μηδὲ ἄλλο τι τῶν περὶ αὐτοῦ ἀληθεύειν.
πεισθέντων τοίνυν τῶν ἠπατημένων τὸ ψευδώνυμον ἐπὶ τοῦ
μονογενοῦς εἶναι τὴν τῆς θεότητος κλῆσιν, τὸ μηδὲ λα-
τρεύειν μηδὲ σεβάζεσθαι μηδὲ ὅλως τὴν θεῷ χρεωστου-
μένην ἀπονέμειν τιμὴν συγκατεσκευάσθη.
60 Ἵνα τοίνυν ἐνεργὸς αὐτοῖς ἡ κατὰ τοῦ σωτῆρος ἐπι-
χείρησις γένηται, ταύτην εὕραντο τῆς βλασφημίας τὴν
μέθοδον. συμβουλεύουσι μὴ δεῖν τὴν ἐν τοῖς ἄλλοις ὀνό-
μασι κοινωνίαν ἐπισκοπεῖν, δι' ὧν τὸ ὁμότιμον τῆς ἀξίας
τοῦ υἱοῦ πρὸς τὸν πατέρα διασημαίνεται, ἀλλ' ἐκ τῆς τοῦ
ἀγεννήτου πρὸς τὸ γεννητὸν ἀντιθέσεως τὸ παρηλλαγμένον
τῆς φύσεως συλλογίζεσθαι· τοῦτο γὰρ εἶναι τὴν θείαν φύσιν,
61 ὅπερ σημαίνει τὸ τῆς ἀγεννησίας ὄνομα. εἶτα πάντων ἀν-
θρώπων τῶν γε νοῦν ἐχόντων ἀμήχανον εἶναι λογιζομένων
δυνάμει τινὶ ῥημάτων τὴν ἄφραστον φύσιν ἐξαγγελθῆναι,
οὔτε τῆς γνώσεως ἡμῶν τοσοῦτον ἐκτεινομένης, ὡς εἰς τὰ
ὑπερέκεινα τῶν γινωσκομένων φθάνειν, οὔτε τῆς τῶν
λόγων ὑπηρεσίας τοσαύτην δύναμιν ἐν ἡμῖν κεκληρωμένης,
ὡς ἱκανὴν εἶναι τὸ νοηθὲν ἐξαγγεῖλαι, εἴπερ τι καὶ ὅλως
ὑψηλόν τε καὶ θεῖον ἐπὶ νοῦν ἔλθοι, πάλιν οἱ σοφοὶ οὗτοι
πολλὴν ἀβελτερίαν καὶ τῆς λογικῆς ἐπιστήμης ἀπειρίαν
τῶν πολλῶν καταψηφιζόμενοι αὐτοί τε εἰδέναι διαβεβαιοῦνται
ταῦτα καὶ οἷς ἂν ἐθέλωσι δύνασθαι τὴν περὶ τούτων ἐμ-

MCTS 2 πάντως δὲ ὅτι CT 5 αὐτῶ S 7 τὰ om v 9 ἀληθεύει v 11 τὸ: τῷ S v 13 συγκατεσκεύασται v 14 ἐνεργὴς v 15 εὕροντο v 21-22 πάντων τῶν ἀνθρώπων v 25 ὑπερέκεινα MC: ὑπερεπέκεινα TS v 27 καὶ ante ὅλως om S v 31 ταῦτα: ταύτην v

62 ποιῆσαι γνῶσιν. καὶ διὰ τοῦτο λέγουσι μηδὲν ἕτερον εἶναι
τὴν θείαν φύσιν πλὴν τὴν ἀγεννησίαν αὐτήν, καὶ ταύ-
την κυριωτάτην καὶ ἀνωτάτω προσαγορεύοντες ἅπαν
τὸ μεγαλεῖον τῆς θεότητος τῇ φωνῇ ταύτῃ ἐγκατακλείουσιν·
ὡς ἐκ τούτου κατασκευάζεσθαι, εἰ ἡ ἀγεννησία τὸ κυριώ-
τατον τῆς οὐσίας ἐστὶ καὶ τὰ λοιπὰ τῶν θεοπρεπῶν ὀνο-
μάτων ταύτῃ συνήρτηται, ἡ θεότης, ἡ ἀφθαρσία, ἡ δύνα-
μις καὶ τὰ ἄλλα πάντα, εἰ οὖν ταῦτα καὶ τὰ τοιαῦτα ἡ
ἀγεννησία ἐστί, πάντως εἴ τι τοῦτο μὴ λέγεται, οὐδὲ
63 ἐκεῖνα ἔσται. ὡς γὰρ τὸ λογικὸν καὶ τὸ γελαστικὸν καὶ
τὸ ἐπιστήμης δεκτικὸν ἴδιον τοῦ ἀνθρώπου ἐστίν, εἰ δέ τι
μή ἐστιν ἄνθρωπος, οὐδὲ ἐν τοῖς ἰδιώμασι πάντως ἔσται
τῆς φύσεως, οὕτως εἴπερ ἀγεννησία ἐστὶν ἡ ἀληθινὴ
θεότης, ᾧ τὸ ὄνομα τοῦτο μὴ πρόσεστιν, οὐδὲ ἄλλο τι τῶν
τὴν θεότητα χαρακτηριζόντων τούτῳ πάντως ἐφευρεθήσεται.
τῆς οὖν ἀγεννησίας περὶ τὸν υἱὸν μὴ λεγομένης, τὸ μηδὲ
τὰ λοιπὰ πάντα τῶν ὑψηλῶν τε καὶ θεοπρεπῶν ὀνομάτων
64 ἐπ' αὐτοῦ κυρίως λέγεσθαι κατεσκευάσθη. τοῦτο οὖν εἶναι
932 M. τὴν κατάληψιν τῶν θείων μυστηρίων ὁρίζονται, τὸ ἀθε-
τεῖσθαι τοῦ υἱοῦ τὴν θεότητα, μονονουχὶ φανερῶς ἐμβοῶντες
παντὶ τῷ τὴν ἀκοὴν ὑπέχοντι ὅτι σοὶ ἔξεστι τελείῳ κατὰ
τὴν γνῶσιν εἶναι, μὴ πιστεύοντι τῷ μονογενεῖ θεῷ, ὅτι ἐστὶν
ἀληθῶς θεός, μὴ τιμῶντι τὸν υἱὸν καθὼς τιμᾶται ὁ πατήρ,
μὴ υἱὸν ἀλλὰ κτίσμα κατὰ τὴν φύσιν εἶναι νομίζοντι, μὴ
κύριον, μὴ δεσπότην, ἀλλὰ δοῦλον καὶ ὑποχείριον. πρὸς
τοῦτο γὰρ βλέπει τὸ πέρας τῆς συμβουλῆς, κἂν ἑτέροις
ῥήμασιν ἡ βλασφημία περικαλύπτηται.
65 Διὰ ταῦτα ποικίλως κατὰ τὴν προτέραν λογογραφίαν ἐμπυρ-
ριχίζων τῇ τῶν σοφισμάτων στροφῇ καὶ διαφόρως τεχνολογῶν
τὸ ἀγέννητον, ἐκκλέπτει τὴν διάνοιαν τῶν εὐεξαπατήτων,

MCTS 3 ἀνωτάτην v προσαγορεύσαντες CT ἅπαν: καὶ πᾶν CT 7-8 ἡ δύναμις ἡ ἀφθαρσία v 9 τι om S v 10 ἐστίν v 17 πάντα om MCT 18 οὖν om T 20 μονονοὺ S v ἐμβοῶντος S 23 θεὸς ἀληθῶς S v 24 κατὰ om A 30 ἐξαπατήτων v

ἐν οἷς φησιν· οὐκοῦν εἰ μήτε κατ' ἐπίνοιαν μήτε
κατὰ στέρησιν μήτε ἐν μέρει, ἀμερὴς γάρ, μήτε
ἐν αὐτῷ ὡς ἕτερον, <ἁπλοῦς γὰρ καὶ ἀσύνθετος,
μήτε παρ' αὐτὸν ἕτερον>, εἷς γὰρ καὶ μόνος ἀγέννη-
66 τος, αὐτὸ ἂν εἴη οὐσία ἀγέννητος. συνιδὼν τοίνυν ὁ
διδάσκαλος ἡμῶν τὴν ἐκ τῆς ἀπάτης ἐγγινομένην τοῖς
παρακρουσθεῖσι ζημίαν, ὅτι αὐτῆς ἐστι τῆς εἰς τὸν κύριον
ὁμολογίας παράβασις ἡ περὶ τοῦ μὴ εἶναι αὐτὸν ἀληθῶς
θεὸν συγκατάθεσις, εἰς ὅπερ ἡ τῶν ῥημάτων τούτων ἀκολουθία
καταστρέφει τὸ δόγμα, διὰ τοῦτο τὸ μὲν ὡς μέρος μὴ
ἐπιλέγεσθαι τῷ θεῷ τὴν ἀγεννησίαν οὐκ ἀντιλέγει, ἁπλοῦν τε
καὶ ἄποσον καὶ ἀμέγεθες καὶ ἀσύνθετον καὶ αὐτὸς συνομολο-
γῶν εἶναι τὸ θεῖον, τὸ δὲ κατ' ἐπίνοιαν μὴ δεῖν ἐπ' αὐτοῦ
τὴν ἐπωνυμίαν λέγεσθαι ταύτην καὶ ἀντιλέγει καὶ ἀποδείκνυ-
σιν· οἷς οὐκ ἐμμένων ὁ λογογράφος πάλιν ἡμῖν τὴν παρ'
ἑαυτοῦ σοφίαν ἀντικαθίστησιν ἐν τῷ δευτέρῳ τῶν λόγων,
τοῖς περὶ τῆς ἐπινοίας εἰρημένοις ἀντιμαχόμενος.
67 Καιρὸς δ' ἂν εἴη λοιπὸν καὶ αὐτῆς μνησθῆναι τῆς εἰς
τοῦτο κατασκευῆς, τοσοῦτον ὑπειπόντας μόνον. οὐκ ἔστιν
ἐν ἀνθρωπίνῃ φύσει δύναμις εἰς ἀκριβῆ κατανόησιν οὐσίας
θεοῦ· τάχα δὲ μικρόν ἐστιν ἐπὶ μόνης ἀποφήνασθαι τοῦτο
τῆς ἀνθρωπίνης δυνάμεως, ἀλλὰ καὶ τὴν ἀσώματον κτίσιν
ἐλάττονά τις εἰπὼν ἢ ὥστε χωρῆσαι καὶ περιλαβεῖν τῇ
γνώσει τὴν ἀόριστον φύσιν οὐ τοῦ παντὸς ἁμαρτήσεται.
68 οἷον ἔστιν ἐπὶ τῶν καθ' ἡμᾶς ὑποδειγμάτων κατανοῆσαι,
ὅτι πολλῶν ὄντων καὶ διαφόρων τῶν διὰ σαρκὸς τὴν ζωὴν
εἰληχότων, τῶν μὲν πτηνῶν τῶν δὲ χερσαίων, τό τε ὑπερ-

1 sq Eun apol cp 8 (p 844 A-B), citat haec verba Eunomii ex prima Apologia sumpta etiam Basilius c Eun I 11

MCTS 3 ὡς ἕτερον MTS: ἐστιν ἕτερον C v 3-4 verba ἁπλοῦς—ἕτερον homoeoteleuto omissa supplevi ex Eun apol cp 8 3 καὶ ἀσύνθετος om Basilius (cf supra testim) sed ne Gregorium haec Eunomii verba ex Basilio sumpsisse putaveris 5 αὐτὸς v 6 ἀπάτης: ἀνάγκης v 13 εἶναι om M 14 ὁμωνυμίαν CT 17 ῥηθεῖσιν S v 18 αὐτῆς correxi: αὐτοῖς 20-21 θεοῦ οὐσίας S v 23 καὶ om CT 25 ὑπονοῆσαι v ut vid S

νεφὲς ἐν τῇ τῶν πτερῶν δυνάμει γενόμενον καὶ τὸ τοῖς κοίλοις ἐγκαθιδρυμένον καὶ ἐμφωλεῦον εἰ μὲν πρὸς ἄλληλα κρίνοιντο, οὐκ ὀλίγον ἂν ἀφεστάναι δόξειε τοῦ χερσαίου τὸ ἐναέριον, εἰ δὲ πρὸς τὰ ἄστρα καὶ τὴν ἀπλανῆ σφαῖραν ἡ σύγκρισις εἴη, οὐδὲν ἔλαττον κεχωρίσθαι τοῦ οὐρανοῦ τὸ μετεωροποροῦν διὰ πτήσεως τῶν περὶ γῆν νομισθήσεται
69 ζῴων. οὕτως καὶ ἡ τῶν ἀγγέλων δύναμις τῷ μὲν ἡμετέρῳ συγκρινομένη πάμπολυ προέχειν δοκεῖ, ὅτι οὐδεμιᾶς αἰσθήσεως ἐνοχλούσης γυμνῇ τε καὶ ἀπαρακαλύπτῳ τῇ γνωστικῇ
933 M. δυνάμει τῶν ὑψηλῶν ἐπορέγεται· εἰ δὲ πρὸς τὸ μεγαλεῖον τοῦ ὄντως ὄντος καὶ ἡ ἐκείνων κατάληψις ἐξετάζοιτο, τάχα ὁ τολμήσας εἰπεῖν μὴ πόρρω τῆς ἡμετέρας βραχύτητος καὶ τὴν ἐκείνων δύναμιν ἀφεστάναι τῆς θείας κατανοήσεως οὐκ ἔξω τοῦ εἰκότος ἀποτολμήσει. πολὺ γὰρ τὸ μέσον καὶ ἀδιεξίτητον, ᾧ πρὸς τὴν κτιστὴν οὐσίαν ἡ ἄκτιστος φύσις
70 διατετείχισται. αὕτη πεπεράτωται, ἐκείνη πέρας οὐκ ἔχει· αὕτη τοῖς ἰδίοις μέτροις κατὰ τὸ ἀρέσαν τῇ σοφίᾳ τοῦ πεποιηκότος ἐμπεριείληπται, τῆς δὲ μέτρον ἡ ἀπειρία ἐστίν· αὕτη διαστηματικῇ τινι παρατάσει συμπαρεκτείνεται, καὶ χρόνῳ καὶ τόπῳ περιειργομένη, ἐκείνη ὑπερεκπίπτει πᾶσαν διαστήματος ἔννοιαν, καθ' ὅπερ ἄν τις ἐπιβάλλῃ τὸν νοῦν, κατ' ἐκεῖνο τὴν πολυπραγμοσύνην ἐκφεύγουσα· ἐν ταύτῃ τῇ ζωῇ καὶ ἀρχὴν τοῖς οὖσι καὶ τέλος ἔστιν ἐπινοῆσαι, ἡ δὲ ὑπὲρ τὴν κτίσιν μακαριότης οὔτε ἀρχὴν οὔτε τέλος προσίεται, ἀλλ' ὑπὲρ τὸ ἐν ἑκατέρῳ σημαινόμενον πέφυκεν ἀεὶ ὡσαύτως ἔχουσα καὶ ἐφ' ἑαυτῆς βεβηκυῖα, οὐ διαστηματικῶς ἔκ τινος εἴς τι τῇ ζωῇ διοδεύουσα· οὔτε γὰρ μετουσίᾳ ζωῆς ἑτέρας ἐν τῷ ζῆν γίνεται, ὡς ἀκόλουθον εἶναι καὶ πέρας καὶ ἀρχὴν τῆς μετουσίας νοεῖσθαι, ἀλλ' αὐτὸ ὅπερ ἐστὶ ζωή ἐστιν ἐν ἑαυτῇ ἐνεργουμένη, οὔτε μείζων

MCTS 2 ἐγκαθιδρυμένον correxi: καθιδρυμένον 3 κρίνοιτο M ὑφεστάναι C δόξῃ S v 7 μέτρῳ post ἡμετέρῳ add CS τὸ ἡμέτερον est 'natura nostra', μέτρῳ iteratum videtur ex ἡμετέρῳ 18 ἐστίν om S v 21 ἐπιβάλῃ M 27-28 μετουσίᾳ scripsi: μετουσία 29 τῆς om v 30 ἐν αὐτῇ S ἐν αὐτῷ v

οὔτε ἐλάττων ἐκ προσθήκης ἢ ὑφαιρέσεως γίνεται. ἡ μὲν γὰρ εἰς τὸ μεῖζον ἐπαύξησις ἐν τῷ ἀπείρῳ χώραν οὐκ ἔχει, τῆς δὲ κατὰ τὴν ἐλάττωσιν ἐπινοίας τὸ κατὰ φύσιν
71 ἀπαθὲς ἀνεπίδεκτον. ὥσπερ δὲ τὸν οὐρανὸν ὁρῶντες καὶ τρόπον τινὰ διὰ τῶν ὁρατικῶν αἰσθητηρίων τοῦ κατὰ τὸ ὕψος ἐφαπτόμενοι κάλλους εἶναι μὲν τὸ φαινόμενον οὐκ ἀμφιβάλλομεν, τὸ δὲ τί ἐστιν ἐρωτηθέντες διερμηνεῦσαι τῷ λόγῳ τὴν φύσιν οὐκ ἔχομεν, θαυμάζομεν δὲ μόνον τὴν ἐγκύκλιον τοῦ παντὸς ὁρῶντες περιφορὰν καὶ τῶν πλανητῶν τὴν ἐναρμόνιον ἐπὶ τὸ ἔμπαλιν κίνησιν κύκλον τέ τινα τὸν λεγόμενον ζῳοφόρον κατὰ τὸ λοξὸν ἐγκεχαραγμένον τῷ πόλῳ, ᾧ τὴν κίνησιν τῶν κατὰ τὸ ἐναντίον ἀνειλουμένων παρατηροῦσιν οἱ ταῦτα σοφοί, φωστήρων τε διαφορὰς κατά τε τὰ μεγέθη καὶ τὰς τῶν αὐγῶν ἰδιότητας ἐπιτολάς τε καὶ δύσεις κατὰ τὴν ἐγκύκλιον τοῦ ἔτους περίοδον ἐπὶ τῶν αὐτῶν ἀεὶ καιρῶν γινομένας ἀπαραβάτως, συνόδους τε τῶν πλανωμένων καὶ ὑποδρομὰς τῶν ὑποβεβηκότων καὶ ἐκλείψεις τῶν ὑπερκειμένων καὶ γῆς ἀποσκιάσεις καὶ ἀποκαταστάσεις τῶν ἐκλειπόντων τήν τε πολυειδῆ τῆς σελήνης ἀλλοίωσιν καὶ τοῦ ἡλίου τὴν ἐπὶ τοῦ μέσου τῶν πόλων κίνησιν, καὶ ὡς ἀνάπλεως ὢν τοῦ ἰδίου φωτὸς καὶ ταῖς ἀκτῖσιν ἐν κύκλῳ καταστεφὴς πάντα τε τῇ φωτιστικῇ δυνάμει περιπτυσσόμενος ἔστιν ὅτε καὶ αὐτὸς ἐκλείπει, τοῦ σεληναίου σώματος ὥς φασιν ἐπιπροσθοῦντος, καὶ ὡς κατὰ τὸ βούλημα τοῦ διατάξαντος ἀεὶ τὸν ἴδιον δρόμον ἀνύων περιπορεύεται διὰ τῆς τεταγμένης προόδου καὶ ὑποβάσεως, τὰς τέσσαρας τοῦ ἔτους ὥρας ἐν ἑαυταῖς ἀνελίσσων, ταῦτα ὁρῶντες εἶναι μὲν τὰ φαινόμενα δι' ὧν ὁρῶμεν οὐκ ἀμφιβάλλομεν, οὐσίας δὲ λόγον ἑκάστου τῶν ὄντων τοσοῦτον ἀπέχομεν κατανοῆσαι, ὅσον εἰ μηδὲ τὴν ἀρχὴν τῇ αἰσθήσει

MCTS 1 γινομένη S v 3 κατὰ φύσιν S v, om MCT 7-8 τῷ λόγῳ om M 12 εἰλουμένων S v 14 τῶν om v 15 τὴν om M 21 καὶ ante ὡς om v 22 ὡς ἐν κύκλω T 24 σεληνιαίου CTS 25 τὸ om MCT ἴδιον om CT 29 λόγων v τοσοῦτον τῶν ὄντων S v

τὸ φανὲν ἐγνωρίσαμεν· οὕτω καὶ τὸν ποιητὴν τοῦ κόσμου
ὅτι μὲν ἔστιν οἴδαμεν, τὸν δὲ τῆς οὐσίας λόγον ἀγνοεῖν οὐκ
ἀρνούμεθα.
72 Οἱ δὲ γινώσκειν ταῦτα κομπάζοντες πρότερον μὲν περὶ
936 M. τῶν ὑποβεβηκότων εἰπάτωσαν, τί τὸ οὐράνιον οἴονται σῶμα,
τίνα δὲ τὴν κυκλοφοροῦσαν διὰ παντὸς μηχανήν, ἐν τίνι δὲ
τὴν κίνησιν γίνεσθαι; ὅπερ γὰρ ἄν τις τῇ διανοίᾳ λογίσηται,
πάντως εἰς τὸ ἀμήχανόν τε καὶ ἀκατάληπτον ὁ λογισμὸς
73 προϊὼν καταλήξει. εἴ τε γὰρ ἕτερον ὁμοιοσχημάτιστον
σῶμα λέγοι τις ἐν τύπῳ περιηρμοσμένον περικρατεῖν τὴν
φοράν, ὡς ἀεὶ τὸν δρόμον καμπτόμενον ὁμοιοτρόπως περὶ
ἑαυτὸν ἑλίσσεσθαι, τῇ ἀνάγκῃ τοῦ περιέχοντος ἐξενεχθῆναι
πρὸς τὸ εὐθὺ κωλυόμενον, πῶς ἐρεῖ διαμένειν ταῦτα τὰ
σώματα, διὰ τῆς διηνεκοῦς τρίψεως ἐν ἀλλήλοις οὐ δαπανώ-
74 μενα; πῶς δὲ καὶ ἐνεργεῖται ἡ κίνησις, δύο σωμάτων ὁμο-
φυῶν πρὸς τύπον ἀλλήλοις ἐναρμοττόντων, ὅταν τὸ ἕτερον
ἀκίνητον μένῃ; τῇ γὰρ ἀκινησίᾳ τοῦ περιδεδραγμένου τὸ
ἐντὸς διασφιγγόμενον ἀδυνατήσει πάντως πρὸς τὴν ἰδίαν
ἐνέργειαν. τί δὲ καὶ τὸ ἑδράζον τοῦ περιέχοντος ἐκείνου
τὴν παγιότητα, ὥστε διαμένειν ἄσειστον, ὑπὸ τῆς τοῦ ἐνηρ-
75 μοσμένου κινήσεως μὴ τινασσόμενον; εἰ δὲ κἀκείνου κατὰ
τὴν πολυπραγμοσύνην τῆς διανοίας εἶναί τις ἕδρα ὑπο-
ληφθείη ἡ συντηροῦσα ἐν τῷ παγίῳ τὴν στάσιν, πάντως
προϊὼν κατὰ τὸ ἀκόλουθον ὁ λόγος κἀκείνης πολυπραγμο-
νήσει βάσιν τῆς βάσεως καὶ ταύτης ἄλλην καὶ τῆς ἐφεξῆς
ἑτέραν καὶ οὕτω διὰ τῶν ὁμοίων ἡ ἐξέτασις ἀνιοῦσα πρὸς
τὸ ἄπειρον ἐνεχθήσεται καὶ εἰς ἄπορον καταλήξει, τοῦ εἰς
τὴν τοῦ παντὸς σύστασιν ὑποβεβλημένου σώματος τὸ ἐπέ-
κεινα πάλιν κατεξετάζουσα, ὡς μηδαμοῦ στῆναι τὸν λόγον

MCTS 4 μὲν om MS v 5 ὑποβεβηκότων MS: βεβηκότων C ἐπιβεβηκότων T v 6 δὲ post τίνα om S v 8 πάντως MS v: παντὸς CT 10 λέγοιτο v 12 ἀνελίσσεσθαι S ἀνειλίσσεσθαι v 15 ἀσωμάτων CT 16 ἐναρμοττομένων v 19 καὶ om T 20 τῆς om v 27 ἄπειρον CTv: ἄπορον MS τοῦ εἰς MCT: τοῦ κατὰ τὸ ἔσχατον εἰς S v 28 τοῦ ante παντὸς om M 28-29 τὸ ἐπέκεινα τούτων πάλιν S v

76 τοῦ ἀεὶ περιέχοντος τὴν περιβολὴν ζητοῦντα. ἀλλὰ τοῦτο
μὲν οὐχί· κενὸν δέ τι κατὰ τὴν ματαίαν τῶν ταῦτα πεφι-
λοσοφηκότων ὑπόνοιαν τοῖς οὐρανίοις περικέχυται νώτοις
καὶ τούτῳ ἐνολισθαίνουσα τοῦ παντὸς ἡ δίνησις πρὸς ἑαυ-
τὴν ἀναστρέφει, μηδεμίαν ἐκ στερεοῦ τινος ἀντιτυπίαν εὑ-
ρίσκουσα τὴν δυναμένην ἐξ ἀντιβάσεως στῆσαι καὶ ἀνα-
κόψαι προϊοῦσαν ἐν κύκλῳ τὴν κίνησιν. τί τοίνυν ἐστὶ τὸ
κενὸν ἐκεῖνο, ὃ μήτε σῶμά φασι μήτε νόημα, καὶ μέχρι
τίνος ἱστάμενον, καὶ τί τὸ διαδεχόμενον; τίς δὲ τοῦ ναστοῦ
καὶ ἀντιτύπου ἡ πρὸς τὸ κενὸν καὶ ἀνυπόστατον ἐκεῖνο
συγγένεια; τί τὸ μεσιτεῦον τοῖς παρηλλαγμένοις τῇ φύσει;
77 πῶς δὲ διὰ τῶν ἑτεροφυῶν ἡ τοσαύτη τοῦ παντὸς εὐαρ-
μοστία συνίσταται; τί δ' ἄν τις εἴποι τὸν οὐρανὸν αὐτὸν
εἶναι, μίγμα τι τῶν περιεχομένων στοιχείων ἢ ἓν ἐξ ἀπάν-
των ἢ ἄλλο τι παρὰ ταῦτα; τί δὲ τοὺς ἀστέρας αὐτούς,
πόθεν δὲ αὐτοῖς τὴν αὐγὴν ἀποστίλβειν τί οὖσαν καὶ ὅπως
συνισταμένην; τῆς δὲ διαφορᾶς αὐτῶν κατά τε τὸ κάλλος
καὶ τὸ μέγεθος ὁ λόγος τίς; τοὺς δὲ ἐντὸς ἑπτὰ κύκλους
τὴν ἐναντίαν τῷ παντὶ κίνησιν περιαγομένους τί εἶναι, ὑπὸ
ποίας ἀνάγκης ἐλαύνεσθαι; τὸ δὲ ἄϋλον ἐκεῖνο καὶ αἰθέ-
ριον πῦρ καὶ ὁ ἐγκεχυμένος διὰ μέσου ἀὴρ οἷόν τι διατεί-
χισμα γινόμενος τῆς θερμαντικῆς τε καὶ ἀναλωτικῆς φύ-
σεως πρὸς τὴν ὑγρὰν καὶ εὐανάλωτον; καὶ ὅπως κατὰ τὸ
937 M. ἔσχατον ἡ γῆ τῷ παντὶ ὑποβέβληται; τί τὸ φυλάσσον ἔχει
ἐν τῷ βεβαίῳ τὴν στάσιν; τί τὸ ὑπερεῖδον αὐτῆς τὴν ἐπὶ
τὸ κάτω φοράν; εἰ ταῦτα καὶ τὰ τοιαῦτά τις ἡμᾶς κατεξ-
ετάζοι, ἆρά τις ἔσται τοσοῦτον ἀνεστηκὼς τὴν διάνοιαν
ὥστε καθυποσχέσθαι τῶν τοιούτων τὴν γνῶσιν; οὐδὲν γὰρ
ἕτερον εἰς ἀπόκρισιν τοῖς εὐγνώμοσιν ἢ τοῦτο λείπεται, ὅτι
ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας μόνος οἶδε τὸν λόγον τῆς

MCTS 9 δεχόμενον T 15 παρὰ: περὶ v 18 τὸ ante μέγεθος om S v ὁ ante λόγος om v 19 ἢ ante ὑπὸ S v 22 γενόμενος S v 23 εὐανάλωτον v: εὐάλωτον libri 24 ἔχει MCT: om S v 26-27 ἐξεστηκὼς malim 27 τὴν διάνοιαν om v 29 ἕτερον om v

κτίσεως. ἡμεῖς δὲ Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ, καθώς φησιν ὁ ἀπόστολος.

79 Εἰ οὖν ἡ κάτω κτίσις ἡ μέχρι τῶν αἰσθητηρίων τῶν ἡμετέρων φθάνουσα ὑπὲρ τὰ μέτρα τῆς ἀνθρωπίνης ἐστὶ γνώσεως, πῶς ὁ μόνῳ θελήματι τὸ πᾶν συστησάμενος ἐντὸς τῆς ἡμετέρας ἐστὶ καταλήψεως; ματαιότης ταῦτα καὶ μανία ψευδής, καθώς φησιν ὁ προφήτης, τὸ οἴεσθαι δυνατὴν εἶναί τινι τὴν τῶν ἀλήπτων περίνοιαν. οὕτως ἔστιν ἰδεῖν μικρὰ νήπια διὰ τὴν ἐκ τῆς ἡλικίας ἄγνοιαν παίζοντά τε ὁμοῦ
80 καὶ σπουδάζοντα. πολλάκις γὰρ ἀκτῖνος ἡλιακῆς διὰ θυρίδος αὐτοῖς εἰσρυείσης περιχαρέντα τῷ κάλλει πρὸς τὸ φαινόμενον ἵεται καὶ φέρειν φιλονεικεῖ διὰ χειρὸς τὴν ἀκτῖνα καὶ διαμάχεται πρὸς ἄλληλα καὶ περιδράσσεται τοῦ φωτός, τῇ περιβολῇ τῶν δακτύλων, ὡς οἴεται, τὴν αὐγὴν ἐνδησάμενα· ἀλλὰ διαλυθείσης τῶν δακτύλων τῆς ἐμπλοκῆς γέλωτα ποιεῖ τοῖς νηπίοις καὶ κρότον διαρρυεῖσα τῶν χειρῶν
81 ἡ τῆς ἀκτῖνος λαβή. οὕτω καὶ τὰ τῆς ἡμετέρας γενεᾶς παιδία, καθώς φησιν ἡ παραβολή, ταῖς ἀγοραῖς ἐγκαθήμενα παίζει· οἱ τὴν θείαν δύναμιν διὰ τῶν τῆς προνοίας λόγων καὶ τῶν ἐν τῇ κτίσει θαυμάτων ταῖς ψυχαῖς ἐλλάμπουσαν βλέποντες οἷον ἀκτῖνά τινα καὶ θερμότητα τῆς ἡλιακῆς ἀπορρέουσαν φύσεως οὐχὶ θαυμάζουσι τὴν χάριν καὶ προσκυνοῦσι τὸν διὰ τούτων νοούμενον, ἀλλ' ὑπερβάντες τὸ χωρητὸν τῇ ψυχῇ ταῖς τῶν σοφισμάτων λαβαῖς τοῦ ἀναφοῦς περιδράσσονται καὶ κρατεῖν οἴονται διὰ τῶν συλλογισμῶν, εἴπερ οἴονται· διασχόντος δὲ τοῦ λόγου καὶ διαπτύξαντος τὴν τῶν σοφισμάτων πλοκὴν εὑρίσκεται τοῖς νοῦν
82 ἔχουσι τὸ ἀπειλημμένον οὐδέν. οὕτω μικροπρεπῶς τε καὶ βρεφικῶς τοῖς ἀμηχάνοις ἐμματαιάζοντες οἷόν τινι παλάμῃ παιδικῇ τὴν ἀπερινόητον τοῦ θεοῦ φύσιν ταῖς ὀλίγαις συλ-

1 Hebr 11, 3   6 Ps 39, 5   17 Matth 11, 16

MCTS 3 ἡ ante κάτω om v   αἰσθήσεων S v   5 μόνος T   15 ἐνδυσάμενα T   20 ἐν τῇ κτίσει om S v   26 εἴπερ correxi: ἅπερ

λαβαῖς τῆς ἀγεννησίας ἐναποκλείουσι καὶ συναγορεύουσι τῇ παρανοίᾳ καὶ οἴονται τοσοῦτον καὶ τοιοῦτον εἶναι τὸ θεῖον, ὡς ἀνθρωπίνῳ λογισμῷ δύνασθαι διὰ μιᾶς προσηγορίας ἐμπεριείργεσθαι, καὶ ταῖς μὲν τῶν ἁγίων φωναῖς ἀκολουθεῖν σχηματίζονται, αὐτῶν δὲ ἐκείνων ὑπεραίροντες
83 ἑαυτοὺς οὐ δεδοίκασιν. ἃ γὰρ οὐδεὶς τῶν μακαρίων ἀνδρῶν εἰρηκὼς ἐπιδείκνυται, ὧν τις καὶ λόγος ἐν ταῖς θείαις βίβλοις ἀνάγραπτος φέρεται, ταῦτα οὗτοι, καθώς φησιν ὁ ἀπόστολος, μὴ εἰδότες μήτε ἃ λέγουσι καὶ περὶ ὧν διατείνονται, ὅμως αὐτοί τε εἰδέναι φασὶ καὶ τοῖς ἄλλοις καθηγεῖσθαι τῆς εἰδήσεως μεγαλαυχοῦσι. καὶ διὰ τοῦτο τὸν μονογενῆ θεὸν μὴ ἀληθῶς εἶναι ὃ λέγεται κατει-
940 M. ληφέναι διϊσχυρίζονται. ἡ γὰρ τῶν συλλογισμῶν ἀνάγκη τοῦτο κελεύει.

84 Ὡς δείλαιοι τῆς ἀγχινοίας, ὡς δυστυχὴς αὐτοῖς καὶ ὀλέθριος ἡ περιττὴ καὶ κατεσκεμμένη φιλοσοφία. τίς οὕτω κατὰ σπουδὴν αὐτομολεῖ πρὸς τὸ βάραθρον, ὡς οὗτοι πόνῳ καὶ σπουδῇ τὸν λάκκον ἑαυτοῖς τῆς βλασφημίας ὠρύξαντο; ὅσῳ τῷ μέτρῳ τῆς ἐλπίδος τῶν Χριστιανῶν ἀφωρίσθησαν· οἵῳ χάσματι πρὸς τὴν σῴζουσαν πίστιν διετειχίσθησαν· ὅσον τῶν κόλπων τοῦ πατρὸς τῆς πίστεως
85 Ἀβραὰμ ἀπῳκίσθησαν. ἐκεῖνος, εἰ δεῖ κατὰ τὴν τοῦ ἀποστόλου μεγαλοφυΐαν ἀλλάξαντα τὴν φωνὴν ἀλληγορικῶς τὸν νοῦν τῆς ἱστορίας κατανοῆσαι, μενούσης δηλαδὴ καὶ τῆς ἱστορικῆς ἀληθείας, ἐξῆλθε διὰ θείου προστάγματος τῆς ἰδίας γῆς καὶ τῆς καθ' ἑαυτὸν συγγενείας ἔξοδον ἀνδρὶ προφήτῃ πρὸς θεοῦ κατανόησιν ἐπειγομένῳ πρέ-
86 πουσαν. οὐ γάρ μοι δοκεῖ τοπική τις μετάστασις τῶν

8 I Tim 1, 7   20-21 διετειχίσθησαν] cf Philo de migr Abraham: § 158   22 Rom 4, 11 sq

MCTS 3 ἀνθρωπικῷ S v   6 ἑαυτούς: αὐτούς v   9 μήτε post εἰδότες om M sed cf I Tim 1,7   16 περιττὴ καὶ om S v   19 ἐλπίδος: μερίδος T   21 τῆς πίστεως om T τῆς πίστεως τοῦ πατρὸς S v   28 τις τοπικὴ μετάστασις S τοπικὴ μετανάστασις v

νοητῶς εὑρισκομένων προξενεῖν τὴν κατάληψιν. ἀλλ' αὐτὸς ἑαυτοῦ καὶ τῆς ἰδίας γῆς, τοῦ ταπεινοῦ λέγω καὶ γηΐνου φρονήματος, ἔξω γενόμενος καὶ ὑπεράρας ὡς οἷόν τε ἦν τῶν κοινῶν τῆς φύσεως ὅρων ἑαυτοῦ τὴν διάνοιαν καὶ καταλιπὼν τῆς ψυχῆς τὴν πρὸς τὰς αἰσθήσεις συγγένειαν, ὡς μηδενὶ τῶν κατ' αἴσθησιν προφαινομένων διοχλούμενος πρὸς τὴν κατανόησιν τῶν ἀοράτων ἀμαυρωθῆναι, μήτε ἀκοῆς περιηχούσης μήτε ὄψεως ἐν τοῖς φαινομένοις τὴν διάνοιαν διαπλανώσης, καθώς φησιν ὁ ἀπόστολος, διὰ πίστεως περιπατῶν, οὐ διὰ εἴδους, εἰς τοσοῦτον ἐπήρθη τῇ μεγαλοφυΐᾳ τῆς γνώσεως, ὥστε ὅρος νομισθῆναι τῆς ἀνθρωπίνης τελειώσεως, τοσοῦτον γνοὺς τὸν θεόν, ὅσον ἦν δυνατὸν τὴν βραχεῖαν καὶ ἐπίκηρον ταύτην δύναμιν ὑπερταθεῖσαν χω-
87 ρῆσαι. τοιγαροῦν καὶ ὁ πάσης κτίσεως κύριος, ὥσπερ τι εὕρημα τοῦ πατριάρχου γενόμενος, ἰδίως θεὸς τοῦ Ἀβραὰμ ὀνομάζεται. ἀλλ' ὅμως τί φησι περὶ ἐκείνου ὁ λόγος; ὅτι ἐξῆλθεν οὐκ ἐπιστάμενος ποῦ ἀπέρχεται, ἀλλ' οὐδὲ τὸ ὄνομα τοῦ ἀγαπωμένου μαθεῖν χωρήσας οὔτε μὴν τῇ ἀγνοίᾳ
88 ταύτῃ δυσανασχετῶν τε καὶ αἰσχυνόμενος. τοῦτο μὲν οὖν αὐτῷ καὶ ἡ ἀσφαλὴς ἦν πρὸς τὸ ζητούμενον ὁδηγία, τὸ μηδενὶ τῶν προχείρων εἰς κατανόησιν ἐν ταῖς περὶ τοῦ θεοῦ διανοίαις χειραγωγεῖσθαι μηδέ τινι ὅλως τῶν καταλαμβανομένων ἐνσείσασαν αὐτοῦ ποτε τὴν διάνοιαν στῆναι
89 τῆς εἰς τὸ ἐπέκεινα τῶν γινωσκομένων πορείας. ἀλλ' ὥσπερ τὴν ἐγχώριον αὐτοῦ σοφίαν, τὴν Χαλδαϊκὴν λέγω φιλοσοφίαν, μέχρι τῶν φαινομένων ἑστῶσαν τῷ λογισμῷ διαβὰς καὶ ὑψηλότερος τῶν διὰ τῆς αἰσθήσεως γινωσκομένων γενόμενος ἐκ τοῦ κάλλους τῶν θεωρουμένων καὶ ἐκ τῆς εὐαρμοστίας τῶν οὐρανίων θαυμάτων τὸ πρωτότυπον κάλλος

1-2 hic verba οὕτω νοεῖ καὶ Φίλων in marg habet C 9 II Cor 5, 7 24 cf Philo de migr Abraham: § 177 sq

MCTS 2-3 τοῦ γηΐνου τε καὶ ταπεινοῦ λέγω φρονήματος v 9 ἀντιπλανώσης CT 20 ἦν post 19 οὖν collocat T 20 πρὸς om v 21-22 τοῦ ante θεοῦ om S 23 αὐτῷ v ποτε om T πώποτε ante στῆναι add T 29 ἀτύπωτον v

ἰδεῖν ἐπεθύμησεν, οὕτω καὶ τὰ ἄλλα πάντα, ὅσα προϊὼν τῷ λογισμῷ κατελάμβανεν, εἴτε δύναμιν εἴτε ἀγαθότητα εἴτε τὸ ἀνάρχως εἶναι εἴτε τὸ πρὸς οὐδὲν πέρας ὁρίζεσθαι εἴτε τι τοιοῦτον ἕτερον νόημα περὶ τὴν θείαν φύσιν εὑρίσκεται, πάντα ἐφόδια πρὸς τὴν ἄνω πορείαν καὶ ὑποβάθρας
941 M. ποιούμενος καὶ ἀεὶ τοῖς εὑρισκομένοις ἐπερειδόμενος καὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος καὶ τὰς καλὰς ἐκείνας ἀναβάσεις, καθώς φησιν ὁ προφήτης, ἐν τῇ καρδίᾳ διατιθέμενος καὶ πᾶν τὸ καταλαμβανόμενον ὑπὸ τῆς ἰδίας δυνάμεως ὡς τοῦ ζητουμένου μικρότερον ὑπερβαίνων, ἐπειδὴ πᾶσαν ἐν ταῖς περὶ τοῦ θεοῦ ὑπολήψεσι τὴν ἐξ ὀνόματος γινομένην τῆς φύσεως εἰκασίαν παρέδραμεν, ἐκκαθήρας τὸν λογισμὸν τῶν τοιούτων ὑπονοιῶν ἀμιγῆ τε καὶ καθαρὰν πάσης ἐννοίας τὴν πίστιν ἀναλαβών, τοῦτο σημεῖον ἐποιήσατο τῆς τοῦ θεοῦ ἐπιγνώσεως ἀπλανές τε καὶ ἔκδηλον, τὸ κρείττω καὶ ὑψηλότερον παντὸς γνωριστικοῦ σημείου τὸν θεὸν εἶναι πιστεῦσαι.

90 Διά τοι τοῦτο μετὰ τὴν ἐπιπεσοῦσαν ἐκείνην ἔκστασιν ἐκ τῶν ὑψηλῶν θεαμάτων πάλιν εἰς τὴν ἀνθρωπίνην κατακύψας ἀσθένειαν Ἐγὼ δέ εἰμι, φησί, γῆ καὶ σποδός, τουτέστιν ἄφωνός τε καὶ ἀνενέργητος ὡς πρὸς τὴν τοῦ νοηθέντος
91 ἀγαθοῦ ἑρμηνείαν. ἡ γὰρ γῆ δοκεῖ μοι καὶ ἡ τέφρα τὸ ἄψυχον καὶ τὸ ἄγονον ἅμα διασημαίνειν, καὶ οὕτω νόμος πίστεως γίνεται τῷ μετὰ ταῦτα βίῳ, διδάσκων τῇ κατ' αὐτὸν ἱστορίᾳ τοὺς τῷ θεῷ προσιόντας ὅτι οὐκ ἔστιν ἄλλως προσεγγίσαι θεῷ, μὴ πίστεως μεσιτευούσης καὶ συναπτούσης δι' ἑαυτῆς τὸν ἐπιζητοῦντα νοῦν πρὸς τὴν ἀκατά-
92 ληπτον φύσιν. καταλιπὼν γὰρ τὴν ἐκ τῆς γνώσεως πολυπραγμοσύνην Ἐπίστευσε, φησίν, Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. οὐκ ἐγράφη δὲ δι'

7 Ps 83,6 20 Gen 18,27 29 Gen 15,6 30-31 Rom 4,23

MCTS 1 ἐπιθυμήσας T 7 καὶ om S v 8-9 τιθέμενος T 10 ἐπεὶ S v 11 τοῦ om M 12 ἐκκαθάρας MT cf 266, 16 22-23 τὸ ἄγονον καὶ τὸ ἄψυχον S

ἐκεῖνον, ὁ ἀπόστολος λέγει, ἀλλὰ δι' ἡμᾶς, ὅτι τὴν
πίστιν, οὐχὶ τὴν γνῶσιν ὁ θεὸς εἰς δικαιοσύνην τοῖς ἀνθρώ-
93 ποις λογίζεται. ἡ μὲν γὰρ γνῶσις ὥσπερ ἐμπειρικήν τινα
τὴν διάθεσιν ἔχει, μόνῳ τῷ γινωσκομένῳ συντιθεμένη, ἡ δὲ
τῶν Χριστιανῶν πίστις οὐχ οὕτως· οὐ γὰρ τῶν γινωσκο-
μένων, ἀλλὰ τῶν ἐλπιζομένων ἐστὶν ὑπόστασις. τὸ δὲ δια-
κρατούμενον οὐκ ἐλπίζεται· Ὃ γὰρ ἔχει τις, φησί, τί καὶ
ἐλπίζει; τὸ δὲ διαφεῦγον τὴν κατανόησιν ἡμῶν ἡμέτερον ἡ
πίστις ποιεῖ, διὰ τῆς ἰδίας βεβαιότητος ἐγγυωμένη τὸ μὴ
φαινόμενον. οὕτω γάρ φησι περὶ τοῦ πιστοῦ ὁ ἀπόστολος
ὅτι Τὸν ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε. μάταιος οὖν ὁ διὰ
γνώσεως τῆς μάτην φυσιούσης ἐπιγνῶναι τὴν θείαν οὐσίαν
94 δυνατὸν εἶναι λέγων. οὔτε γὰρ ἄνθρωπος οὕτω μέγας ὥστε
ἐξισῶσαι τῷ κυρίῳ τὴν καταληπτικὴν ἑαυτοῦ δύναμιν (Τίς
γὰρ ἐν νεφέλαις ἰσωθήσεται τῷ κυρίῳ; φησὶν ὁ Δαβίδ)
οὔτε οὕτω μικρὸν τὸ ζητούμενον ὥστε ὑπὸ λογισμῶν ἀν-
θρωπίνης βραχύτητος περιληφθῆναι. ἄκουε τοῦ ἐκκλη-
σιαστοῦ συμβουλεύοντος μὴ ἐξενεγκεῖν ῥῆμα πρὸ προσώπου
θεοῦ, ὅτι ὁ θεός, φησίν, ἐν τῷ οὐρανῷ ἄνω καὶ σὺ ἐπὶ
95 τῆς γῆς κάτω. δείκνυσι δέ, οἶμαι, διὰ τῆς τῶν στοιχείων
τούτων πρὸς ἄλληλα οἰκειώσεως, μᾶλλον δὲ διαστάσεως,
ὅσον ὑψηλοτέρα ἡ θεία φύσις τῆς τῶν ἀνθρωπίνων λογισμῶν
περινοίας. ὅσον γὰρ ἀνώτερα τὰ ἄστρα τῆς τῶν δακτύλων
ἀφῆς, τοσοῦτον μᾶλλον δὲ πολλαπλάσιον καὶ ἡ πάντα νοῦν
ὑπερέχουσα φύσις τῶν λογισμῶν τῶν γηΐνων ὑπερανέστηκεν.
96 οὐκοῦν μαθόντες, ὅσον τῆς φύσεως τὸ διαλλάττον ἐστί, τοῖς
944 M. ἰδίοις ὅροις δι' ἡσυχίας ἐμμένωμεν. ἀσφαλέστερον γὰρ ἅμα
καὶ εὐσεβέστερον πλέον τοῦ νοουμένου τὸ μεγαλοπρεπὲς
εἶναι τοῦ θεοῦ πιστεύειν ἢ τισιν ὑπονοίαις τὴν δόξαν αὐτοῦ
περιγράψαντα μηδὲν ὑπὲρ ἐκεῖνο οἴεσθαι.

5 Hebr 11, 1   7 Rom 8,24   11 Hebr 11,27   12 cf I Cor 8, 1
14 Ps 88, 7   18 Eccl 5,1

MCTS 2-3 λογίζεται τοῖς ἀνθρώποις S v   3 ὥσπερ: ὡς S v
ἐμπορικήν MCS v   21 verba οἰκειώσεως, μᾶλλον δὲ om MCT
30 περιγράψαντας v

97 Καὶ ἄλλως δ' ἄν τις ἀσφαλὲς εἶναι φήσειεν ἀπολυ-
πραγμόνητον ἐᾶν τὴν θείαν οὐσίαν ὡς ἀπόρρητον καὶ ἀνέπ-
αφον λογισμοῖς ἀνθρωπίνοις. τὸ μὲν γὰρ τῶν ἀδήλων
καταστοχάζεσθαι καί τινα τῶν ἀποκρύφων γνῶσιν ἐξ ἐπι-
νοίας ἀνθρωπίνων λογισμῶν ἐρευνᾶσθαι πάροδον καὶ ἀκο-
λουθίαν καὶ ταῖς διεψευσμέναις τῶν ὑπολήψεων δίδωσιν,
διότι τῶν ἀγνοουμένων ὁ στοχασμὸς οὐ μόνον τὸ ἀληθές,
ἀλλὰ καὶ αὐτὸ πολλάκις τὸ ψεῦδος ὡς ἀληθὲς ὑπολήψεται.
98 ὁ δὲ τῶν εὐαγγελίων καὶ τῆς προφητείας μαθητὴς ὅτι
μὲν ἔστιν ὁ ὢν ἐξ ὧν ἀκήκοέ τε τῶν ἁγίων καὶ διὰ τῆς τῶν
φαινομένων εὐαρμοστίας καὶ τῶν τῆς προνοίας ἔργων πι-
στεύει, τί δὲ καὶ ὅπως ἐστὶν ὡς ἀνωφελὲς ἅμα καὶ ἀνή-
νυτον οὐκ ἐξετάζων οὐδεμίαν δώσει τῷ ψεύδει κατὰ τῆς
99 ἀληθείας τὴν εἴσοδον. ἐν μὲν γὰρ τῷ πολυπραγμονεῖν καὶ
ὁ παραλογισμὸς χώραν εὑρίσκει, πάσης δὲ πολυπραγμο-
σύνης ἀργούσης συναποκόπτεται πάντως καὶ ἡ τοῦ διαμαρ-
τάνειν ἀνάγκη. καὶ ὅτι ἀληθὴς ὁ λόγος, πάρεστιν ἐκ τού-
του μαθεῖν. πῶς αἱ τῶν ἐκκλησιῶν αἱρέσεις εἰς ποικίλας
καὶ διαφόρους τὰς περὶ θεοῦ ὑπολήψεις ἀπεπλανήθησαν,
ἄλλου κατ' ἄλλην τινὰ τῆς διανοίας κίνησιν ἑαυτὸν ἀπατή-
σαντος; πῶς αὐτοὶ οὗτοι περὶ ὧν ὁ λόγος ἐστὶ περὶ τὸ
100 βάραθρον τοῦτο τῆς ἀσεβείας κατώλισθον; ἆρ' οὐχὶ πᾶσιν
ἀσφαλέστερον ἦν κατὰ τὴν συμβουλὴν τῆς σοφίας μὴ ζη-
τεῖν τὰ βαθύτερα, ἀλλὰ δι' ἡσυχίας τὴν ἁπλῆν τῆς πί-
στεως παρακαταθήκην ἄσυλον ἑαυτοῖς ἀσφαλίζεσθαι; ἀλλ'
ἐπειδὴ ὅλως ἀρχὴν ἔλαβεν ἡ τῶν ἀνθρώπων οὐθένεια τοῖς
ἀπερινοήτοις ἐμβατεύειν εἰκῇ καὶ δόγμασι κρατύνειν τὰ τῆς
ματαίας αὐτῶν οἰήσεως παρευρήματα, ἐντεῦθεν ὁ πολὺς

23 Sap Sir 3,21

MCTS 1 δ' ἄν τις: οὐδ' ἄν τις v   3 ἀνθρωπίνοις λογισμοῖς S v
5 ἀνθρωπίνων om MCT   5-6 ἀκόλουθον v   7 ἐστοχασμένος v
11-12 ἀνήνυτον: ἀνόνητον v   14 τὴν ante εἴσοδον om M   15 ὁ
ante παραλογισμὸς om v   16-17 διαμαρτεῖν v   19 περὶ τοῦ
θεοῦ S v   21 ἐστὶ om S v   22 κατωλίσθησαν S   26 ἐπεὶ S v
οὐθένεια: ἀσθένεια T et ut vid in phot C   28 οἰήσεως αὐτῶν v

κατάλογος τῶν τῇ ἀληθείᾳ προσπολεμούντων, καὶ αὐτοὶ
οὗτοι περὶ ὧν ὁ λόγος ἐστὶν οἱ δογματισταὶ τῆς ἀπάτης
ἀναπεφήνασιν οἱ εἰς περιγραφήν τινα τὸ θεῖον ἄγοντες,
μονονουχὶ φανερῶς εἰδωλοποιοῦντες ἑαυτῶν τὴν ὑπόνοιαν ἐν
τῷ τὴν ἐμφαινομένην τῇ ἀγεννησίᾳ διάνοιαν ταύτην θεο-
ποιεῖν, ὡς οὐχὶ κατά τινα λόγον ἐπιθεωρουμένην τῇ θείᾳ
101 φύσει, ἀλλ' αὐτὴν οὖσαν θεὸν ἢ οὐσίαν θεοῦ. καίτοι γε
ἴσως ἐχρῆν πρὸς τὸν τῶν ἁγίων χορὸν ἀποβλέποντας, τοὺς
προφήτας λέγω καὶ πατριάρχας, οἷς πολυμερῶς καὶ πολυ-
τρόπως ὁ τῆς ἀληθείας ἐνεφθέγξατο λόγος, καὶ μετὰ ταῦτα
τοὺς αὐτόπτας τε καὶ ὑπηρέτας γενομένους τοῦ λόγου, δυσ-
ωπηθῆναι μὲν τὴν ἀξιοπιστίαν τῶν ὑπ' αὐτοῦ μαρτυρη-
θέντων τοῦ πνεύματος, ἐμμένειν δὲ τοῖς ὅροις τῆς ἐκείνων
διδασκαλίας καὶ γνώσεως καὶ μὴ ἐπιτολμᾶν τούτοις, ὧν ἡ
102 τῶν ἁγίων κατάληψις οὐκ ἐφήψατο. ἐκεῖνοι γὰρ ἀγνοού-
μενον τέως τὸν θεὸν τῇ ἀνθρωπίνῃ ζωῇ διὰ τὴν ἐπικρα-
τοῦσαν τότε περὶ τὰ εἴδωλα πλάνην ἐμφανῆ καὶ γνώριμον
τοῖς ἀνθρώποις ποιοῦντες ἔκ τε τῶν θαυμάτων, ἃ τοῖς παρ'
αὐτοῦ γεγενημένοις ἐμφαίνεται, καὶ ἐκ τῶν ὀνομάτων, δι' ὧν
945 M. τὸ ποικίλον τῆς θείας δυνάμεως κατανοεῖται, πρὸς τὴν
σύνεσιν τῆς θείας φύσεως χειραγωγοῦσι, τὴν μεγαλοπρέ-
πειαν μόνην τῶν περὶ τὸν θεὸν θεωρουμένων τοῖς ἀνθρώ-
ποις γνωρίζοντες· τὸν δὲ τῆς οὐσίας λόγον ὡς οὔτε δυνατὸν
χωρηθῆναι οὔτε τι φέροντα τοῖς πολυπραγμονοῦσι τὸ κέρδος
103 ἄρρητον ἀφῆκαν καὶ ἀνεξέταστον. καὶ γὰρ καὶ τὰ ἄλλα
πάντα ὅτι μὲν γέγονε διηγήσαντο, οὐρανὸν γῆν θάλασσαν
χρόνους αἰῶνας καὶ τὴν ἐν τούτοις κτίσιν, ὅ τι δὲ τούτων
ἕκαστον καὶ ὅπως καὶ ὅθεν ἀπεσιώπησαν· οὕτω καὶ περὶ
τοῦ θεοῦ Ὅτι μὲν ἔστι καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαπο-
δότης γίνεται, συμβουλεύουσι πείθεσθαι, τὴν δὲ φύσιν αὐτὴν

10 Hebr 1,1 29 Hebr 11,6

MCT(S) 11-12 καὶ δυσωπ. v 15 ἐφήσατο v 16 τῇ ἀν. ζωῇ τ. θεὸν S v 24 χωρισθῆναι C 25 *inde ab* ἀνεξέταστον *omnino deficit S* 25-26 ἄλλα μὲν πάντα T 29 τοῦ om v αὐτὸν om CT

ὡς ὑπὲρ πᾶν οὖσαν ὄνομα οὔτε ὠνόμασαν οὔτε ἠμέλλησαν.
104 εἰ γάρ τι πρὸς δήλωσιν τῆς θείας κατανοήσεως μεμαθή-
καμεν ὄνομα, πάντα ταῦτα κοινωνίαν ἔχει καὶ ἀναλογίαν
πρὸς τὰ τοιαῦτα τῶν ὀνομάτων, ἃ τοῦ τινὸς ἀνθρώπου τὴν
ἰδιότητα δείκνυσιν. ὡς γὰρ οἱ τὸν ἀγνοούμενον διά τινων
γνωρισμάτων δηλοῦντες εὐπατρίδην αὐτόν, ἂν οὕτω τύχῃ,
καὶ τῶν εὖ γεγονότων λέγουσιν εἶναι καὶ λαμπρὸν ἐν πλούτῳ
καὶ ἐν ἀξίᾳ περίβλεπτον ἀνθοῦντά τε τῇ ὥρᾳ καὶ ἐπὶ τόσον
διανεστηκότα τῷ σώματι, καὶ τὰ τοιαῦτα λέγοντες οὐ τὴν
φύσιν τοῦ δηλουμένου, ἀλλά τινα γνωρίσματα τῶν περὶ
αὐτὸν γινωσκομένων ἐδήλωσαν (οὔτε γὰρ τὸ εὐγενὲς οὔτε
τὸ πολυχρήματον οὔτε τὸ περιφανὲς τοῦ ἀξιώματος οὔτε τὸ
κατὰ τὴν ὥραν περίβλεπτον ἡ ἀνθρωπότης ἐστίν, ἀλλ'
105 ἕκαστον τούτων περὶ τὸν τινὰ θεωρεῖται)· οὕτως καὶ πᾶσαι
φωναὶ <αἱ> παρὰ τῆς ἁγίας γραφῆς εἰς δοξολογίαν θείαν
ἐξευρημέναι τῶν περὶ τὸν θεόν τι δηλουμένων ἀποσημαί-
νουσιν, ἰδίαν ἔμφασιν ἑκάστη παρεχομένη, δι' ὧν ἢ τὸ
δυνατὸν ἢ τὸ τοῦ χείρονος ἀνεπίδεκτον ἢ τὸ μὴ ἐξ αἰτίας
εἶναι ἢ τὸ μὴ εἰς περιγραφὴν τέλους ἔρχεσθαι ἢ τὸ κατὰ
πάντων ἔχειν τὸ κράτος ἢ ὅλως τι τῶν περὶ αὐτὸν διδασκό-
μεθα· αὐτὴν δὲ τὴν οὐσίαν ὡς οὔτε διανοίᾳ τινὶ χωρητὴν
οὔτε λόγῳ φραστὴν ἀπολυπραγμόνητον εἴασε, σιωπῇ τιμᾶσθαι
νομοθετήσασα ἐν τῷ κωλύειν τῶν βαθυτέρων τὴν ζήτησιν
καὶ ἐν τῷ λέγειν μὴ δεῖν ἐξενεγκεῖν ῥῆμα πρὸ προσώπου
θεοῦ.
106 Διὰ τοῦτο πᾶσάν τις θεόπνευστον φωνὴν ἐρευνώμενος
οὐκ ἂν εὕροι τῆς θείας φύσεως τὴν διδασκαλίαν οὐδὲ μὴν
ἄλλου τινὸς τῶν κατ' οὐσίαν ὑφεστηκότων· ὅθεν ἐν ἀγνοίᾳ
πάντων διάγομεν πρῶτον ἑαυτοὺς ἀγνοοῦντες οἱ ἄνθρωποι,

24 Eccl 5,1 26 sq haec omnis disputatio neoplatonicorum de animae facultatibus sapit librum

MCT 1 ἠμέλλησαν scripsi: ἠμέλησαν MCT v 6 εὐπατρίδα v 8 τοσοῦτον M 9 διανεστῶτα v 13 ὁ ἄνθρωπος v 14 τούτων om M 15 αἱ addidi παρὰ om v 16-17 ὑποσημαίνουσιν CT 27 οὐδὲ v: οὔτε MCT

107 ἔπειτα δὲ καὶ τὰ ἄλλα πάντα. τίς γάρ ἐστιν ὃς τῆς ἰδίας
ἑαυτοῦ ψυχῆς ἐν καταλήψει γεγένηται, τίς ὁ ἐπιγνοὺς αὐτῆς
τὴν οὐσίαν, ὑλική τίς ἐστιν ἢ ἄϋλος, καθαρῶς ἀσώματος
ἤ τι καὶ σωματοειδὲς περὶ αὐτὴν θεωρεῖται, πῶς γίνεται
πῶς κίρναται, πόθεν εἰσκρίνεται πῶς ἀφίσταται, τί τὸ συν-
δεσμοῦν καὶ μεσιτεῦον ἔχει πρὸς τὴν τοῦ σώματος φύσιν,
πῶς ἡ ἀναφής τε καὶ ἀσχημάτιστος ἰδίᾳ τινὶ περιγραφῇ
περιείληπται, τίς ἡ κατὰ τὰς ἐνεργείας διαφορά, πῶς ἡ
948 M. αὐτὴ καὶ ὑπὲρ τὸν οὐρανὸν ἀνατείνεται τῇ πολυπραγμοσύνῃ
τῶν ἀοράτων καὶ πρὸς τὰ ὑλικὰ πάθη κατολισθαίνει τῷ
βάρει τοῦ σώματος καθελκομένη, θυμόν τε καὶ φόβον,
λύπην τε καὶ ἡδονήν, ἔλεον καὶ ἀπήνειαν, ἐλπίδα καὶ μνή-
μην, δειλίαν καὶ θράσος, φιλίαν καὶ μῖσος καὶ πάντα τὰ
108 ἐναντίον ἐν ταῖς δυνάμεσι τῆς ψυχῆς ἐνεργούμενα; τίς ἄρα
κατανοήσας οὐκ ἐλογίσατο, μή τινα δῆμον ψυχῶν ἐν ἑαυτῷ
συγκεκροτημένον ἔχοι, πάμπολυ τῶν εἰρημένων ἑκάστου
πρὸς τὰ λοιπὰ διαφέροντος καί, καθ' ὃ ἂν ἐπικρατῇ, τὴν
κατὰ πάντων ἔχοντος δυναστείαν, ὡς καὶ αὐτὸ τὸ λογιστικὸν
ταῖς ἐπικρατήσεσι τῶν τοιούτων κινημάτων ὑποκύπτειν καὶ
ὑποτάσσεσθαι καὶ τὴν παρ' ἑαυτοῦ συνεργίαν πρὸς τὰς τοι-
αύτας ὁρμὰς οἷον δεσπότῃ τινὶ τυραννικῶς συνεισφέρειν;
109 τὸ οὖν πολυμερὲς καὶ πολυειδὲς τοῦτο τῶν κατὰ ψυχὴν
νοουμένων τίς ὁ διδάξας ἡμᾶς ἐκ τῆς θεοπνεύστου γραφῆς
λόγος, πότερον ἕν τί ἐστιν ἐξ ἁπάντων συγκεκραμένον, καὶ
τίς ἡ τῶν ἐναντίων πρὸς ἄλληλα κρᾶσις καὶ σύμπνοια, ὡς
110 ἓν πρᾶγμα τὰ πολλὰ γενέσθαι; ἀλλ' ἕκαστον τούτων κατ'
ἰδίαν νοούμενον οἷον ἐν πολυχώρῳ τινὶ ἀγγείῳ τῇ ψυχῇ
κατακέκλεισται; καὶ πῶς οὐκ ἀεὶ πάντων ὡς ἐγκειμένων
τὴν αἴσθησιν ἔχομεν, θαρροῦντες ἅμα καὶ δειλαινόμενοι
μισοῦντές τε κατὰ ταὐτὸν καὶ ἡδόμενοι καὶ τῶν ἄλλων πάν-
των συγκεχυμένην καὶ ἀναμεμιγμένην ἔνδον τὴν κίνησιν

MCT 2 γένηται CT   4 θεωρεῖται om v   8 ἡ ante κατὰ om v   11 θυμόν τε v: θυμὸν δὲ MCT   14 ἐν om v   16 συγκεκροτημένων v   19 ὑποκύπτειν: ὑποπίπτειν v   25 κρᾶσις καὶ om MCT   30 κατ' αὐτὸν v

ἔχοντες, ἀλλ' ἀνὰ μέρος αὐτῶν τὴν δυναστείαν ἐπιγινώσκο-
μεν, ὅταν ἐπικρατήσῃ τι τούτων ἡσυχαζόντων τῶν ἄλλων;
111 τίς δὲ ὅλως καὶ ἡ σύνθεσις καὶ ἡ διάθεσις αὕτη καὶ ἡ
πολύκενος ἐν ἡμῖν εὐρυχωρία, ὥστε ἑκάστῳ τὴν ἰδίαν
χώραν ἀποταχθῆναι οἷόν τισι μέσοις διατειχίσμασι κωλυο-
μένῳ πρὸς τὴν ἐπιμιξίαν τοῦ γείτονος; αὐτὸ δὲ τοῦτο, εἰ
κατ' οὐσίαν ὑφέστηκεν ὁ θυμὸς ἢ ὁ φόβος ἢ καὶ τὰ λοιπὰ
τῶν εἰρημένων ἤ τινες ἀνυπόστατοι κινήσεις τυγχάνουσι, τίς
112 ὁ διερμηνεύσας λόγος; εἰ μὲν γὰρ ὑφεστήκασιν, οὐ μία
ψυχή, καθὼς εἴρηται, ἀλλά τι συγκρότημα ψυχῶν ἐν ἡμῖν
περιείληπται, ἑκάστου τούτων εἰς ἰδιάζουσαν καὶ περιγε-
γραμμένην ψυχὴν ἀποκεκριμένου. εἰ δέ τινα κίνησιν ἀνυ-
πόστατον οἴεσθαι χρὴ ταῦτα εἶναι, πῶς κατακρατεῖ καὶ
δυναστεύει ἡμῶν τὸ ἀνύπαρκτον καθάπερ ἐκ τυραννίδος
ἡμᾶς δουλωσάμενον, ὅτιπερ ἂν τούτων κατακρατῆσαν τύχῃ;
113 καὶ εἰ νοητόν τί ἐστιν ἡ ψυχή, πῶς ἐν τῷ νοητῷ θεωρεῖται
τὸ πολυμερές τε καὶ σύνθετον, ἰδίως τῆς τοιαύτης ἐννοίας
παρὰ τὰς σωματικὰς ταύτας ποιότητας θεωρουμένης; ἡ
δὲ αὐξητικὴ δύναμις τῆς ψυχῆς ἥ τε ὀρεκτικὴ καὶ θρε-
πτικὴ καὶ ἀλλοιωτικὴ καὶ τὸ πάντα μὲν τὰ τοῦ σώματος
τρέφεσθαι, μὴ διὰ πάντων δὲ διήκειν τὴν αἴσθησιν, ἀλλ'
ἐπίσης τοῖς ἀψύχοις ἔνια τῶν ἐν ἡμῖν ἀμοιρεῖν τῆς αἰσθή-
σεως, ὀστέων καὶ χόνδρων ὀνύχων τε καὶ τριχῶν καὶ τρε-
114 φομένων καὶ οὐκ αἰσθανομένων; τὴν οὖν ἡμιτελῆ τῆς
949 M. ψυχῆς ἐπὶ τούτων ἐνέργειαν τίς ὁ κατανοήσας, εἰπέ μοι;
115 Καὶ τί περὶ τῆς ψυχῆς λέγω; ἀλλ' οὐδὲ τῆς σαρκὸς
αὐτῆς τὸ τὰς σωματικὰς ἀναδεδεγμένον ποιότητας ἐναργεῖ τινι
καταλήψει μέχρι τοῦ δεῦρο τεθήραται. ἐὰν γάρ τις τῷ λόγῳ
τὸ φαινόμενον εἰς τὰ ἐξ ὧν σύγκειται διαλύσῃ καὶ ψιλώσας
τῶν ποιοτήτων ἐφ' ἑαυτοῦ κατανοῆσαι φιλονικήσῃ τὸ ὑπο-
116 κείμενον, τί καταλειφθήσεται τῇ θεωρίᾳ, οὐ συνορῶ. ὅταν γὰρ
ἀφέλῃς τοῦ σώματος τὸ χρῶμα, τὸ σχῆμα, τὴν ἀντιτυπίαν,

MCT 3-4 ἡ ante πολύκενος om v   5 μέσοις καὶ διατειχίσμασι v   15 τύχοι M   18 ταύτας om MCT   27 τὸ om v   ἀναδεδειγμένον v   30 φιλονικήσῃ correxi: φιλονεικήσῃ libri v   32 ἀφέλη v

τὸ βάρος, τὴν πηλικότητα, τὴν ἐπὶ τόπου θέσιν, τὴν κίνησιν,
τὴν παθητικήν τε καὶ ἐνεργητικὴν διάθεσιν, τὸ πρός τί
πως ἔχειν, ὧν ἕκαστον οὐδὲν ἐφ' ἑαυτοῦ σῶμά ἐστι, περὶ
δὲ τὸ σῶμα τὰ πάντα, τί λοιπὸν ἔσται, ὃ τὸν τοῦ σώματος
δέχεται λόγον, οὔτε δι' ἑαυτῶν συνιδεῖν ἔχομεν οὔτε παρὰ
117 τῆς γραφῆς μεμαθήκαμεν. ὁ δ' ἑαυτὸν ἀγνοῶν πῶς ἄν τι
τῶν ὑπὲρ ἑαυτὸν ἐπιγνοίη; καὶ ὁ τῇ περὶ ἑαυτοῦ ἀγνοίᾳ
προειθισμένος ἆρ' οὐχὶ φανερῶς δι' αὐτοῦ τούτου διδά-
σκεται πρὸς μηδὲν τῶν ἔξωθεν ἀποκεκρυμμένων ξενίζεσθαι;
διὰ τοῦτο καὶ τὰ τοῦ κόσμου στοιχεῖα τῇ μὲν αἰσθήσει
τοσοῦτον γινώσκομεν, ὅσον τὸ ἀφ' ἑκάστου χρήσιμον πρὸς
τὴν ζωὴν ἡμῶν δέχεσθαι, τὸν δὲ τῆς οὐσίας αὐτῶν λόγον
118 οὔτε ἐμάθομεν οὔτε τὸ μὴ εἰδέναι ζημίαν ποιούμεθα. τί
γάρ μοι πολυπραγμονεῖν τοῦ πυρὸς τὴν φύσιν, πῶς ἐκτρί-
βεται, πῶς ἐξάπτεται, πῶς τῆς παρακειμένης δρασσόμενον
ὕλης οὐ πρότερον ἀποχωρεῖ πρὶν διαφαγεῖν καὶ ἐξαναλῶσαι
τὸ ὑποκείμενον, πῶς λανθάνει ὁ σπινθὴρ τῷ λίθῳ ἐγκεί-
μενος, πῶς ψυχρὸς ὢν τοῖς ἁπτομένοις ὁ σίδηρος ἀπογεννᾷ
τὴν φλόγα, πῶς τριβόμενα πρὸς ἑαυτὰ τὰ ξύλα πῦρ ἀνα-
δίδωσι, πῶς ἀπαυγάζον ἐν ἡλίῳ τὸ ὕδωρ φλόγα ποιεῖ, τῆς
τε ἐπὶ τὸ ἄνω φορᾶς τὴν αἰτίαν καὶ τὴν ἀεικίνητον δύναμιν
καὶ πάντα τὰ τοιαῦτα παρέντες πολυπραγμονεῖν τε καὶ
ἐξετάζειν μόνον τὸ ἀπ' αὐτοῦ χρήσιμον εἰς τὸν βίον ἑαυτῶν
ἐνοήσαμεν, εἰδότες ὅτι οὐδὲν ἔλαττον ἔχει τοῦ πολυπραγμο-
νοῦντος ὁ ἀπραγμόνως τὴν ὠφέλειαν δεχόμενος.

119 Διὰ τοῦτο ὡς περιττόν τε καὶ ἀνωφελὲς τὸ περὶ τῆς
οὐσίας τῶν γεγονότων ἀδολεσχεῖν ἡ γραφὴ παρῆκε. καί
μοι δοκεῖ ὁ τῆς βροντῆς υἱὸς Ἰωάννης ὁ τῇ μεγαλοφωνίᾳ
τῶν κατ' αὐτὸν δογμάτων ὑπερηχήσας τὰ προλαβόντα κη-
ρύγματα τοῦτο νοήσας ἐπὶ τέλει τῆς εὐαγγελικῆς ἱστορίας

MCT 2 διάθεσιν om v 2-3 πρός τι πῶς ἔχῃ T 7 ἑαυτὸν CM ἑ.. τὸν T αὐτὸν v ἑαυτοῦ: αὐτοῦ C v 12 αὐτῶν v om MCT 16 διαφυγεῖν C 19-20 ἀναδίδωσι MC ἀποδίδωσι T ἀνάπτουσιν v 20 αὐγάζον M 23 μόνον τὸ: μόνον τὸν T αὐτῶν v 26 ὥσπερ περιττόν v τε: τι v 28 δοκεῖ ὅτι v

εἰπεῖν ὅτι πολλά ἐστι τὰ ὑπὸ τοῦ κυρίου γεγενημένα Ἅτινα,
φησίν, ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον
χωρῆσαι τὰ γραφόμενα βιβλία, οὐ πάντως ταῦτα λέγων τὰ
120 κατὰ τὰς ἰάσεις θαύματα· τούτων γὰρ οὐδὲν ἀφῆκεν ἀμνη-
μόνευτον ἡ ἱστορία, εἰ καὶ μὴ ἐπ' ὀνόματος πάντων τῶν
τεθεραπευμένων τὴν μνήμην πεποίηται· ὅταν γὰρ λέγῃ
νεκροὺς ἐγείρεσθαι, τυφλοὺς ἀναβλέπειν, κωφοὺς ἀκούειν,
χωλοὺς περιπατεῖν, καὶ πάλιν ἰᾶσθαι πᾶσαν μαλακίαν,
οὐδὲν διὰ τούτων ἀνιστόρητον τῶν θαυμάτων ἀπέλιπε, ταῖς
καθολικαῖς ἐννοίαις ἐμπεριλαβὼν τὰ καθ' ἕκαστον· ἀλλ'
ἐκεῖνο τάχα τῷ βάθει τῆς γνώσεως ὁ εὐαγγελιστὴς λέγει,
952 M. ὅτι τὸ μεγαλεῖον τοῦ υἱοῦ τοῦ θεοῦ οὐκ ἐκ τῶν διὰ σαρκὸς
121 θαυματοποιηθέντων μόνον γινώσκειν χρή· μικρὰ γὰρ ταῦτα
ὡς πρὸς τὴν λοιπὴν μεγαλουργίαν ἐξεταζόμενα. σὺ δὲ
ἀνάβλεψον εἰς τὸν οὐρανόν, ἰδὲ τὰ ἐν αὐτῷ κάλλη, μετέ-
νεγκε τὴν διάνοιαν ἐπὶ τὸ πλάτος τῆς γῆς, ἐπὶ τὰ βάθη
τοῦ ὕδατος, πάντα τὸν κόσμον τῇ διανοίᾳ λαβὼν καὶ τὴν
ὑπερκόσμιον φύσιν τῷ λογισμῷ κατανοήσας, ταῦτα γνῶθι
τὰ ἀληθινὰ τοῦ σοι διὰ σαρκὸς ἐπιδημήσαντος ἔργα, ἅτινα,
φησίν, ἐὰν καθ' ἕκαστον γράφηται τὸ τί καὶ ὅπως καὶ
ὅθεν καὶ πόσον, ὑπὲρ τὸ χώρημα τοῦ κόσμου τῆς περὶ
122 αὐτοῦ τοῦ κόσμου διδασκαλίας ἔσται τὸ πλῆθος. ἐπειδὴ
γὰρ τὰ πάντα ὁ θεὸς ἐν σοφίᾳ ἐποίησεν, ὅρον δὲ ἡ τοῦ
θεοῦ σοφία οὐκ ἔχει (Τῆς γὰρ συνέσεως αὐτοῦ, φησίν, οὐκ
ἔστιν ἀριθμός), ὁ τοῖς ἰδίοις μέτροις πεπερασμένος κόσμος
οὐ χωρήσει ἐν ἑαυτῷ τῆς ἀορίστου σοφίας τὸν λόγον. εἰ
οὖν ὁ κόσμος ὅλος ἐλάττων ἐστὶν ἢ ὥστε τὴν διδασκαλίαν
τῶν ἔργων τοῦ κυρίου χωρῆσαι, πόσοι κόσμοι χωρήσουσιν
123 τὴν περὶ τοῦ θεοῦ τῶν ὅλων διήγησιν; τάχα γὰρ οὐδὲ ἡ
βλάσφημος ἀρνήσεται γλῶσσα τὸ ἀπειροπλασίονα εἶναι τὸν

1-2 Joh 21,25 6 cf Matth 11,5 Luc 7,21 24 Ps 146,5

MCT 1 εἶπεν v 3 πάντως: πάντα v 3-4 τὰ ante κατὰ om v 8 ἰάσασθαι v πᾶσαν νόσον καὶ add ante πᾶσαν T 13 θαυμάτων ποιηθέντων v 20 καὶ ὅπως M v: τὸ ὅπως CT 22 ἐπεὶ v 27 κόσμος: χρόνος CT ἔλαττόν ἐστιν v

ποιητὴν πάντων τῶν μόνῳ θελήματι παραχθέντων εἰς γένεσιν. εἰ οὖν ἡ κτίσις πᾶσα τοῦ περὶ ἑαυτῆς λόγου ἐστὶν ἀχώρητος (τοῦτο γὰρ ὁ μέγας Ἰωάννης μαρτύρεται κατά γε τὸν ἡμέτερον λόγον), πῶς ἂν ἀνθρωπίνη βραχύτης ὅλον τὸν περὶ τοῦ δεσπότου τῆς κτίσεως χωρήσειε λόγον;
124 εἰπάτωσαν οἱ τὰ μεγάλα φθεγγόμενοι τί ἐστιν ἄνθρωπος συγκρίσει τοῦ παντὸς θεωρούμενος; ποῖον γεωμετρικὸν σημεῖον οὕτως ἀμερές, τί τῶν Ἐπικουρείων ἀτόμων οὕτω τῇ ματαιότητι τῶν ταῦτα θεωρούντων ἀπολεπτύνεται καὶ ἐγγὺς τοῦ μὴ ὄντος γίνεται, ὡς ἀνθρωπίνη βραχύτης ἀντ' οὐδενός ἐστι πρὸς τὸ πᾶν κρινομένη; καθώς φησι καὶ ὁ μέγας Δαβὶδ καλῶς ἐπεσκεμμένος ἡμῶν τὴν οὐθένειαν ὅτι Ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου, οὐ παντελῶς εἶναι λέγων οὐδέν, ἀλλ' ὅμοιον τῷ μηδέν, τὸ καθ' ὑπερβολὴν πᾶσαν βραχὺ τῇ πρὸς τὸ ἀνύπαρκτον συγκρίσει διασημαίνων.

125 Ἀλλ' ὅμως ἀπὸ τοιαύτης ὡρμημένοι φύσεως πλατύνουσι κατὰ τῆς ἀφράστου δυνάμεως τὰ ἴδια στόματα καὶ προσηγορίᾳ μιᾷ τὴν ἀόριστον φύσιν περιμετροῦσι τῷ ὀνόματι τῆς ἀγεννησίας τὴν οὐσίαν τοῦ θεοῦ περισφίγγοντες, ἵνα τὴν κατὰ τοῦ μονογενοῦς ἑαυτοῖς βλασφημίαν διὰ τούτων ὁδοποιήσωσι. τοῦ δὲ μεγάλου Βασιλείου διορθωσαμένου τὴν ἠπατημένην ὑπόνοιαν καί τινα περὶ τῶν ὀνομάτων διεξελθόντος ὡς οὐκ ἐκ φύσεως ὄντων, ἀλλὰ κατ' ἐπίνοιαν ἐπικειμένων τοῖς πράγμασι, τοσοῦτον ἀπέχουσι τοῦ ἀναλῦσαι πρὸς τὴν ἀλήθειαν, ὅτι καθάπερ ἰξῷ τινι προσκατέχονται τοῖς ἅπαξ παρ' αὐτῶν εἰρημένοις καὶ οὐ μεθίενται τοῦ σοφίσματος οὐδὲ κατ' ἐπίνοιαν λέγεσθαι τὸ ἀγέννητον, ἀλλὰ
126 τῆς φύσεως εἶναι παραστατικὸν διορίζονται. τὸ μὲν οὖν πάντα διεξιέναι τὸν λόγον καὶ τὴν ληρώδη καὶ μακρὰν

11 Ps 38,6   21 cf supra § 11   25-26 cf Eur Cycl v 432

MCT 1 τῶν ante πάντων add v   post θελήματι desidero αὐτοῦ   2 αὐτῆς M v sed in ἑαυτῆς corr M ead man   4 ἂν add v   5 χωρήσειε M v: χωρήσει CT χωρήσειε propter clausulam valet   12 ἡμῶν: τῶν βροτῶν v   οὐθένειαν: ἀσθένειαν T v   14 λέγων εἶναι M   16 ἀλλ' om v

ἐκείνην παραθέμενον φλυαρίαν ἐπὶ λέξεως ἀνατρέπειν πειρᾶσθαι μακρᾶς ἂν εἴη σχολῆς καὶ χρόνου πολλοῦ καὶ πολ-
127 λῆς ἀπραξίας δεόμενον, καθάπερ ἀκούω καὶ τὸν Εὐνόμιον
953 M. ὑπὲρ τὸν Ἰλιακὸν πόλεμον τῇ πολυετίᾳ φιλοπόνως καὶ καθ' ἡσυχίαν πολλὴν προσεδρεύσαντα ἐν πολλῷ τῷ ὕπνῳ τὸν μακρὸν τοῦτον ὄνειρον ἑαυτῷ συμπλάσαι, ζητοῦντα φιλοπόνως οὐχ ὅπως ἑρμηνεύσῃ τι τῶν νοηθέντων, ἀλλ' ὅπως κατὰ τῶν λέξεων ἐπισύρηται κατηναγκασμένα νοήματα καὶ περισυλλέγοντα τὰς εὐηχοτέρας φωνὰς ἐκ συγγραμμάτων
128 τινῶν· καὶ ὥσπερ οἱ πτωχοὶ δι' ἀπορίαν ἐσθῆτος ἐκ ῥακωμάτων τινῶν τοὺς χιτῶνας ἑαυτοῖς περικεντοῦντες συρράπτουσιν, οὕτω καὶ τοῦτον ἄλλην ἀλλαχόθεν λέξιν περιβοσκόμενον διὰ τούτων ἐξυφῆναι ἑαυτῷ τοῦ λόγου τὸν κέντρωνα, οὐκ ἀταλαιπώρως διακολλῶντα τὴν συμβολὴν τῶν ῥημάτων καὶ συναρμόζοντα, οὗ τὸ γλίσχρον καὶ μειρακιῶδες τῆς φιλοτιμίας εἰς ἅμιλλαν ἀνδρὶ πρὸς ἀλήθειαν βλέποντι τοσοῦτον ἀπόβλητον, ὅσον ἀθλητῇ τινι τῶν καρτερικῶν καὶ
129 ἐξώρων τὸ διὰ περιεργίας κομμωτικῆς γυναικίζεσθαι, ἀλλά μοι δοκεῖ τὸν σκοπὸν τοῦ παντὸς ἐγχειρήματος δι' ὀλίγων ἐπιδραμόντα τὰς μακρὰς περιόδους χαίρειν ἐᾶσαι.

130 Οὐκοῦν εἴρηται παρ' ἡμῶν (οἰκειοῦμαι γὰρ τοῦ διδασκάλου τὸν λόγον) ὅτι τῆς θείας φύσεως ἀμυδρὰν μὲν καὶ βραχυτάτην ἔχομεν διὰ τῶν λογισμῶν τὴν ἀντίληψιν, ἀποχρῶσαν δ' ὅμως τῇ βραχύτητι τῆς δυνάμεως ἡμῶν διὰ τῶν ὀνομάτων τῶν περὶ αὐτὴν λεγομένων εὐσεβῶς τὴν
131 γνῶσιν ἐρανιζόμεθα. τούτων δέ φαμεν τῶν ὀνομάτων οὐ μονοειδῆ πάντων εἶναι τὴν σημασίαν, ἀλλὰ τὰ μὲν τῶν προσόντων τῷ θεῷ, τὰ δὲ τῶν ἀποπεφυκότων ἔχει τὴν ἔμφασιν, οἷον δίκαιον αὐτὸν καὶ ἄφθαρτον λέγομεν, τῷ μὲν

4 velut Isocrates Panegyricum composuisse dicitur. eodem modo Eunomium increpat lib I § 6 unde hic locus sumptus est   21 τοῦ διδασκάλου τὸν λόγον] cf Basilii contra Eunomium I 10

MCT 4 καὶ om MCT   5 προσεδρεύσαντα correxi: προεδρεύσαντα libri v (προσεδρεία est assiduitas)   12 ἀλλαχόθι v   17 καρτερικῶν M: κρατερῶν T καρτερῶν C v   17-18 τε καὶ ἐξώρων v   25 εὐσεβῶς λεγομένων v

δικαίῳ τὸ προσεῖναι δικαιοσύνην, τῷ δὲ ἀφθάρτῳ τὸ μὴ
προσεῖναι φθορὰν ἐνδεικνύμενοι. ἔξεστι δὲ πάλιν καὶ ὑπαλ-
λάξαντα τὰς σημασίας κατὰ τὸ ἔμπαλιν προσφυῶς ἐφαρ-
μόσαι τῷ θεῷ τὰ ὀνόματα, ὥστε τῷ μὲν ἀπεμφαίνοντι τὸ
132 οἰκεῖον, τῷ δὲ προσόντι τὸ ἀλλότριον παραστῆσαι. τῇ γὰρ
δικαιοσύνῃ τῆς ἀδικίας ἐναντιουμένης, τῇ δὲ φθορᾷ τῆς
ἀϊδιότητος ἀντικειμένης, δυνατόν ἐστι χρήσασθαι προσφόρως
ἐπὶ τοῦ θεοῦ τοῖς ἐναντίοις, καὶ μὴ διαμαρτεῖν τοῦ προσή-
κοντος ἐν τῷ εἰπεῖν ἀεί τε αὐτὸν εἶναι καὶ ἄδικον μὴ εἶναι,
ὅπερ ἴσον ἐστὶ τῷ λέγειν δίκαιόν τε εἶναι καὶ φθορὰν μὴ
133 προσδέχεσθαι. οὕτω καὶ τὰ λοιπὰ τῶν ὀνομάτων τῇ ποιᾷ
μεταλήψει τῆς σημασίας πρὸς ἑκατέραν τὴν ἔμφασιν ἐπι-
τηδείως ἔχειν φαμέν, οἷον τὸ ἀγαθὸν καὶ ἀθάνατον καὶ
πάντα τὰ κατὰ τὸν ὅμοιον ἐκφερόμενα τύπον. δύναται γὰρ
ἕκαστον αὐτῶν ἄλλως καὶ ἄλλως μεταληφθὲν καὶ τὸ προσὸν
καὶ τὸ μὴ προσὸν ἐπὶ τῆς θείας ἐνδείξασθαι φύσεως, ὥστε
τοῦ σχήματος τῶν ὀνομάτων ὑπαλλασσομένου τὴν εὐσεβῆ
134 περὶ τὸ ὑποκείμενον διάνοιαν μένειν ἀκίνητον. ταὐτὸν γάρ
ἐστιν ἀνεπίδεκτόν τε πονηρίας τὸν θεὸν εἰπεῖν καὶ ἀγαθὸν
ὀνομάσαι, καὶ ἀθάνατον ὁμολογῆσαι καὶ ἀεὶ ζῶντα εἰπεῖν·
οὐδεμίαν γὰρ ἐν τούτοις κατὰ τὸ σημαινόμενον διαφορὰν
ἐννοοῦμεν, ἀλλ' ἓν δι' ἑκατέρων τῶν λόγων ἀποσημαίνομεν,
135 κἂν τὸ μὲν θέσιν τὸ δὲ ἀναίρεσίν τινος ἔχειν δοκῇ. ὡσ-
956 M. αύτως καὶ πάντων ἀρχὴν λέγοντες τὸν θεὸν καὶ πάλιν ἄν-
αρχον ὀνομάζοντες οὐδὲν κατὰ τὰς ἐννοίας μαχόμεθα, καθ'
ἑκάτερον τῶν λεγομένων ἀρχηγὸν καὶ αἴτιον εἶναι τοῦ
παντὸς ἀποφαίνοντες· ὥστε κἂν ἄναρχον εἴπωμεν κἂν τοῦ
παντὸς ἀρχηγέτην, τῷ μὲν τὸ μὴ προσόν, τῷ δευτέρῳ δὲ
τὸ προσὸν παρεστήσαμεν, δυνατοῦ ὄντος καθὼς εἴρηται διὰ
τῆς τῶν σημαινομένων ὑπαλλαγῆς μεταλλάξαι πρὸς τὸ ἐναν-
τίον τὰς τῶν ὀνομάτων ἐμφάσεις καὶ τῷ νῦν ἀπεμφαίνοντι
τέως ὀνόματι διά τινος μετασχηματισμοῦ τὸ προσὸν γνωρι-

MCT 5 παραστήσασθαι v 6 ἐναντιουμένης M: ἀντινοουμένης CT v 10 λέγειν post εἶναι collocat v 28 μὴ om v 29 μὴ ante προσὸν add v

136 σθῆναι καὶ τῷ ἑτέρῳ τὸ ἕτερον. ἔξεστι γὰρ ἀντὶ τοῦ ἀρχὴν
αὐτὸν μὴ ἔχειν εἰπεῖν τὸ ἀρχὴν αὐτὸν τοῦ παντὸς εἶναι
ὁρίσασθαι, καὶ ἀντὶ τούτου πάλιν τὸ μόνον αὐτὸν ἀγεννή-
τως ὁμολογεῖν ὑφεστάναι· ὥστε τὰ μὲν ῥήματα δοκεῖν
τῇ τοῦ σχήματος ἐξαλλαγῇ διαφόρως ἔχειν πρὸς ἄλληλα,
τὸν δὲ νοῦν τοῖς λεγομένοις ἕνα καὶ τὸν αὐτὸν διαμένειν.
τὸ γὰρ σπουδαζόμενον ἐν τοῖς περὶ θεοῦ λόγοις ἐστὶν οὐχὶ
ῥημάτων εὐφωνίαν εὔκροτόν τε καὶ ἐναρμόνιον ἐπινοῆσαι,
ἀλλ' εὐσεβῆ διάνοιαν ἐξευρεῖν δι' ἧς τὸ πρέπον τῇ ὑπολήψει
τῇ περὶ θεοῦ φυλαχθήσεται.

137 Ἐπειδὴ τοίνυν εὐσεβές ἐστι λογίζεσθαι τὸν τοῦ παντὸς
αἴτιον αὐτὸν αἰτίαν ὑπερκειμένην μὴ ἔχειν, ταύτης ἡμῖν
ἐρηρεισμένως τῆς διανοίας μενούσης τίς ἔτι περὶ τὰ ῥήματα
τοῖς νοῦν ἔχουσιν καταλείπεται μάχη, πάσης φωνῆς, καθ'
ἣν τὸ τοιοῦτον ἐξαγγέλλεται νόημα, τὸ αὐτὸ παριστώσης;
εἴτε γὰρ ἀρχὴν αὐτὸν καὶ αἴτιον τοῦ παντὸς εἶναι λέγοις
εἴτε ἄναρχον αὐτὸν ὀνομάζοις εἴτε ἀγεννήτως εἶναι εἴτε ἐξ
ἀϊδίου ὑφεστάναι εἴτε τοῦ παντὸς αἴτιον εἴτε ἐξ οὐδενὸς
αἰτίου μόνον, πάντα τὰ τοιαῦτα ἰσοστάσιά πως ἀλλήλοις
ἐστὶ κατὰ τὴν δύναμιν τῶν σημαινομένων καὶ ὁμοτίμως ἔχει
τὰ ῥήματα, καὶ μάταιος ὁ ζυγομαχῶν περὶ τὸν τοιόνδε τῆς
φωνῆς ἦχον, ὡς οὐχὶ τῇ διανοίᾳ, ταῖς δὲ συλλαβαῖς καὶ
138 τοῖς φθόγγοις ἐγκειμένης τῆς εὐσεβείας. ταύτης τοίνυν
τῆς ἐννοίας παρὰ τοῦ διδασκάλου διηρθρωμένης, δι' ἧς
ἔνεστι τοὺς μὴ κεκαλυμμένους τῷ αἱρετικῷ προκαλύμματι
σαφῶς διϊδεῖν ὅτι τὸ θεῖον, ὅπως ἂν κατὰ τὴν φύσιν ἔχῃ,
ἀνέπαφόν τέ ἐστι καὶ ἀκατανόητον καὶ πάσης ἀντιλήψεως
τῆς ἐκ τῶν λογισμῶν ὑψηλότερον, ἡ δὲ ἀνθρωπίνη διάνοια
πολυπραγμονοῦσα καὶ διερευνωμένη δι' ὧν ἂν ᾖ δυνατὸν
λογισμῶν ἐπορέγεται καὶ θιγγάνει τῆς ἀπροσπελάστου καὶ
ὑψηλῆς φύσεως, οὔτε τοσοῦτον ὀξυωποῦσα ὡς ἐναργῶς

MCT 6 ἐν τοῖς λεγομένοις v 11 ἐστι om v 12 μὴ ἔχειν ὑπερκειμένην v 13 τῆς διανοίας ἐρηρεισμένης v om μενούσης 14 ὑπολείπεται v 15 ἐξαγγέλλεται τὸ τοιοῦτον νόημα M 25 ἔνεστι: ἔστι v 26 τὴν om CT 27 ἐστι om v

ἰδεῖν τὸ ἀόρατον οὔτε καθάπαξ ἀπεσχοινισμένη τῆς προσ-
εγγίσεως ὡς μηδεμίαν δύνασθαι τοῦ ζητουμένου λαβεῖν
139 εἰκασίαν. ἀλλὰ τὸ μέν τι τοῦ ζητουμένου διὰ τῆς τῶν
λογισμῶν ἐπαφῆς ἐστοχάσατο, τὸ δὲ αὐτῷ τῷ μὴ δύνασθαι
κατιδεῖν τρόπον τινὰκα τενόησεν, οἷόν τινα γνῶσιν ἐναργῆ
140 τὸ ὑπὲρ πᾶσαν γνῶσιν τὸ ζητούμενον εἶναι ποιησαμένη. τά
τε γὰρ ἀπεμφαίνοντα περὶ τὴν θείαν φύσιν ἐνόησε καὶ ὅσα
πρέπει περὶ αὐτὴν ὑπονοεῖν οὐκ ἠγνόησεν, οὐ μὴν αὐτὴν
ἐκείνην ἥτις ἐστὶ περὶ ἣν ταῦτα λογίζεται κατιδεῖν ἠδυ-
νήθη, ἀλλ' ἐκ τῆς τῶν προσόντων τε καὶ μὴ προσόντων
γνώσεως εἶδεν, ὃ μόνον ὀφθῆναι δυνατόν ἐστιν, ὅτι τὸ
957 M. παντὸς μὲν κακοῦ πόρρωθεν ἱδρυμένον, ἐν παντὶ δὲ νοού-
μενον ἀγαθῷ πάντως τι τοιοῦτόν ἐστιν οἷον λόγῳ τε ἄρ-
141 ρητον εἶναι καὶ λογισμοῖς ἀνεπίβατον. οὕτω τοίνυν πάσας
μὲν τὰς ἀπρεπεῖς ἐννοίας ἐν τῇ περὶ τῆς θείας φύσεως
ὑπολήψει τοῦ διδασκάλου ἡμῶν ἀποκαθήραντος, πᾶν δὲ
ὅσον εὔφημόν τε καὶ θεοπρεπὲς νοεῖν περὶ αὐτὴν συμβου-
λεύσαντος καὶ διδάξαντος, ὡς οὔτε τι τῶν φθαρτῶν οὔτε
τῶν διὰ γενέσεως εἰς τὸ εἶναι παρηγμένων τὸ πρῶτον αἴτιόν
ἐστιν, ἀλλὰ πάσης τοιαύτης ὑπονοίας ἔξω νοεῖται, ἐκ δὲ
τῆς ἀρνήσεως τῶν μὴ προσόντων καὶ ἐκ τῆς ὁμολογίας
τῶν εὐσεβῶς περὶ αὐτοῦ νοουμένων ὅτι ἔστι καταλαμβάνεται,
μάχεται τοῖς εἰρημένοις ὁ σφοδρὸς κατὰ τῆς ἀληθείας
ἀγωνιστὴς καὶ βούλεται τὸν τοιόνδε τοῦ ῥήματος ἦχον, τὴν
τῆς ἀγεννησίας λέγω φωνήν, ἐμφανῶς δεικνύναι τοῦ
θεοῦ τὴν οὐσίαν.
142 Καίτοι παντὶ πρόδηλον τῷ γε μετρίως ἐπεσκεμμένῳ
τὰς τῶν ὀνομάτων χρήσεις, ὅτι ἡ ἀφθαρσία καὶ ἡ ἀγεν-
νησία διὰ τοῦ ἀφαιρετικοῦ μορίου τὸ μηδὲν τούτων προσ-
εῖναι τῷ θεῷ, μήτε φθορὰν μήτε γένεσιν, ἀποσημαίνει,
ἐπεὶ καὶ ἄλλα πολλὰ τῶν ὀνομάτων ὁμοφώνως λεγόμενα

MCT 4 αὐτὸ v 5 διϊδεῖν v 8 ἠγνόησεν: ἐνόησεν v 13 λόγῳ: λέγω v 14 ἀνεπίβατον. οὕτω: ἀνεπίβατον δὲ ὄντα v 17 περὶ αὐτὴν νοεῖν C v 28-29 καὶ ἡ ἀγεννησία om v 30 γέννησιν v ἀποσημαίνειν M

τὴν ἀφαίρεσιν τοῦ μὴ προσόντος, οὐ τὴν θέσιν τοῦ ὄντος
ἐνδείκνυται, τὸ ἄκακον καὶ ἄλυπον καὶ ἀπόνηρον καὶ ἀτά-
ραχον καὶ ἀόργητον ἄϋπνον ἄνοσον ἀπαθὲς ἀνεπίληπτον
143 καὶ ὅσα τοιαῦτα. λέγεται μὲν γὰρ ἀληθῶς ταῦτα καὶ
οἷον κατάλογός τίς ἐστι καὶ ἀπαρίθμησις τῶν πρὸς τὸ
χεῖρον νοουμένων, ὧν τὸ θεῖον κεχώρισται, οὐ μήν τι περὶ
οὗ λέγεται διὰ τῶν ὀνομάτων ὁ λόγος παρίστησιν. τί μὲν
γὰρ οὐκ ἔστι, δι' ὧν ἠκούσαμεν ἐδιδάχθημεν, τί δέ ἐστιν,
144 ἡ τῶν εἰρημένων οὐκ ἐνεδείξατο δύναμις. ὥσπερ γὰρ εἴ
τις περὶ τῆς τοῦ ἀνθρώπου φύσεως εἰπεῖν τι θέλων τὸ μήτε
ἄψυχον λέγων μήτε ἀναίσθητον μήτε πτηνὸν μήτε τετρά-
πουν μήτ' ἔνυδρον τὸ μὲν ὂν οὐκ ἐνεδείξατο, τὸ δὲ μὴ ὂν
διεσάφησε, καὶ οὔτε ψεύδεται ταῦτα περὶ τοῦ ἀνθρώπου
διεξιὼν οὔτε σαφῶς τὸ ὑποκείμενον δείκνυσιν, κατὰ τὸν αὐτὸν
λόγον πολλῶν τοιούτων περὶ τὴν θείαν φύσιν λεγομένων, ἐν
οἷς χρὴ τὸν θεὸν ὑπονοεῖν εἶναι μανθάνομεν, αὐτὸ δὲ ὅ τι
ποτέ ἐστι κατ' οὐσίαν διὰ τῶν εἰρημένων οὐ διδασκόμεθα.
φεύγοντες δὲ παντὶ τρόπῳ τῶν ἀτόπων τινὶ νοημάτων ἐν
ταῖς περὶ θεοῦ δόξαις συνενεχθῆναι πολλαῖς καὶ ποικίλαις
ἐπωνυμίαις ἐπ' αὐτοῦ κεχρήμεθα, κατὰ τὴν τῶν ἐπινοιῶν
145 διαφορὰν τὰς προσηγορίας ἁρμόζοντες. ἐπειδὴ γὰρ ἓν
οὐδὲν ὄνομα περιληπτικὸν τῆς θείας ἐξεύρηται φύσεως
κατ' αὐτοῦ τοῦ ὑποκειμένου προσφυῶς τεταγμένον, διὰ τοῦτο
πολλοῖς ὀνόμασι, ἑκάστου κατὰ διαφόρους ἐπιβολὰς ἰδιά-
ζουσάν τινα περὶ αὐτοῦ τὴν ἔννοιαν ποιουμένου, τὸ θεῖον
προσαγορεύομεν, ἐκ τῆς πολυειδοῦς καὶ ποικίλης κατ' αὐτοῦ
σημασίας ἐναύσματά τινα πρὸς τὴν κατανόησιν τοῦ ζητου-
146 μένου θηρεύοντες. ἐρωτῶντες γὰρ ἡμᾶς αὐτοὺς καὶ διεξ-
ετάζοντες τί τὸ θεῖόν ἐστι, διαφόρως ἀποφαινόμεθα οἷον

27 ἐναύσματα] cf vol VIII 1, 187,22 (Jaeger)

MCT 3 ἄϋπνον ἄνοσον om v καὶ ante ἄϋπνον add M 4 γάρ: καὶ v 5 ἐστί τις T τις ἦν C v 8 οὐκ ἔστι: οὐχ ὑγιὲς v 11 λέγει v 12 μὴ ἔνυδρον libri v, correxi 17 ἐστι: ἦν v 18 τινί: τινῶν v 20 ἐπ' αὐτοῦ: κατ' αὐτοῦ v 21 ἐπεὶ v 21-22 ἓν οὐδὲν CT: ἓν om M ἂν οὐδὲν v 25 ποιούμενοι v 27 ἐναύσματα: ὀνόματα v 28-29 ἐξετάζοντες CT

960 M. τὸ ὑπερκείμενον τῆς τῶν ὄντων συστάσεώς τε καὶ διοική-
σεως, ὃ οὐκ ἐξ αἰτίας τὴν ὕπαρξιν ἔχει, τοῖς δὲ λοιποῖς
πᾶσιν αἴτιον τοῦ εἶναι καθέστηκεν, περὶ ὃ γέννησις καὶ
ἀρχὴ καὶ φθορὰ καὶ τέλος οὐκ ἔστιν οὔτε πρὸς τὸ ἐναν-
τίον τροπὴ οὔτε τοῦ κρείττονος ὕφεσις, ὡς μήτε τὸ κακὸν
147 ἐπ' αὐτοῦ χώραν ἔχειν μήτε τὸ ἀγαθὸν ἀπεῖναι. εἰ δή τις
τὰς τοιαύτας ἐννοίας ὀνόμασι διαλαμβάνειν ἐθέλοι, ἀνάγκη
πᾶσα τὸ μὲν μὴ προσιέμενον τὴν πρὸς τὸ χεῖρον τροπὴν
ἄτρεπτόν τε καὶ ἀναλλοίωτον ὀνομάσαι, τὸ δὲ πρῶτον αἴτιον
τοῦ παντὸς ἀγέννητον προσειπεῖν, ἄφθαρτον δὲ τὸ φθορᾶς
ἀνεπίδεκτον, τὸ δὲ εἰς μηδὲν καταλῆγον πέρας ἀθάνατόν
τε καὶ ἀτελεύτητον, παντοκράτορα δὲ τὸν τοῦ παντὸς ἐξη-
γούμενον, καὶ οὕτω τἄλλα πάντα κατὰ τὰς εὐσεβεῖς ὑπο-
λήψεις ὀνοματοποιοῦντες ταῖς τῶν ἐπινοιῶν διαφοραῖς ἄλ-
λως καὶ ἄλλως προσαγορεύομεν, ἢ δύναμιν ἢ κράτος ἢ
ἀγαθότητα ἢ τὸ μὴ ἐξ αἰτίου εἶναι ἢ τὸ εἰς ἀεὶ διαμένειν
διὰ τῶν ὀνομάτων σημαίνοντες.

148 Φημὶ τοίνυν τῆς τοιαύτης ὀνοματοποιΐας τοὺς ἀνθρώ-
πους εἶναι κυρίους κατὰ τὸ φανὲν ἑκάστῳ προσφυῶς ἐφαρ-
μόζοντας τῷ ὑποκειμένῳ τὰς κλήσεις, καὶ μηδὲν ἄτοπον
εἶναι, ὅπερ ὡς φοβερόν τε καὶ φρικῶδες μορμολυττόμενος ὁ
λογογράφος προτείνεται, τὸ νεωτέρας εἶναι τὰς τῶν ὀνο-
μάτων θέσεις ὁμολογεῖν ἐπὶ παντὸς αὐτοῦ τοῦ κατονομα-
ζομένου πράγματος καὶ ἐπ' αὐτοῦ τοῦ θεοῦ. οὐ γὰρ ῥῆμα
149 ὁ θεὸς οὐδὲ ἐν φωνῇ καὶ φθόγγῳ ἔχει τὸ εἶναι. ἀλλ' ὁ
μὲν θεὸς ἐστιν καθ' ἑαυτόν, ὅ τι ποτὲ καὶ εἶναι πεπίστευται,
ὀνομάζεται δὲ παρὰ τῶν ἐπικαλουμένων οὐκ αὐτὸ ὅ ἐστιν
(ἄφραστος γὰρ ἡ φύσις τοῦ ὄντος), ἀλλ' ἐξ ὧν ἐνεργεῖν τι
περὶ τὴν ζωὴν ἡμῶν πεπίστευται τὰς ἐπωνυμίας ἔχει, οἷον
καὶ αὐτὸ τοῦτο τὸ ἐκ τοῦ προχείρου λεγόμενον· θεὸν γὰρ

MCT 3 αἰτίου T v 4 καὶ φθορὰ om M καὶ om v 6 ἐπ' αὐτῷ v δή: δέ v 8 μὲν om M προσίεσθαι v 11 ἀνεπίδεκτον: ἀπαράδεκτον C v 12 τὸν om v 21 τε: τι v 22 εἶναι post 24 πράγματος collocat M 24 καὶ om v 26 τι ποτὲ: δή ποτε v 29 ὁμωνυμίας v

αὐτὸν λέγοντες τὸν ἔφορον καὶ ἐπόπτην καὶ διορατικὸν τῶν
150 κεκρυμμένων νοοῦντες ἐπικαλούμεθα. εἰ δὲ προϋφέστηκε
τῶν ἐνεργειῶν ἡ οὐσία, νοοῦμεν δὲ τὰς ἐνεργείας δι' ὧν
αἰσθανόμεθα, ῥήμασι δὲ ταύτας ὅπως ἂν ᾖ δυνατὸν ἐξαγ-
γέλλομεν, τίς ἔτι καταλείπεται φόβος νεώτερα τῶν πραγμά-
των τὰ ὀνόματα λέγειν; εἰ γὰρ μὴ πρότερον ἑρμηνεύομέν
τι τῶν περὶ θεοῦ λεγομένων, πρὶν ἂν νοήσωμεν, νοοῦμεν δὲ
δι' ὧν ἐκ τῶν ἐνεργειῶν διδασκόμεθα, προϋφέστηκε δὲ τῆς
ἐνεργείας ἡ δύναμις, ἡ δὲ δύναμις ἐξήρτηται τοῦ θείου
βουλήματος, τὸ δὲ βούλημα ἐν τῇ ἐξουσίᾳ τῆς θείας ἀπό-
κειται φύσεως, ἆρ' οὐ σαφῶς διδασκόμεθα ὅτι ἐπιγίνονται
τοῖς πράγμασιν αἱ σημαντικαὶ τῶν γινομένων προσηγορίαι
καὶ ὥσπερ σκιαὶ τῶν πραγμάτων εἰσὶν αἱ φωναί, πρὸς τὰς
κινήσεις τῶν ὑφεστώτων σχηματιζόμεναι;

151 Καὶ ὅτι ταῦτα οὕτως ἔχει, πείθει σαφῶς ἡ θεία γραφὴ
διὰ τοῦ μεγάλου Δαβὶδ τοῦ καθάπερ διά τινων ἰδίων καὶ
προσφυῶν ὀνομάτων τῶν ἐκ τῆς ἐνεργείας αὐτῷ νοηθέντων
τὴν θείαν φύσιν ἀνακαλοῦντος. Οἰκτίρμων γάρ, φησί, καὶ
ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ πολυέλεος. ταῦτα τοίνυν
τί λέγουσιν; ἐνεργείας ἔχειν τὴν σημασίαν ἢ φύσεως; οὐκ
152 ἄν τις ἄλλο τι παρὰ τὴν ἐνέργειαν εἴποι. πότε τοίνυν ἐν-
961 M. εργήσας τοὺς οἰκτιρμοὺς ἢ τὸν ἔλεον ὁ θεὸς ἔσχεν ἐκ τῆς
ἐνεργείας τὸ ὄνομα; ἆρα πρὸ τῆς ἀνθρωπίνης ζωῆς; καὶ
τίς ἦν ὁ τοῦ ἐλέου δεόμενος; ἀλλὰ μετὰ τὴν ἁμαρτίαν
πάντως, ἡ δὲ ἁμαρτία μετὰ τὸν ἄνθρωπον. οὐκοῦν μετὰ
τὸν ἄνθρωπον καὶ ἡ τοῦ ἐλεεῖν ἐνέργεια καὶ τοῦ ἐλέου τὸ
153 ὄνομα. τί οὖν; ἆρα μὴ καὶ τοῦ Δαβὶδ καταγνώσεται ὁ
ὑπὲρ τοὺς προφήτας φρονῶν, ὅτι δι' ὧν ἐνόησε τὸν θεόν,
διὰ τούτων ὠνόμασεν, ἢ καὶ πρὸς αὐτὸν ζυγομαχήσει τὴν
σεμνὴν ἐκείνην ὥσπερ ἐκ τραγῳδίας προτείνων ῥῆσιν, ὅτι

18 Ps 102,8

MCT 2 ἐπινοοῦντες v 4 ταύτας om v 10 βουλήματος: θελήματος T 11 γίνονται T 20 τί om CT 21 εἴπῃ v 22 ὁ θεὸς ἢ τὸν ἔλεον v 24 ἐλέους v

τὴν μακαριωτάτην τοῦ θεοῦ ζωὴν τοῖς παρὰ
τῆς ἐπινοίας ἀγάλλει ὀνόμασι, τὴν ἐφ᾽ ἑαυτῇ
μόνῃ καὶ πρὸ τῆς τῶν ἐπινοούντων γεννήσεως
154 ἀγαλλομένην; ἐρεῖ γὰρ πάντως ὁ ὑπὲρ τοῦ προφήτου λέ-
γων, ὅτι ἡ μὲν θεία φύσις ἐφ᾽ ἑαυτῇ μόνῃ ἀγάλλεται καὶ πρὸ
τῆς τῶν ἐπινοούντων γεννήσεως, ὁ δὲ ἀνθρώπινος νοῦς, ὅσον
χωρεῖ διὰ τῶν ἐνεργειῶν διδασκόμενος, τοσοῦτον φθέγγεται.
ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ἡ
σοφία φησὶ τὸν πάντων γενεσιουργὸν θεωρεῖσθαι· τῇ δὲ
θείᾳ καὶ ὑπερεχούσῃ πάντα νοῦν οὐσίᾳ τὰς τοιαύτας προσ-
ηγορίας ἐπιφημίζομεν, οὐκ ἐκείνην ἀγάλλοντες δι᾽ ὧν ὀνο-
μάζομεν, ἀλλ᾽ ἡμᾶς αὐτοὺς διὰ τῶν λεγομένων ὁδηγοῦντες
155 πρὸς τὴν τῶν κρυπτῶν κατανόησιν. Εἶπα τῷ κυρίῳ, φησὶν
ὁ προφήτης, θεός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ
χρείαν ἔχεις. πῶς οὖν τὴν μακαριωτάτην τοῦ θεοῦ
ζωὴν ἡμεῖς οὕτως, καθώς φησιν οὗτος, ἀγάλλομεν, ἥν
φησιν ὁ προφήτης ἀπροσδεᾶ τῶν ἀνθρωπίνων εἶναι καλῶν;
156 ἢ ἀντὶ τοῦ ὀνομάζειν τὸ ἀγάλλειν ἐνόησε; καὶ μὴν
ἀκούομεν παρὰ τῶν ὀρθῶς τῇ λέξει χρωμένων καὶ δι᾽
ἀκριβείας τῶν ὀνομάτων τὴν χρῆσιν πεπαιδευμένων μὴ ἐπὶ
ψιλῆς τῆς δηλώσεως τὴν τοῦ ἀγάλλειν τετάχθαι φωνήν,
ἀλλὰ τὸ μὲν τοιοῦτον ἢ γνωρίζειν ἢ δηλοῦν ἢ σημαίνειν ἢ
157 ἄλλο τι τοιουτότροπον λέγεσθαι, τὸ δὲ ἀγάλλειν ἴσον ἐστὶ
τῷ ἐπικαυχᾶσθαι καὶ ἐπευφραίνεσθαι καὶ εἴ τι τῆς τοιαύτης
ἐμφάσεως ἔχεται· ὁ δέ φησιν ἡμᾶς τοῖς τῆς ἐπινοίας
ὀνόμασι τὴν μακαρίαν ἀγάλλειν ζωήν. ἡμεῖς δὲ
προσθεῖναι μέν τινα τῇ θείᾳ φύσει τιμὴν τῇ ὑπὲρ πᾶσαν
οὔσῃ τιμὴν μεῖζον ἢ κατὰ τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην
οἰόμεθα, γνωρίσαι δέ τι τῶν περὶ αὐτὴν διὰ τῶν εὐσεβῶς
ἐπινοουμένων ῥημάτων τε καὶ ὀνομάτων ἐπιχειρεῖν οὐκ ἀρ-
158 νούμεθα. καὶ διὰ τοῦτο καθ᾽ ὅσον δυνατὸν ἡμῖν τὸ εὐσεβὲς

9 Sap Sal 13,5 14 sq Ps 15,2

MCT 1 παρὰ: περὶ v 6 γεννήσεως CT v: γενέσεως M sed cf 3 8 μεγέθους γὰρ M 13 εἶπα: εἶτα v 17 ἀπροσδεῆ v 20 παρα-πεπαιδευμένων v 28 οὔσῃ τιμῇ CT

ἰχνεύοντες τὸ μὴ ἐξ αἰτίας ὑπερκειμένης τὸ πρῶτον αἴτιον
τὴν ὑπόστασιν ἔχειν καταλαμβάνομεν. ὅπερ εἰ μὲν ὡς
ἀληθὲς ἀποδέχοιτό τις, ἐπαινετὸν ἂν εἴη διὰ τὴν ἀλήθειαν
μόνην· εἰ δὲ ὡς μεῖζον τῶν λοιπῶν τῶν περὶ τὴν θείαν
φύσιν νοουμένων τὸ τοιοῦτον κρίνοι καὶ διὰ τοῦτο μόνῃ ταύτῃ
τῇ ὑπολήψει λέγοι τὸν θεὸν ἐπιγαυριῶντα καὶ εὐφραινόμενον
ὥς τινι τῶν ὑπερεχόντων ἀγάλλεσθαι, μόνης τῆς Εὐνομίου
Μούσης ἂν εἴη τοῦ λέγοντος αὐτὴν ἐφ᾽ ἑαυτῇ τὴν ἀγεννη-
σίαν ἀγάλλεσθαι, ἣν δὴ οὐσίαν τε λέγει καὶ μακαρίαν τε
καὶ θείαν ὀνομάζει ζωήν.
159 Ἀλλ᾽ ἀκούσωμεν πῶς κατὰ τὸν ἐπιβάλλοντα τῇ
964 M. χρείᾳ τρόπον καὶ τὸν προλαβόντα τύπον (οὕτω
γὰρ τοῖς ἰσοτύποις τῶν ὀνομάτων πάλιν ἡμῖν ἐνωραΐζεται)
πῶς διὰ τούτων διαλύειν μέν φησι τὴν περὶ αὐτοῦ
γενομένην ὑπόνοιαν, περιστέλλειν δὲ τὴν τῶν
ἠπατημένων ἄγνοιαν. αὐταῖς γὰρ χρήσομαι τοῦ δι-
θυραμβιστοῦ ταῖς ὁμοιοκαταλήκτοις φωναῖς. εἰπόντες,
φησίν, ὅτι τὰ κατ᾽ ἐπίνοιαν λεγόμενα ταῖς φω-
ναῖς συνδιαλύεσθαι πέφυκεν, ἐπηγάγομεν τού-
τοις· ὁ δὲ θεὸς καὶ σιωπώντων καὶ φθεγγομέ-
νων καὶ γεγονότων καὶ πρὸ τοῦ γεγονέναι τὰ
160 ὄντα ἦν τε καὶ ἔστιν ἀγέννητος. μάθωμεν τοίνυν
τί κοινὸν ἔχει ῥημάτων ἐπίνοια ἢ ὀνομάτων θέσις πρὸς
αὐτὰ τὰ πράγματα, ἃ διὰ τῆς ποιᾶς τῶν ὀνομάτων τε καὶ
ῥημάτων φωνῆς σημειούμεθα, ὥστε εἰ ἀγεννήτως ἔστιν ὁ
θεὸς πρὸ τῆς ἀνθρωπίνης συστάσεως, τὴν ἐμφαντικὴν τῆς
τοιαύτης ὑπολήψεως φωνὴν ὡς τῷ φθόγγῳ συνδιαχεομένην
ἄκυρον κρίνειν, εἰ κατ᾽ ἐπίνοιαν ἀνθρωπίνην ὀνομασθεῖσα
161 τύχοι. οὐ γὰρ ταὐτόν ἐστι τῷ εἶναι τὸ λέγεσθαι. ἀλλ᾽

17 Eunomius hoc loco primam suam Apologiam citat cf Apol c 8 (PG 30,841 D—844 A Migne)

MCT 2 ἔχειν: εἶναι CT 17 ὁμοιολήκτοις v 21 καὶ ante γεγονότων om v 21-22 τὰ ὄντα M: om CT τὰ ὀνόματα v cf 272, 16 23 τί κοινὸν ἔχει MCT: κοινὸν v om τί et ἔχει ἐπινοίᾳ et θέσει v 24 τῶν: τῆς v 25 εἰ om T 29 τὸ εἶναι τῷ λέγεσθαι v

ἐστὶ μὲν τῇ φύσει ὅπερ ἐστὶν ὁ θεός, λέγεται δὲ παρ' ἡμῶν, ὡς ἂν ᾖ δυνατὸν ἐξαγγεῖλαι διὰ τὴν τῆς φύσεως ἡμῶν πτωχείαν, ἢ τὰς ἐν τῇ ψυχῇ διαθέσεις ἀδήλους ἔχει μὴ διὰ φωνῆς ἐκκαλυπτομένας καὶ λόγου. οὐκοῦν τὸ μὴ ἐξ αἰτίας αὐτὸν εἶναι νοήσαντες ἐπινοίᾳ τινὶ τὴν νόησιν
162 ταύτην διὰ τῆς τοῦ ἀγεννήτου φωνῆς ἐξαγγέλλομεν. τίς οὖν ἡ βλάβη τῷ ὄντως ὄντι τὸ ὡς ἔστι παρ' ἡμῶν ὀνομάζεσθαι; οὐ γὰρ ἐκ τοῦ ῥηθῆναι ἀγέννητον καὶ τὸ ὑπάρχειν ἀγεννήτως ἐστίν, ἀλλ' ἐκ τοῦ εἶναι καὶ τὸ ῥηθῆναι προσγίνεται. τοῦτο δὲ οὐ συνεῖδεν ὁ λεπτὸς τὴν διάνοιαν οὐδὲ τὰ παρ' αὐτοῦ τεθέντα σαφῶς κατενόησεν. ἦ γὰρ ἂν ἐπαύσατο τοὺς δι' ἐπινοίας τὴν *ἀγεννησίαν* ὀνοματο-
163 ποιοῦντας κακίζων. σκοπεῖτε γὰρ ὅ φησι· *τὰ κατ' ἐπίνοιαν λεγόμενα ταῖς φωναῖς συνδιαλύεται, ὁ δὲ θεὸς καὶ γεγενημένων καὶ πρὸ τοῦ γενέσθαι τὰ ὄντα καὶ ἦν καὶ ἔστιν ἀγέννητος.* ὁρᾷς ὅτι τὸ μὲν εἶναι ὅπερ ἐστὶν ἔχει πρὸ τῆς τῶν πάντων ὑπάρξεως, καὶ σιωπώντων καὶ φθεγγομένων οὔτε μᾶλλον οὔτε ἧττον ὧν ὅ ἐστιν, ἡ δὲ τῶν ῥημάτων τε καὶ ὀνομάτων χρῆσις μετὰ τὴν τῶν ἀνθρώπων κατασκευὴν ἐγνωρίσθη
164 τῶν τῇ λογικῇ δυνάμει παρὰ τοῦ θεοῦ τιμηθέντων. εἰ οὖν ὑστέρα μὲν τοῦ πεποιηκότος ἡ κτίσις, τῆς κτίσεως δὲ πάσης ἔσχατος ὁ ἄνθρωπός ἐστιν, ἴδιον δὲ τοῦ ἀνθρώπου ὁ λόγος, λόγου δὲ μέρη ῥήματά τε καὶ ὀνόματα, ὄνομα δὲ ἡ *ἀγεννησία*, πῶς οὐ συνίησιν οἷς κατασκευάζει, τούτοις μαχόμενος; ἡμεῖς τε γάρ φαμεν ἐφευρῆσθαι τοῖς οὖσι τὰ γνωριστικὰ τῶν ὄντων ὀνόματα διὰ τῆς ἀνθρωπίνης ἐννοίας, κἀκεῖνος ὑστέρους ὁμολογεῖ τοὺς κεχρημένους τῷ λόγῳ τῆς θείας ἀναδειχθῆναι ζωῆς, εἶναι δὲ τὴν θείαν φύσιν, ὡς νῦν
165 τε ἔστι καὶ ἀεὶ ἦν, ἀγεννήτως. εἰ οὖν ἐκεῖνός τε προϋπάρχειν τῶν ἀνθρώπων ὁμολογεῖ τὴν μακαρίαν ζωήν (πάλιν

MCT 5 τινὶ om v   7 τῷ οὕτως ὄντι CT v   10 σύνοιδεν v   16 ὄντα: ὀνόματα v   17 τῶν om T   19 ὅ ἐστιν ὧν v   20 ἐγνωρίσθη: ἐλογίσθαι v   24 ὀνόματα: νοήματα M   27 ἐννοίας: ἐπινοίας fortasse   30 ἐκεῖνός τε: ἐκεῖνος τὸ v

γὰρ ἐπαναστρέψας τῷ αὐτῷ χρήσομαι λόγῳ) ἡμεῖς τε τὸ χρόνοις ὕστερον φῦναι τοὺς ἀνθρώπους οὐκ ἀντιλέγομεν, ῥήμασι δὲ κεχρῆσθαί φαμεν καὶ ὀνόμασιν, ἀφ' οὗ τε συνέ-
965 M. στημεν καὶ τὸ λογικοὶ εἶναι παρὰ τοῦ πεποιηκότος ἐσχήκαμεν, ἡ δὲ *ἀγεννησία* ὄνομά ἐστιν ἐμφαντικὸν τοῦ ἰδίου νοήματος, πᾶν δὲ ὄνομα τοῦ ἀνθρωπίνου λόγου μέρος ἐστίν, ἄρα ὁ προϋφεστάναι τῶν ἀνθρώπων τὴν θείαν φύσιν ὁμολογῶν μεταγενεστέραν εἶναι τὴν ἐφευρεθεῖσαν τῇ φύσει
166 κλῆσιν συντίθεται. οὐδὲ γὰρ ἦν εἰκὸς τοῦ λόγου τὴν χρῆσιν πρὸ τῆς τῶν κεχρημένων κατασκευῆς ἐνεργεῖσθαι, ὥσπερ οὐδὲ γεωργίαν πρὸ τῶν γεωργούντων οὐδὲ ναυτιλίαν πρὸ τῶν ναυτιλλομένων οὐδὲ ἄλλο τι τῶν κατὰ τὸν βίον ἐνεργουμένων πρὸ τοῦ συστῆναι τὸν ἀνθρώπινον βίον. τί οὖν ἡμῖν διαμάχεται ὁ τοῖς ἰδίοις αὐτοῦ λόγοις ἀκολουθεῖν οὐ γινώσκων;

Ἦν, φησίν, ὁ θεὸς ὅπερ ἐστὶ πρὸ τοῦ γενέσθαι τὸν ἄνθρωπον. τοῦτο καὶ ἡμεῖς οὐκ ἀρνούμεθα. πᾶν γὰρ ὅτιπέρ ἐστι περὶ τὸν θεὸν νοούμενον, τοῦτο πρὸ τῆς
167 τοῦ κόσμου συστάσεως ἦν. ἀλλ' ὀνομάζεσθαι τοῦτόν φαμεν μετὰ τὸ γενέσθαι τὸν ὀνομάζοντα. εἰ γὰρ διὰ τοῦτο χρώμεθα τοῖς ὀνόμασιν, ὥστε διδασκαλίαν ἡμῖν ἐκεῖθεν τῶν πραγμάτων γίνεσθαι, μόνον δὲ τὸ ἀγνοοῦν ἐπιδεές ἐστι τοῦ διδάσκοντος, ἡ δὲ θεία φύσις διὰ τὸ πᾶσαν ἐμπεριειληφέναι τὴν γνῶσιν κρείττων πάσης διδασκαλίας ἐστί, δείκνυται διὰ τούτων ὅτι οὐ τοῦ θεοῦ χάριν ἀλλ' ἡμῶν ἕνεκα τὰ ὀνόματα
168 πρὸς δήλωσιν τοῦ ὄντος ἐπινενόηται. οὐ γὰρ ὅπως ἂν ἐκεῖνος ἑαυτὸν μάθοι, τὸ τῆς ἀγεννησίας ὄνομα τῇ φύσει ἐφήρμοσεν. ὁ γὰρ εἰδὼς τὰ πάντα καὶ ἑαυτὸν πρὸ πάντων συλλαβῶν καὶ ῥημάτων πρὸς τὸ μαθεῖν ὡς ἔχει φύσεως καὶ ἀξίας οὐκ ἐπιδέεται· ἀλλ' ὅπως ἡμεῖς τινα τῶν εὐσεβῶς περὶ αὐτὸν νοουμένων κατάληψιν σχοίημεν, ῥήμασί τισι καὶ συλλαβαῖς τὰς τῶν νοημάτων διαφορὰς ἐτυπώσαμεν,

MCT 14-15 μηδὲ τοῖς ἰδίοις αὐτῶν λόγοις ἀκολουθίαν γινώσκων v   24 δὲ post δείκνυται add v   30 οὐ δέεται v   32 νοημάτων: ὀνομάτων CT

οἷόν τινα σήμαντρα καὶ χαρακτῆρας τὰς διὰ τοῦ λόγου τυπώσεις τοῖς τῆς διανοίας κινήμασιν ἐπιγράψαντες, ὥστε τῶν ἐγγινομένων τῇ ψυχῇ κινημάτων τρανὴν καὶ ἀσύγχυτον ποιεῖσθαι τὴν δήλωσιν διὰ τῶν ἐφηρμοσμένων τοῖς νοήμασι
169 φθόγγων. τί τοίνυν ἐλέγχει τὸν ἡμέτερον λόγον, καθ' ὅν φαμεν ἐπινενοῆσθαι τὸ τῆς ἀγεννησίας ὄνομα πρὸς ἔνδειξιν τοῦ ἀνάρχως τὸν θεὸν ὑφεστάναι, τῷ λέγειν ὅτι ὁ θεὸς καὶ λαλούντων καὶ σιωπώντων καὶ διανοουμένων καὶ πρὸ τῆς τῶν γενομένων ἐπινοίας ἦν τε καὶ ἔστιν ἀγέννητος; εἰ μὲν γάρ τις ἦν ὁ κατασκευάζων μὴ πρότερον αὐτὸν ἀγέννητον εἶναι πρὶν ἢ παρ' ἡμῶν ἐξευρεθῆναι τὸ ὄνομα, συγγνωστὸς ἂν ἦν πρὸς τὴν τοιαύτην ἀτοπίαν ἐκεῖνα
170 γράφων. εἰ δὲ τὸ προϋφεστάναι καὶ λόγου καὶ διανοίας αὐτὸν παρὰ πάντων ὁμολογεῖται, ἡ δὲ τοῦ ὀνόματος θέσις, καθ' ἣν ὁ νοῦς ἐξαγγέλλεται, δι' ἐπινοίας παρ' ἡμῶν ἐξευρῆσθαι λέγεται, ὁ δὲ σκοπὸς αὐτῷ τῆς πρὸς ἡμᾶς ἐστι μάχης τὸ δεῖξαι μὴ παρὰ ἀνθρώπων ἐπινενοῆσθαι τὸ ὄνομα, ἀλλ' εἶναι τοῦτο καὶ πρὸ τῆς ἡμετέρας συστάσεως, οὐκ οἶδα περὶ τίνος λεγόμενον τί κοινὸν ἔχει πρὸς τὴν προκειμένην αὐτῷ σπουδὴν τὸ πρὸ τῶν ὄντων ὑφεστάναι τὸν θεὸν ἀγεννήτως λέγειν καὶ τὸ διαβεβαιοῦσθαι μεταγενεστέραν
171 εἶναι διαγωνίζεσθαι τοῦ θεοῦ τὴν ἐπίνοιαν. μὴ γὰρ ἐπίνοιάν τις εἶναι τὸν θεὸν ἀποφαίνεται, ὥστε τοῖς τοιούτοις πρὸς αὐτὸν τῶν λόγων διαγωνίζεσθαι καὶ λέγειν ἃ εἴρηκεν,
968 M. ὅτι μαινομένων ἐστὶ τὸ πρεσβυτέραν τῶν ἐπινοούντων ἡγεῖσθαι τὴν ἐπίνοιαν, καὶ ἔτι πρὸς τούτοις ὅσα ὑποβὰς διεξέρχεται· ὥσπερ οὖν οὐδὲ ἐκεῖνο φρονούντων, τὸ τοὺς ἀνθρώπους, καίπερ ὄντας ὑστάτους τῶν τοῦ θεοῦ δημιουργημάτων, προτάττειν τῆς σφῶν αὐτῶν ἐπινοίας.

MCT 1 τοῦ λόγου: τῶν λόγων v 3 ἐπιγινομένων v 7 ἀνάρχως: ἄναρχον M v τῷ v: τὸ MCT 11 ante αὐτὸν rasura quinque litterarum T 15-16 εὑρῆσθαι v 19 περὶ τίνος M: παρά τινος CT 22 verba inde a τοῦ θεοῦ—24 τῶν λόγων om v 25 πρεσβύτερον v 26 ἐπίνοιαν: ἐπινόησιν v καὶ ἔστι v 17 ὅσα om CT ἐξέρχεται v οὖν om v

μεγάλην γὰρ <ἂν> τῷ ὄντι τὴν ἰσχὺν ὁ λόγος εἶχεν, εἴπερ τις ἐκ μανίας ἢ παραφροσύνης ἐπίνοιαν εἶναι τὸν θεὸν ἀπε-
172 φαίνετο. εἰ δὲ οὔτος μὲν ὁ λόγος οὔτε ἔστιν οὔτε μὴν γεγένηται (τίς γὰρ ἂν εἰς τοῦτο παραπληξίας ἐλάσειεν, ὥστε τὸν ὄντως ὄντα καὶ τὰ ἄλλα πάντα ὅσα ἔστιν εἰς γένεσιν ἀγαγόντα, τοῦτον μὴ καθ' ὑπόστασιν ἰδίαν εἶναι λέγειν, ἀλλ' ἐπίνοιαν ὀνόματος αὐτὸν ἀποφαίνεσθαι;) τί μάτην σκια-
173 μαχεῖ τοῖς οὐ τεθεῖσι μαχόμενος; ἢ πρόδηλος ἡ αἰτία τῆς ἀδιανοήτου ταύτης φιλονεικίας, ὅτι τοὺς ἐξαπατηθέντας διὰ τοῦ κατὰ τὴν ἀγεννησίαν σοφίσματος αἰσχυνόμενος, ἐπειδὴ διηλέγχθη πάμπολυ τῆς κατὰ τὴν οὐσίαν σημασίας κεχωρισμένον τὸ ὄνομα, ἑκὼν ποιεῖται τῶν λεγομένων τὴν σύγχυσιν, ἀπὸ τοῦ ὀνόματος ἐπὶ τὰ πράγματα μεταβιβάζων τὴν μάχην, ὡς τοὺς ἀνεπιστάτους εὐκόλως διὰ τῆς τοιαύτης παρακρουσθῆναι συγχύσεως, νομίζοντας ἢ ἐπίνοιαν τὸν θεὸν παρ' ἡμῶν εἰρῆσθαι ἢ τῆς τῶν ἀνθρωπίνων ὀνομάτων εὑρέσεως δεύτερον, καὶ διὰ τοῦτο καταλιπὼν ἀνέλεγκτον τὸ ἡμέτερον
174 πρὸς ἕτερα μεταφέρει τὴν μάχην; τὸ γὰρ παρ' ἡμῶν ἦν, καθὼς εἴρηται, τὸ τῆς ἀγεννησίας ὄνομα μὴ τὴν φύσιν ἐνδείκνυσθαι, ἀλλ' ἐξ ἐπινοίας ἐφαρμόζειν τῇ φύσει, δι' ἧς τὸ ἄνευ αἰτίας αὐτὸν ὑφεστάναι σημαίνεται. τὸ δὲ παρ' αὐτῶν κατασκευαζόμενον ἦν αὐτῆς εἶναι τῆς οὐσίας ἐνδεικτικὴν τὴν φωνήν. ποῦ τοίνυν κατεσκευάσθη τὸ οὕτως
175 ἔχειν τὴν τοῦ ὀνόματος δύναμιν; ἀλλὰ ταῦτα μὲν ἑτέροις που πάντως τεταμίευται λόγοις, ὁ δὲ πᾶς αὐτῷ πόνος εἰς τὸ ὑφεστάναι τὸν θεὸν ἀγεννήτως ἠσχόληται· ὅμοιον ὥσπερ ἂν εἴ τις σαφῶς αὐτὸν περὶ τούτων ἤρετο, τίνα περὶ τοῦ ὀνόματος τῆς ἀγεννησίας ἔχοι διάνοιαν, εἴτε ὡς ἐπινοουμένου πρὸς ἔνδειξιν τοῦ ἀνάρχως εἶναι τὸ πρῶτον αἴτιον εἴτε καὶ ὡς αὐτῆς δηλωτικοῦ τῆς οὐσίας, ὁ δὲ μάλα

MCT 1 ἂν addidi τῷ ὄντι om MCT τὴν ante ἰσχὺν om et postea sscr C 2-3 ἀπε . . . M φαίνετο deest in lacuna 3 οὔτε μὲν v 4 τίς γὰρ—τοῦτο om in lac M 5 τὰ ἄλλα πάντα om in lac M 6 λέγειν εἶναι v 7 αὐτὸν om v 7-8 σκιομαχεῖ v 8 ἡ om v 9 ἀνοήτου v 10 τὴν om v ἐπεὶ v 18 πρὸς ἕτερα om v 27 αὐτὸν om v 28 ἔχει v 30 καὶ om M

σεμνῶς καὶ ἐπιστατικῶς ἀπεκρίνατο τὸ οὐρανοῦ καὶ γῆς
176 τὸν θεὸν ποιητὴν εἶναι μὴ ἀμφιβάλλειν. ὡς τοίνυν οὗτος
ὁ λόγος ἀπᾴδει τοῦ προταθέντος καὶ οὐ συνήρτηται, κατὰ
τὸν αὐτὸν τρόπον εὕροις ἂν καὶ ἐπὶ τῆς καλλιγραφηθείσης
αὐτῷ καθ' ἡμῶν μάχης τὸ πρὸς τὸν σκοπὸν ἀσυνάρτητον.
οὑτωσὶ δὲ σκοπήσωμεν.

177 Ἀγέννητόν φασι τὸν θεὸν εἶναι· τούτῳ καὶ ἡμεῖς
συντιθέμεθα. ἀλλὰ καὶ τὴν ἀγεννησίαν οὐσίαν εἶναι·
πρὸς τοῦτο παρ' ἡμῶν ἀντίρρησις. ὄνομα γὰρ τοῦτό φαμεν
ἐνδεικτικὸν εἶναι τοῦ ἀγεννήτως τὸν θεὸν ὑφεστάναι, οὐ
τὴν ἀγεννησίαν εἶναι θεόν. ἐλέγχειν ἐπαγγέλλεται τὸν
ἡμέτερον λόγον· τίς οὖν ὁ ἔλεγχος; ὅτι πρὸ τῆς τῶν ἀν-
178 θρώπων συστάσεως ἦν, φησίν, ἀγεννήτως. τί τοῦτο πρὸς
τὸ ζητούμενον; δείξειν οὗτος κατεπαγγέλλεται ταὐτὸν εἶναι
τῷ ὑποκειμένῳ τὸ ὄνομα. οὐσίαν γὰρ εἶναι τὴν ἀγεννη-
σίαν ὁρίζεται. τίς οὖν ἡ ἀπόδειξις; τὸ δεῖξαι προϋφε-
στῶτα τῶν φωνῇ κεχρημένων τὸν θεόν; ὢ τῆς ἀναντιρρήτου
καὶ θαυμαστῆς ἀποδείξεως. αὕτη ἐστὶν ἡ ἐκ τῆς διαλε-
969 M. κτικῆς τέχνης λογικὴ λεπτουργία, πρὸς ἣν τίς <ἂν> ἀντιβλέ-
179 ψειε τῶν ἀμυήτων τῆς ἀπορρήτου παιδεύσεως; ἀλλὰ σεμνῶς
ἡμῖν ἐν ταῖς περὶ τῆς ἐπινοίας διαστολαῖς αὐτὸ διακωμῳδεῖ
τῆς ἐπινοίας τὸ ὄνομα. τῶν γὰρ οὕτω κατ' ἐπί-
νοιαν λεγομένων φησὶ τὰ μὲν κατὰ τὴν προφορὰν
ἔχειν μόνην τὴν ὕπαρξιν ὡς τὰ μηδὲν σημαίνοντα,
τὰ δὲ κατ' ἰδίαν διάνοιαν· καὶ τούτων τὰ μὲν κατὰ
αὔξησιν ὡς ἐπὶ τῶν κολοσσιαίων, τὰ δὲ κατὰ μείω-
σιν ὡς ἐπὶ τῶν πυγμαίων, τὰ δὲ κατὰ πρόσθεσιν
ὡς ἐπὶ τῶν πολυκεφάλων ἢ κατὰ σύνθεσιν ὡς ἐπὶ
180 τῶν μιξοθήρων. ὁρᾷς εἰς τί τὴν ἐπίνοιαν ἡμῖν ὁ σοφὸς

MCT 1 ἀπεκρίνετο v   2 ποιητὴν τὸν θεὸν CT   7 τοῦτο v   10 εἶναι ἐνδεικτικὸν M   13 ἀγέννητος v   14 ζητούμενον δ δείξειν v post ζητούμενον distinxi   16 ἡ τῶν ἐπηγγελμένων ἀπόδειξις v   19 λεπτουργία MT λεπουργία C: τεχνουργία v   ἣν M v: ὃν CT   ἂν supplevi   24 μόνον ἔχει v   26-27 τὰ δὲ— πυγμαίων v, om MCT   27 πρόθεσιν T   29 ὅρος ἐπινοίας in mg T

διακερματίσας περαιτέρω τὴν δύναμιν αὐτῆς προελθεῖν οὐκ
ἠξίωσεν. ἀσήμαντον εἶναί φησι τὴν ἐπίνοιαν, ἀδιανόητον, τὰ
παρὰ φύσιν σοφιζομένην ἢ διακολοβοῦσαν ἢ ὑπερτείνουσαν τὰ
ὡρισμένα μέτρα τῆς φύσεως ἢ ἐξ ἑτεροφυῶν συντιθεῖσαν ἢ
τερατευομένην ταῖς ἀλλοκότοις προσθήκαις. ἐν τούτοις
καταπαίξας τοῦ τῆς ἐπινοίας ὀνόματος ἄχρηστον αὐτὴν καὶ
181 ἀνόνητον τῷ βίῳ τὸ κατ' αὐτὸν ἀποδείκνυσιν. πόθεν οὖν
τῶν μαθημάτων τὰ ὑψηλότερα, πόθεν ἡ γεωμετρία καὶ ἡ
ἀριθμητικὴ φιλοσοφία καὶ τῶν λογικῶν τε καὶ φυσικῶν
θεωρημάτων ἡ διδασκαλία, αἱ δὲ τῶν μηχανημάτων εὑρέσεις
καὶ τὰ διὰ χαλκοῦ τε καὶ ὕδατος ἐν ὡροσκοπείοις θαύματα,
αὐτὴ δὲ ἡ περὶ τοῦ ὄντος φιλοσοφία καὶ ἡ τῶν νοητῶν
θεωρία καὶ συλλήβδην φάναι πᾶσα ἡ περὶ τὰ μεγάλα τε
καὶ ὑψηλὰ τῆς ψυχῆς ἀσχολία; τί δὲ ἡ γεωργία, τί δὲ ἡ
ναυτιλία, τί δὲ ἡ λοιπὴ κατὰ τὸν βίον ἡμῶν οἰκονομία;
182 πόθεν βάσιμος τῷ ἀνθρώπῳ ἡ θάλασσα; πῶς δεδούλωται
τῷ χερσαίῳ τὸ ἐναέριον, πῶς τιθασσεύεται τὸ ἀνήμερον,
πῶς δαμάζεται τὸ φοβερώτερον, πῶς οὐκ ἀφηνιάζει τὸ
ἰσχυρότερον; ἆρ' οὐ δι' ἐπινοίας ἐφευρέθη ταῦτα πάντα τῇ
ἀνθρωπίνῃ ζωῇ; ἔστι γὰρ κατά γε τὸν ἐμὸν λόγον ἡ ἐπί-
νοια ἔφοδος εὑρετικὴ τῶν ἀγνοουμένων, διὰ τῶν προσεχῶν
τε καὶ ἀκολούθων τῇ πρώτῃ περὶ τὸ σπουδαζόμενον νοήσει
τὸ ἐφεξῆς ἐξευρίσκουσα. νοήσαντες γάρ τι περὶ τοῦ ζητου-
μένου τῇ ἀρχῇ τοῦ ληφθέντος διὰ τῶν ἐφευρισκομένων νοη-
μάτων συναρμόζοντες τὸ ἀκόλουθον εἰς τὸ πέρας τῶν
σπουδαζομένων τὴν ἐγχείρησιν ἄγομεν.

183 Καὶ τί μοι τὰ μείζω καὶ ὑψηλότερα τῶν τῆς ἐπινοίας
κατορθωμάτων ἀπαριθμεῖσθαι; ἔξεστι γὰρ τῷ μὴ φιλο-
νείκως ἔχοντι πρὸς τὴν ἀλήθειαν κατιδεῖν ὅτι καὶ τὰ ἄλλα
πάντα, ὅσα βιωφελῆ τε καὶ χρήσιμα τῇ ζωῇ τῶν ἀνθρώ-
πων ὁ χρόνος ἐφεῦρεν, οὐχ ἑτέρως ἀλλὰ διὰ τῆς ἐπινοίας
ἐξηύρηται. καί μοι δοκεῖ πάντων τῶν κατὰ τὴν ζωὴν

MCT 1 παρελθεῖν M   8-9 ἡ ante ἀριθμητικὴ om M   12 δὲ om v   13 πᾶσα τε ἡ v   16 δεδούλευται v   19 πάντα ταῦτα C   20 γε om v   ἡ om v   28 ἀριθμεῖσθαι v

ταύτην ἐνεργουμένων ἐν ἡμῖν ἀγαθῶν τῶν ταῖς ψυχαῖς
ἡμῶν παρὰ τῆς θείας προμηθείας ἐνυπαρχόντων τὴν ἐπί-
νοιάν τις προτιμοτέραν κρίνων μὴ ἂν τῆς πρεπούσης κρί-
184 σεως διαψευσθῆναι. λέγω δὲ ταῦτα παρὰ τοῦ Ἰὼβ δι-
δαχθεὶς ἐν οἷς ὁ θεὸς τῷ λόγῳ πεποίηται διὰ λαίλαπος
καὶ νεφῶν τῷ θεράποντι χρηματίζων, τά τε ἄλλα λέγων
ὅσα θεῷ πρέπον ἦν λέγειν καὶ ὅτι αὐτὸς εἴη ὁ ταῖς τέχναις
972 M. ἐπιστήσας τὸν ἄνθρωπον καὶ γυναιξὶ χαρισάμενος ὑφαντικήν
τε καὶ ποικιλτικὴν ἐπιστήμην. ὅτι γὰρ οὐκ ἐνεργείᾳ τινὶ
τὰς τοιαύτας τέχνας ἡμᾶς ἐδιδάξατο αὐτὸς προκαθήμενος
τῆς ἐργασίας, καθάπερ ἐν τοῖς σωματικῶς διδασκομένοις
ἔστιν ἰδεῖν, οὐδεὶς ἂν ἀντείποι πάντως μὴ σάρκινος καὶ
185 κτηνώδης τις ὤν. ἀλλὰ μὴν εἴρηται παρ' αὐτοῦ γεγενῆ-
σθαι ἡμῖν τῶν τοιούτων τεχνῶν ἡ καθήγησις. οὐκοῦν ὁ
δοὺς τῇ φύσει τὴν ἐπινοητικὴν καὶ εὑρετικὴν τῶν ζητου-
μένων δύναμιν αὐτὸς ἡμᾶς πρὸς τὰς τέχνας προήγαγε, καὶ
τῷ τῆς αἰτίας λόγῳ πᾶν τὸ εὑρισκόμενόν τε καὶ κατορθού-
μενον εἰς τὸν ἀρχηγὸν τῆς δυνάμεως ταύτης ἐπαναφέρεται·
οὕτω καὶ τὴν ἰατρικὴν ὁ βίος εὕρατο, ἀλλ' ὅμως θεοῦ
186 δῶρον τὴν ἰατρικὴν εἰπών τις οὐχ ἁμαρτήσεται. καὶ πᾶν
ὅτιπέρ ἐστι κατὰ τὴν ἀνθρωπίνην ζωὴν ἐξευρημένον κατ'
εἰρήνην καὶ πόλεμον πρός τι τῶν χρησίμων ἐπιτηδείως
ἔχον, οὐδαμόθεν ἡμῖν ἔσχε τὴν πάροδον, ἀλλὰ τοῦ νοῦ τὰ
καθ' ἕκαστον ἡμῖν καταλλήλως νοοῦντος καὶ ἐφευρίσκοντος·
νοῦς δὲ ἔργον θεοῦ· οὐκοῦν ἐκ θεοῦ πάντα ὅσα διὰ τοῦ
187 νοῦ ἡμῖν πεπόρισται. τὸ δὲ λέγεσθαι παρὰ τῶν ὑπεναν-
τίων τὰ μυθώδη πλάσματα καὶ τὰ ψευδῆ τερατεύματα
παρὰ τῆς ἐπινοίας λογοποιεῖσθαι καὶ πλάσσεσθαι, οὐδὲ
αὐτὸς ἀντιλέγω· πρὸς γὰρ τὸν ἡμέτερον σκοπὸν καὶ ὁ

5 Job 38,36

MCT 4 διαψευσθῆναι κρίσεως M λέγω δὴ v 5 τὸν λόγον T 9 τινὶ om M 12 ἂν om v 13 τις om M 16 ἤγαγε v 17 τὸ ἐξ ἐπινοίας εὑρισκόμενον v 19 ἀλλ' ὅμως—20 ἁμαρτήσεται om CT 20 τις εἰπὼν M 21 ὅτιπερ: ὅπερ v 24 ἐπινοοῦντος v fortasse recte

ἐκείνων λόγος συμφέρεται. φαμὲν γὰρ καὶ ἡμεῖς τὴν αὐτὴν
εἶναι τῶν ἐναντίων τὴν ἐπιστήμην τῶν τε ἐπωφελῶν καὶ τῶν
ὡς ἑτέρως ἐχόντων οἷον τὴν ἰατρικὴν καὶ τὴν κυβερνητικὴν
καὶ εἴ τι ἄλλο τοιοῦτόν ἐστιν· ὁ γὰρ εἰδὼς βοηθῆσαι τοῖς
ἀρρωστοῦσι διὰ φαρμάκου ἐπιγνοίη ἄν, εἴπερ ἐπὶ κακῷ
χρῷτο τῇ τέχνῃ, καὶ τοῖς ὑγιαίνουσιν ἐντρῖψαι τὸ δηλητή-
188 ριον· καὶ ὁ πρὸς τὸν λιμένα διευθύνων τῷ πηδαλίῳ τὸ
σκάφος εὐθύνειεν ἂν καὶ ἐπὶ χοιράδας ἢ σκοπέλους, εἰ
τοῦτο γένοιτο φίλον αὐτῷ τὸ δι' ἐπιβουλῆς διαφθεῖραι τοὺς
πλέοντας· καὶ ὁ ζωγράφος τῇ αὐτῇ τέχνῃ τήν τε καλλίστην
μορφὴν ἐπὶ τοῦ πίνακος ἔδειξε καὶ τὴν αἰσχίστην πάλιν ἐν-
αργῶς ἐμιμήσατο· οὕτως ὁ παιδοτρίβης τὸ ἐξηρθρωμένον
μέλος διὰ τῆς ἀλειπτικῆς ἐμπειρίας ἐνήρμοσε καὶ τὸ ὑγι-
αῖνον, εἰ βούλοιτο, διὰ τῆς αὐτῆς τέχνης ἐξήρμοσε.
189 Καὶ τί χρὴ τὰ καθ' ἕκαστον λέγοντα πολὺν ὄχλον
ἐπεισάγειν τῷ λόγῳ; ὡς τοίνυν ἐπὶ τῶν εἰρημένων οὐκ ἄν
τις ἀντείποι τὸν πρὸς τὸ κρεῖττον ἐνεργεῖν μεμαθηκότα
τέχνην τινὰ δύνασθαι ἂν τῇ αὐτῇ καὶ πρὸς τὰ μὴ δέοντα
χρήσασθαι, οὕτως φαμὲν καὶ τῆς ἐπινοίας τὴν δύναμιν ἐπ'
ἀγαθῷ μὲν ἐντεθεῖσθαι παρὰ τοῦ θεοῦ τῇ ἀνθρωπίνῃ
φύσει, κατακεχρημένων δέ τινων τῇ ἐφευρετικῇ δυνάμει
διάκονον πολλάκις καὶ συνεργὸν γίνεσθαι τῶν ἀνωφελῶν
190 εὑρημάτων. οὐκοῦν οὐκ ἐπειδὴ δύναται τὰ ψευδῆ καὶ
ἀνύπαρκτα πιθανῶς ἡ ἐπίνοια διαπλάσσειν, διὰ τοῦτο τὰ
ὄντως ὄντα καὶ ἀληθῶς ὑφεστῶτα διερευνᾶσθαι οὐ δύναται,
ἀλλ' ἡ πρὸς τὸ τοιοῦτον ἐπιτηδειότης μαρτυρία τοῖς εὐγνώ-
μοσι τῆς πρὸς ἐκεῖνο δυνάμεως γίνεται. τὸ γὰρ προθέ-
μενον κατάπληξιν τοῖς ὁρῶσιν ἢ θυμηδίαν τινὰ μηχανή-
σασθαι τῆς πρὸς τὸ σπουδαζόμενον ἐπινοίας μὴ ἀπορῆσαι,
ἀλλ' ἢ πολυχειράς τινας ἢ πολυκεφάλους ἢ πῦρ πνέοντας
ἢ δρακόντων ὁλκοῖς συνεσπειραμένους εἰδοποιῆσαι ἢ πρὸς
973 M. τὸ μεῖζον ἐξᾶραι τὴν συμμετρίαν ἢ διακολοβῶσαι πρὸς τὸ

MCT 3 καὶ τὴν om v 8 εὐθύνοιεν T 20 ἐντιθῆσθαι T 23 οὐκοῦν οὐκ Cv: οὔκουν (om οὐκ) T οὔκουν οὐκ M 32 τὸ ante μεῖζον om M

γελοῖον τὰ μέτρα τῆς φύσεως ἢ πηγὰς τοὺς ἀνθρώπους καὶ δένδρα καὶ ὄρνεα γενέσθαι διὰ μεταβολῆς διηγήσασθαι, δι' ὧν ἔστι ψυχαγωγίαν τινὰ τοὺς διὰ τῶν τοιούτων ἡδομένους εὑρεῖν, ἐναργεστάτην ἀπόδειξιν εἶναί φημι τοῦ καὶ τὰ κρείττω τῶν μαθημάτων δύνασθαι ἂν διὰ τῆς εὑρετικῆς
191 δυνάμεως κατανοῆσαι. οὐ γὰρ πρὸς μὲν τὴν τῶν ἀνυπάρκτων διάπλασιν ἐντελὴς ἡμῖν ὁ νοῦς παρὰ τοῦ δεδωκότος ἐμπέφυκε, πρὸς δὲ τὴν τῶν ψυχωφελῶν εὕρεσιν οὐδεμίαν δύναμιν ποριστικὴν τῶν λυσιτελούντων κεκλήρωται· ἀλλὰ καθάπερ ἡ ὁρμητικὴ καὶ προαιρετικὴ τῆς ψυχῆς ἡμῶν δύναμις κατὰ μὲν τὸ προηγούμενον πρὸς τὴν τῶν καλῶν τε καὶ ἀγαθῶν ἔφεσιν ἐγκατεσκευάσθη τῇ φύσει, χρήσαιτο δ' ἄν τις καὶ πρὸς τὰ μὴ δέοντα τῇ τοιαύτῃ κινήσει, καὶ οὐκ ἄν τις εἴποι τοῦ πρὸς μηδὲν ἀγαθὸν τὴν προαίρεσιν ῥέπειν τεκμήριον εἶναι τὸ πρὸς τὰ φαῦλά ποτε τὴν ῥοπὴν ἔχειν, οὕτως καὶ ἡ περὶ τὰ μάταιά τε καὶ ἀνόνητα τῆς ἐπινοίας κίνησις οὐ κατηγορία τῆς πρὸς τὸ χρήσιμον ἀδυναμίας ἐστίν, ἀλλ' ἀπόδειξις γίνεται τοῦ καὶ πρὸς τὰ ψυχωφελῆ τε καὶ ἀναγκαῖα μὴ ἄπρακτος εἶναι. ὡς γὰρ ἐξεῦρεν ἐκεῖ τὸ πρὸς ἡδονὴν ἢ κατάπληξιν, οὕτω καὶ ἐνταῦθα τῶν πρὸς τὴν ἀλήθειαν ἐφόδων οὐχ ἁμαρτήσεται.

192 Ἓν δὲ τῶν ζητουμένων ἦν, εἰ τὸ πρῶτον αἴτιον, ὅ ἐστιν ὁ θεός, ἀνάρχως ἔστιν ἤ τινος ἀρχῆς ἐξημμένον ἔχει τὸ εἶναι. καταλαβόντες δὲ τῇ διανοίᾳ μὴ δύνασθαι πρῶτον εἶναι τὸ ἐξ ἑτέρου νοούμενον ἐπενοήσαμεν ὄνομα τῆς τοιαύτης ἐμφαντικὸν ὑπολήψεως καί φαμεν τὸν ἄνευ αἰτίας ὑπερκειμένης ὄντα ἀνάρχως εἴτουν ἀγεννήτως εἶναι. τὸν δὲ οὕτως ὄντα ἀγέννητον καὶ ἄναρχον ὠνομάσαμεν, οὐ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστι διὰ τοῦ ὀνόματος ἐνδεικνύμενοι.
193 ὡς δ' ἂν μάλιστα καταφανὲς τὸ νόημα γένοιτο, δι' ὑποδείγματος ἐναργεστέρου παραστῆσαι πειράσομαι. δεδόσθω περὶ δένδρου τινὸς εἶναι τὴν ζήτησιν εἴτε φυτευτόν ἐστιν ἢ

MCT 3 ἔστι ψυχαγωγίαν CT v: εὐψυχαγωγίαν M 18 καὶ ante πρὸς om MCT 26 ἐμφατικῆς ὑπολήψεως v 30 νόημα: ὄνομα v 32 φυτόν CT

αὐτομάτως γενόμενον. εἰ μὲν οὖν ἐκ φυτείας εἴη, φυτευτὸν πάντως προσεροῦμεν τὸ δένδρον, εἰ δὲ αὐτομάτως, ἀφύτευτον. τὸ δὴ τοιοῦτον ὄνομα καὶ τῆς ἀληθείας οὐ διασφάλλεται· πάντως γὰρ ἢ οὕτως ἢ ἑτέρως ἔσται τὸ δένδρον, καὶ τοῦ φυτοῦ τὴν ἰδιάζουσαν οὐκ ἐνδείκνυται φύσιν. τὸ μὲν γὰρ αὐτοφυῶς εἶναι διὰ τοῦ ἀφυτεύτου ἐμάθομεν, εἰ δὲ πλάτανος ἢ ἄμπελος ἢ ἄλλο τι τῶν τοιούτων φυτῶν ἐστι τὸ δηλούμενον,
194 διὰ τῆς τοιαύτης ὀνομασίας οὐκ ἐδιδάχθημεν. εἰ δὴ νενόηται τὸ ὑπόδειγμα, καιρὸς ἂν εἴη μεταβιβάσαι τὸν λόγον ἐπὶ τὸ πρᾶγμα οὗ τὸ ὑπόδειγμα. τὸ πρῶτον αἴτιον ἐξ οὐδεμιᾶς ὑπερκειμένης αἰτίας ἔχειν τὸ εἶναι κατελαβόμεθα. τὸν οὖν ἀγεννήτως ὄντα θεὸν εἰς ὀνόματος τύπον τὴν ἔννοιαν ταύτην παράγοντες ἀγέννητον ὠνομάσαμεν. ὅτι μὲν οὖν οὐ διὰ γενέσεώς ἐστιν, ἐκ τῆς τοῦ ὀνόματος ἐμφάσεως ἐδηλώσαμεν, αὐτὴ δὲ ἡ οὐσία ἡ ἀγεννήτως οὖσα τίς κατὰ τὴν ἰδίαν φύσιν ἐστίν, οὐδὲν ἐκ τῆς ἐπωνυμίας ταύτης πρὸς τὸ κατι-
195 δεῖν ὡδηγήθημεν. οὐδὲ γὰρ ἦν εἰκὸς μέχρι τοσούτου τὴν
976 M. τῶν λογισμῶν ἐπίνοιαν ἰσχύειν, ὥστε ὑπεραίρειν ἡμᾶς τῶν μέτρων τῆς φύσεως καὶ τοῖς ἀλήπτοις ἐπιβιβάζειν καί, ὧν οὐκ ἔστιν ἔφοδος εἰς κατανόησιν, ταῦτα τῇ ἡμετέρᾳ γνώσει περιλαμβάνειν.

Ἀλλὰ διασαλεύει τὸν διδάσκαλον ἡμῶν καὶ περισύρει τὸν λόγον, ὃν περὶ τῆς ἐπινοίας ἐκεῖνός φησι καὶ κατορχεῖται τῶν εἰρημένων, πάλιν συνήθως τῷ κρότῳ τῶν λεξειδίων ἐνσατυρίζων τοῖς ῥήμασι, καί φησιν· *ὧν σφετερίζεται τὴν ἑρμηνείαν, τούτων ἐπαισχύνεται τὴν μαρ-*
196 *τυρίαν.* ἀπαγγείλας γάρ τι μέρος τῶν κατ' ἐπίνοιαν θεωρηθέντων τῷ διδασκάλῳ, ἐν οἷς ἐκεῖνος οὐ μόνον ἐπὶ τῶν ματαίων ἐνεργὸν ἔφασκε τῆς ἐπινοίας εἶναι τὴν χρῆσιν,

28 confer Basilii contra Eunomium lib I 7

MCT 2 ἐροῦμεν M 3 ὄνομα: νόημα M 7 φυτῶν post τοιούτων om CT 13-14 οὐ διὰ γενέσεώς ἐστιν CT: οὐ γενέσεώς ἐστιν M διὰ γενέσεως οὐκ ἔστιν v 16 ἐπωνυμίας: ἐπινοίας M 23 κατορχεῖ v 27 ἐπαγγείλας v 29 εἶναι τὴν χρῆσιν CT v: τὴν ἔννοιαν M

ἀλλ' ἔχειν τινὰ καὶ πρὸς τὰ μείζω δύναμιν, διὰ τοῦ κατὰ τὸν σῖτον καὶ τὸ σπέρμα καὶ τὴν τροφὴν θεωρήματος ἐπάγει τὰ εἰρημένα, τῇ ἔξωθεν αὐτὸν φιλοσοφίᾳ κατακολουθεῖν αἰτιώμενος, καὶ περικόπτειν τὴν τοῦ θεοῦ κηδεμονίαν φησί, μὴ ὁμολογοῦντα παρ' ἐκείνου τὰς ὀνομασίας τεθεῖσθαι τοῖς πράγμασι, καὶ συμμαχεῖν αὐτὸν τοῖς ἀθέοις καὶ κατὰ τῆς προνοίας ὁπλίζεσθαι, καὶ τὴν ἐκείνων γνώμην πρὸ τῶν νόμων θαυμάζειν κἀκείνοις πλεῖον εἰς σοφίαν νέμειν, οὐκ ἐπεσκεμμένον τοὺς πρώτους τῶν λόγων, ὅτι μήπω παραχθέντων τῶν ἀνθρώπων εἰς γένεσιν ἡ τοῦ καρποῦ καὶ τοῦ σπέρματος ἐπωνυμία παρὰ τῆς γραφῆς ὠνομάσθη.

197 ταῦτα καθ' ἡμῶν παρ' αὐτοῦ τὰ ἐγκλήματα, οὐχ οὕτως γεγραμμένα τοῖς ἐκείνου ῥήμασι τὰ νοήματα, ἀλλὰ τοσοῦτον ὑπήλλακται παρ' ἡμῶν ἡ φράσις, ὅσον τὸ τραχύ τε καὶ δύσηχον τῆς συντάξεως τῶν εἰρημένων ἐπανορθώσασθαι. τί οὖν ἡμεῖς, τί πρὸς τὸν κηδεμόνα τῆς θείας προνοίας ἀποκρινόμεθα; ἀδικεῖν ἡμᾶς λέγει ὅτι τὸ μὲν λογικὸν γεγενῆσθαι παρὰ τοῦ θεοῦ τὸν ἄνθρωπον οὐκ ἀρνούμεθα, τὰς δὲ τῶν ῥημάτων εὑρέσεις εἰς τὴν λογικὴν δύναμιν τὴν ἐντεθεῖσαν παρὰ τοῦ θεοῦ τῇ φύσει τῶν ἀνθρώπων ἀνάγομεν. καὶ τοῦτό ἐστι τὸ χαλεπώτατον τῶν ἐγκλημάτων, δι' οὗ πρὸς τὴν τῶν ἀθέων γνώμην αὐτομολεῖν ὁ διδάσκαλος τῆς εὐσεβείας κατηγορεῖται καὶ συνηθείας ἐκθέσμου κληρονόμος καὶ συνήγορος καὶ πάντα ὀνομάζεται τὰ δεινότατα.

198 Εἰπάτω τοίνυν ὁ διορθωτὴς τῶν ἡμετέρων πταισμάτων, ὁ θεὸς ἔθετο τὰς προσηγορίας τοῖς οὖσιν; τοῦτο γάρ φησιν ὁ νέος ἐξηγητὴς τῶν μυστικῶν δογμάτων, ὅτι βλάστην καὶ βοτάνην καὶ χόρτον καὶ σπέρμα καὶ ξύλον καὶ τὰ τοιαῦτα

MCT 2 τὸν σῖτον καὶ om M   7 τεθῆσθαι T   15 οὐχ οὕτως—16 τὰ νοήματα om M   20 ἀποκρινώμεθα M   27 καὶ συνήγορος v, om MCT   31 διδαγμάτων v   32 καὶ σπέρμα om M

κατωνόμασε πρὸ τῆς τοῦ ἀνθρώπου κατασκευῆς ὁ θεὸς ἐν τῷ παράγειν εἰς κτίσιν τὰ γεγονότα διὰ προστάγματος.

199 οὐκοῦν εἰ ψιλῷ παραμένει τῷ γράμματι καὶ κατὰ τοῦτο τὸ μέρος ἰουδαΐζει τῇ γνώμῃ καὶ οὔπω πεπαίδευται ὅτι οὐχὶ γράμματός ἐστιν ὁ Χριστιανὸς μαθητὴς ἀλλὰ πνεύματος (τὸ γὰρ γράμμα, φησίν, ἀποκτέννει, τὸ δὲ πνεῦμα ζωοποιεῖ), προφέρει δὲ ψιλὴν ἐπὶ ῥήματος ἡμῖν τὴν τῶν γεγραμμένων ἀνάγνωσιν ὡς θεοῦ ταῦτα διεξελθόντος, καὶ εἰ τοῦτο πεπί-
977 M. στευκεν, οὐδὲν ἕτερον ἢ καθ' ὁμοιότητα τῶν ἀνθρώπων καὶ τὸν θεὸν διεξοδικῷ κεχρῆσθαι λόγῳ κατασκευάσει καὶ
200 φωνῇ καὶ φθόγγῳ διατυποῦν τὰ νοήματα. εἰ τοίνυν τοῦτο νοεῖ, πάντως ὅτι καὶ τὰ τούτοις ἀκόλουθα οὐκ ἀρνήσεται· ὁ γὰρ παρ' ἡμῶν λόγος διὰ τῶν φωνητικῶν ἐκφωνεῖται μορίων, ἀρτηρίας γλώσσης ὀδόντων στόματος, συνεργούσης πρὸς τὴν ἐκφώνησιν καὶ τῆς τοῦ ἀέρος ὁλκῆς καὶ τοῦ ἔνδοθεν πνεύματος. ὑπηχεῖ μὲν γὰρ ἡμῖν ἡ ἀρτηρία κάτωθεν αὐλοῦ τινος δίκην ἐνηρμοσμένη τῇ φάρυγγι· ἡ δὲ ὑπερῴα διὰ τοῦ ὑπερκειμένου κενώματος τοῦ κατὰ τοὺς μυκτῆρας διήκοντος καθάπερ τις μαγὰς ἄνωθεν ἐπιπλατύνει τῷ ἤχῳ
201 τὸν φθόγγον. ἀλλὰ καὶ αἱ παρειαὶ συνεργοῦσι τῷ λόγῳ, κατὰ τὰς ποιὰς τῶν ἄρθρων τυπώσεις κοιλαινόμεναί τε καὶ πλατυνόμεναι καὶ διὰ στενοῦ πάλιν τὸν φθόγγον προάγουσαι κατὰ τὰς πολυστρόφους τῆς γλώσσης ἀναστροφάς, ἃς ποιεῖται ἄλλοτε κατ' ἄλλο μέρος ἑαυτῆς, ἢ τοῖς ὀδοῦσιν ἢ τῇ ὑπερῴᾳ τὸ δι' αὐτῆς παριὸν πνεῦμα παρατραχύνουσά
202 πως ἢ παραθλίβουσα. συντελεῖ δέ τι καὶ ἡ τῶν χειλῶν ὑπουργία ἐν διαφόρῳ τῷ τῆς κινήσεως τρόπῳ ποικίλως συνεφαπτομένη τοῦ φθόγγου καὶ τὸν τῶν ῥημάτων τύπον

6 II Cor 3,6   13 quae sequuntur magna ex parte ex Greg de hom opif cap IX p 149 sq Migne desumpta sunt

MCT 6 ἀποκτέννει CT ἀποκτένει M: ἀποκτείνει v   7 γραμμάτων v   8 εἰ om CT v   10 λόγῳ om v   11 διατυποῦντα τὰ νοήμ. v   16 ὑπηχεῖται T   ἡ ante ἀρτηρία om v   17 τῷ φάρυγγι T   23 πολυτρόπους v   24 ante ἑαυτῆς rasura circiter sex litterarum T

συναπαρτίζουσα. εἰ τοίνυν ὁ θεὸς τὰ ὀνόματα τοῖς πράγ-
μασι τίθεται, καθὼς ὁ νέος τῆς θείας ἱστορίας ἐξηγητὴς
διεσάφησε, βλάστην καὶ βοτάνην καὶ ξύλον καὶ καρπὸν ὀνο-
μάζων, ἀνάγκη πᾶσα μὴ ἄλλως τούτων ἕκαστον εἰπεῖν
αὐτὸν ἢ ὡς λέγεται, κατὰ τὰς τῶν συλλαβῶν φημι συμ-
πλοκάς, ὧν αἱ μὲν διὰ χειλῶν αἱ δὲ διὰ γλώσσης αἱ
203 δὲ δι' ἑκατέρων ἀποτυποῦνται. εἰ οὖν οὐκ ἂν ἑτέρως
ἐκφωνηθείη τὸ ὄνομα, μὴ τῶν φωνητικῶν μορίων διὰ
τῆς ποιᾶς κινήσεως ἀπογεννώντων τὰς συλλαβὰς καὶ τὸν
λόγον, πάντως ὅτι καὶ ταῦτα προστίθησι τῷ θεῷ καὶ διὰ
τὴν τοῦ λόγου χρείαν διασχηματίσει τὸ θεῖον. ἡ γὰρ
ποιὰ τῶν τὴν φωνὴν ἐκτελούντων μορίων διάπλασις ἐν
σχήματι πάντως ἐστί· σχῆμα δὲ σώματος πέρας· πᾶν δὲ
204 σῶμα τὸ σύνθετον εἶναι οὐ διαπέφευγεν. ὅπου δὲ θεω-
ρεῖται σύνθεσις, ἐκεῖ καταλαμβάνεται πάντως καὶ ἡ τοῦ
συνθέτου διάλυσις· ἡ δὲ διάλυσις ταὐτὸν κατὰ τὴν ἔννοιάν
ἐστι τῇ φθορᾷ. οὐκοῦν τοῦτο τῆς καθ' ἡμῶν νίκης τῷ
λογογράφῳ τὸ πέρας, τὸ δεῖξαι τὸν ἴδιον ἑαυτοῦ θεόν, ὃν
διὰ τοῦ ὀνόματος τῆς ἀγεννησίας ἀνέπλασε, φθεγγό-
μενον μὲν ἵνα μὴ ἀμοιρήσῃ τῆς τῶν ὀνομάτων εὑρέσεως,
σχηματιζόμενον δὲ τοῖς φωνητικοῖς μέλεσιν ἵνα τὰ ὀνόματα
φθέγξηται, τῆς δὲ τοῦ σώματος φύσεως διὰ τὴν τῶν σχη-
μάτων ἀνάγκην οὐκ ἄμοιρον (οὐ γὰρ ἂν ἐφ' ἑαυτοῦ τι
θεωρηθείη σχῆμα, μὴ ἐν σώματι πάντως τυπούμενον), κατ'
ὀλίγον δὲ προϊόντα πρὸς τὰ συμφυῆ τοῦ σώματος πάθη
διὰ μὲν τοῦ συνθέτου πρὸς τὴν διάλυσιν, διὰ δὲ ταύτης
εἰς φθορὰν καταλήγοντα.
205 Τοιαύτη τοῦ προσφάτου θεοῦ ἡ φύσις διὰ τῆς ἀκολουθίας
τῶν εἰρημένων ὑπὸ τοῦ νέου θεοποιοῦ ἀναπέφηνεν. ἀλλὰ ἀντι-
λαμβάνεται τῶν γεγραμμένων καί φησι ταῦτα τὸν Μωϋσέα
διαρρήδην βοᾶν ὅτι εἶπεν ὁ θεός, καὶ προστίθησι τὰ
ῥήματα, τὸ Γενηθήτω φῶς καὶ Γενηθήτω στερέωμα

32 Gen 1, 3 sq

MCT 7 ὑποτυποῦνται CT 12 μορίων om CT 32 bis γεννηθήτω C

καὶ Συναχθήτω τὰ ὕδατα καὶ Ὀφθήτω ἡ ξηρὰ καὶ
980 M. Βλαστησάτω ἡ γῆ καὶ Ἐξαγαγέτω τὰ ὕδατα καὶ
πάντα ὅσα καθεξῆς ἀναγέγραπται. οὐκοῦν ἐξετάσωμεν
206 τὴν τῶν εἰρημένων διάνοιαν. τίς οὐκ οἶδε καὶ τῶν κομιδῇ
νηπίων ὅτι φυσικὴν ἔχει πρὸς ἄλληλα σχέσιν ἀκοή τε καὶ
λόγος, καὶ ὡς οὐκ ἔστιν ἀκοὴν ἐνεργῆσαι μηδενὸς φθεγγομέ-
νου, οὕτως οὐδὲ λόγον ἐνεργὸν εἶναι μὴ πρὸς ἀκοὴν εὐθυνό-
μενον. εἰ οὖν λέγει τὸ εἰρηκέναι τὸν θεόν, ὑποδειξάτω
ἡμῖν καὶ τὴν ἀκοὴν πρὸς ἣν εἴρηκεν. ἢ πρὸς ἑαυτὸν ταῦτα
λέγειν φήσει; οὐκοῦν ἑαυτῷ προστάσσει ταῦτα ἐγκελευό-
μενος. καὶ τίς τοῦτο δέξεται, καθῆσθαι τὸν θεὸν τὸ πρακτέον
ἑαυτῷ διατάττοντα καὶ ἑαυτῷ διακόνῳ τῶν προσταγμάτων
207 καὶ ὑπηρέτῃ χρώμενον; εἰ δὲ καὶ τοῦτο δοίη τις εὐαγὲς
εἶναι λέγειν, τίς ἐφ' ἑαυτοῦ ῥημάτων ἐδεήθη καὶ λόγων,
κἂν ἄνθρωπος ᾖ; ἀρκεῖ γὰρ ἑκάστῳ τῆς διανοίας ἡ κίνησις
τὴν τῆς προαιρέσεως ὁρμὴν ἐμποιῆσαι. ἀλλὰ τῷ υἱῷ
διαλέγεσθαι πάντως ἐρεῖ. καὶ τίς ἦν χρεία πρὸς τοῦτο
φωνῆς; ἴδιον γὰρ τῆς ἐνσωμάτου φύσεως τὸ διὰ ῥημάτων
ἐξαγγέλλειν τὰ τῆς καρδίας νοήματα· ὅθεν καὶ ἰσοδυνα-
μοῦσα τῇ χρήσει τῆς φωνῆς ἡ δι' ἐπινοίας τῶν γραμμάτων
208 ἐξεύρηται δήλωσις· ἐπίσης γὰρ φθεγγόμενοί τε καὶ γράφοντες
τὸ νοηθὲν ἐξαγγέλλομεν, ἀλλ' ἐπὶ μὲν τῶν μὴ λίαν ἀφεστηκό-
των φωνῇ τῆς ἀκοῆς καθικνούμεθα, πρὸς δὲ τοὺς πόρρωθεν
γράμμασι δηλοῦμεν τὴν γνώμην, καὶ ἐπὶ τῶν παρόντων
πρὸς λόγον τῆς ἀποστάσεως ἢ ἐπιτείνομεν τὸν τόνον τῆς
φωνῆς ἢ ὑφίεμεν, ἔστιν δὲ ὅτε καὶ διανεύοντες μόνον τὸ
πρακτέον τοῖς πέλας διεσαφήσαμεν καὶ τὴν ἐν τῇ ψυχῇ
προαίρεσιν καὶ ὀφθαλμὸς τοιῶσδε διατεθεὶς ἐνεδείξατο καὶ
χειρὸς ποιὰ κίνησις ἢ ἀπεῖπέ τι τῶν γινομένων ἢ κατεδέξατο.
209 εἰ τοίνυν οἱ σώματι περιειλημμένοι τὰ κρυπτὰ τῆς διανοίας
κινήματα καὶ δίχα φωνῆς ἢ ῥήματος ἢ τῆς ἐν γράμμασιν

MCT 1 ξηρά in rasura T 10 λέγει C φησίν v 15 ᾖ: εἴη M
20 δι' ἐπινοίας τῶν γραμμάτων: διὰ τῶν γραμμάτων v 22 μὲν v:
om MCT 26 διανεύοντες: διὰ νεύσεως v 28-29 καὶ χειρὸς δὲ T
30 σώμασι C v 31 ἐν τοῖς γράμμασιν CT

ὁμιλίας πολλάκις τοῖς πέλας γνωρίζουσι καὶ οὐδεμίαν ἤνεγκε τῷ σπουδαζομένῳ πράγματι ζημίαν ἡ σιωπή, ἆρ' ἐπὶ τῆς ἀΰλου καὶ ἀναφοῦς καί, ὥς φησιν ὁ Εὐνόμιος, ἀνωτάτω καὶ πρώτης οὐσίας ῥημάτων χρεία τῶν καὶ τοῦ πατρὸς διασαφούντων τὸ νόημα καὶ τῷ μονογενεῖ γνωριζόντων τὸ βούλημα; ῥημάτων τῶν, καθὼς αὐτός φησι, τῇ φωνῇ πεφυκότων συνδιαλύεσθαι;

Οὐκ οἶδα εἴ τις τῶν νοῦν ἐχόντων ταῦτα ὡς ἀληθῆ παραδέξεται, ἄλλως τε παντὸς φθόγγου πάντως εἰς ἀέρα προχεομένου (οὐδὲ γὰρ δυνατὸν γενέσθαι φωνὴν μὴ ἐν ἀέρι συνισταμένην) ἀνάγκη πᾶσα μέσον τι τοῦ φθεγγομένου καὶ τοῦ πρὸς ὃν ὁ λόγος γίνεται καὶ αὐτοὺς ὑπο-
210 θέσθαι. μὴ γὰρ ὄντος τοῦ μεσιτεύοντος, πῶς ἐκ τοῦ λαλοῦντος ἡ φωνὴ διοδεύσει πρὸς τὸν ἀκούοντα; τί οὖν ἐροῦσι τὸ μέσον ᾧ τὸν υἱὸν [ἐκ] τοῦ πατρὸς διορίζουσι; τῶν μὲν γὰρ σωμάτων ὁ κατὰ τὸν ἀέρα τόπος γίνεται μέσος, ἄλλο τι ὢν κατὰ τὴν ἰδίαν φύσιν παρὰ τὴν τῶν ἀνθρωπίνων σωμάτων οὐσίαν. ὁ δὲ ἀναφὴς καὶ ἀνείδεος καὶ πάσης συνθέσεως καθαρεύων θεός, τῷ μονογενεῖ θεῷ παραπλησίως, μᾶλλον δὲ ὡσαύτως ἀΰλως τε καὶ ἀσωμάτως τῶν ἰδίων κοινωνῶν βουλευμάτων, εἴπερ διὰ φωνῆς ἐποιεῖτο τὴν κοινωνίαν, τί τὸ μεσιτεῦον εἶχε, δι' οὗ ῥέων ὁ λόγος καὶ μεθιστάμενος ταῖς ἀκοαῖς τοῦ μονογενοῦς εἰσῳκίζετο;
211 εἴγε χρὴ καὶ τοῦτο παραδραμεῖν ἀθεώρητον, τὸ μὴ μεμε-
981 M. ρίσθαι τὸ θεῖον ταῖς ἀντιληπτικαῖς ἐνεργείαις, ὡς παρ' ἡμῖν διῃρημένως ἕκαστον τῶν αἰσθητηρίων τοῦ συγγενοῦς ἐπιδράσσεται, τοῦ ὁρατοῦ μὲν ἡ ὅρασις τοῦ ἀκουστοῦ δὲ ἡ κατὰ τὴν ἀκοὴν αἴσθησις, καὶ οὔτε γεύεται ἡ ἁφὴ οὔτε ἡ ἀκοὴ τὴν τῶν ἀτμῶν ἢ τῶν χυμῶν ἀντίληψιν ἔχει, ἀλλὰ παραμένει ἕκαστον τῇ μιᾷ ἐνεργείᾳ εἰς ἣν ἐτάχθη παρὰ

MCT 5 καὶ ante τοῦ om v 6 τῶν om v 9 πάντως εἰς ἀέρα CM: εἰς ἀέρα πάντως T v 14 διοδεύσει: διαβαίνει CT 15 ἐκ delevi 20 τῷ παραπλησίως, μ. δ. ὡσαύτως ἀΰλῳ τε καὶ ἀσωμάτῳ v 22 ῥέπων v 23 εἰσοικίζεται v 29 τὴν om v τῶν ante χυμῶν om M

τῆς φύσεως, ἀναίσθητον τρόπον τινὰ πρὸς ὃ μὴ πέφυκε διαμένον καὶ ἄγευστον τῆς ἀπολαύσεως ἧς καρποῦται ἡ
212 γείτων αἴσθησις. ἐκεῖ δὲ οὐχ οὕτως, ἀλλ' ὅλον δι' ὅλου τὸ θεῖον ὅρασίς ἐστι καὶ ἀκοὴ καὶ γνῶσις. οὐ γὰρ δὴ θέμις καὶ τὰς ζῳωδεστέρας τῶν αἰσθήσεων ἐφαρμόζειν τῇ ἀκηράτῳ φύσει. πλὴν εἰ χρή τι καὶ ταπεινὸν ὑποθέσθαι καὶ καταγαγεῖν εἰς χαμαιζήλους ὑπολήψεις τὸ θεῖον, ὥστε λαλεῖν μὲν οἴεσθαι ῥήματα διὰ στόματος τὸν πατέρα, ἐνεργεῖν δὲ τὴν ἀκοὴν τοῦ υἱοῦ, τί τὸ μέσον ὑποτιθέμεθα τὸ διάγον τὴν πατρικὴν φωνὴν εἰς τὴν τοῦ υἱοῦ ἀκοήν;
213 κτιστὸν εἶναι χρὴ τοῦτο ἢ ἄκτιστον; ἀλλὰ κτιστὸν μὲν οὐκ ἔστιν εἰπεῖν· πρὸ γὰρ τοῦ συστῆναι τὴν κτίσιν ὁ λόγος ἐγένετο· ἄκτιστον δὲ πλὴν τῆς θείας φύσεώς ἐστιν οὐδέν. εἰ οὖν κτίσις οὐκ ἦν, ὁ δὲ μνημονευθεὶς ἐν τῇ κοσμογενείᾳ λόγος τῆς κτίσεως πρεσβύτερος ἦν, ἄρα ὁ λέγων ῥήματα καὶ φωνῆς ἦχον διὰ τοῦ λόγου σημαίνεσθαι τί τὸ μεταξὺ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ὑποθήσεται, ᾧ διετυποῦτο ἡ φωνὴ τὰ ῥήματα; εἰ γὰρ ἔστι μέσον, ἐν ἰδιαζούσῃ φύσει πάντως ἐστίν, ὡς μήτε τῷ πατρὶ ταὐτὸν εἶναι μήτε τῷ υἱῷ κατὰ τὴν φύσιν συμβαίνειν, ἀλλ' ἕτερόν τι πάντως ὂν διΐστησιν ἀπ' ἀλλήλων τὸν πατέρα καὶ τὸν υἱὸν μεταξὺ τῶν δύο
214 παρενειρόμενον. τί οὖν τοῦτο; κτιστὸν οὐκ ἔστι· νεωτέρα γὰρ ἡ κτίσις τοῦ λόγου. γεννητὸν τὸν μονογενῆ ἐδιδάχθημεν, ἀγέννητον πλὴν τοῦ πατρός ἐστιν οὐδέν. οὐκοῦν ἐξ ἀνάγκης τὸ μηδὲν εἶναι μέσον τοῦ πατρὸς καὶ τοῦ υἱοῦ νοεῖν ὁ τῆς ἀληθείας λόγος συναναγκάζει. ὅπου δὲ διάστασις οὐκ ἐπινοεῖται, τὸ συνημμένον πάντως ὁμολογεῖται, τὸ δὲ διὰ πάντων συνημμένον φωνῇ καὶ λόγῳ οὐ μεσιτεύεται. συνημμένον δὲ λέγω τὸ ἐν πᾶσιν ἀχώριστον. οὐ γὰρ σωματικήν τινα συμφυΐαν ἐπὶ τῆς νοερᾶς φύσεως τὸ ὄνομα

4 cf Xenophanes Colophonius frg 24 Diels

MCT 17-18 ἡ φ. καὶ τ. ῥήματα v 18 φύσει πάντως ει et π in rasura T 25 τοῦ ante πατρὸς et υἱοῦ om M 26 καταναγκάζει T 27 ὁμολογεῖται: ἐπινοεῖται M

τῆς συναφείας ἐνδείκνυται, ἀλλὰ τὴν τοῦ νοητοῦ πρὸς τὸ
νοητὸν διὰ τῆς ταὐτότητος τῶν θελημάτων ἕνωσίν τε καὶ
ἀνάκρασιν.
215 Διότι οὐδὲ ἔστι διαφορὰ μεταξὺ τοῦ υἱοῦ καὶ τοῦ
πατρὸς ἐν θελήματι, ἀλλὰ κατὰ τὸ ἀρχέτυπον τῆς ἀγαθό-
τητος κάλλος καὶ ἡ εἰκών ἐστι τῆς ἀγαθότητος. καὶ ὥσπερ
εἴ τις ἑαυτὸν ἐν κατόπτρῳ βλέποι (κωλύει γὰρ οὐδὲν σω-
ματικοῖς ὑποδείγμασι παραστῆσαι τὸ νόημα), κατὰ πάντα
πρὸς τὸ πρωτότυπον καὶ ἡ εἰκὼν μορφωθήσεται, ὡς αἰτίαν
τῆς ἐν τῷ κατόπτρῳ μορφῆς εἶναι τὴν ἐνορῶσαν μορφὴν
καὶ μήτε κινεῖσθαι μήτε ἐπικλίνεσθαι καθ' ἑαυτὴν τὴν
εἰκόνα, μὴ τοῦ πρωτοτύπου τῆς ἐπικλίσεως ἢ τῆς κινήσεως
ἄρξαντος, εἰ δὲ κινηθείη τὸ προηγούμενον, συγκινεῖσθαι
πάντως καὶ τὸ ἐν τῷ κατόπτρῳ δεικνύμενον, οὕτω φαμὲν
καὶ τὴν εἰκόνα τοῦ θεοῦ τοῦ ἀοράτου τὸν κύριον πρὸς
984 M. πᾶσαν θελήματος κίνησιν ἀμέσως τε καὶ ἀδιαστάτως συν-
216 διατίθεσθαι τῷ πατρί. ἠθέλησέ τι ὁ πατὴρ καὶ ὁ ἐν τῷ
πατρὶ ὢν υἱὸς εἶχε τὸ θέλημα τοῦ πατρός, μᾶλλον δὲ
αὐτὸς τοῦ πατρὸς ἐγένετο θέλημα. ὁ γὰρ πάντα τὰ τοῦ
πατρὸς ἔχων ἐν ἑαυτῷ οὐκ ἔστιν ὅ τι τῶν τοῦ πατρὸς οὐκ
ἔχει. εἰ δὴ πάντα ἔχει ἐν ἑαυτῷ τὰ πατρῷα, μᾶλλον δὲ
καὶ αὐτὸν τὸν πατέρα, πάντως μετὰ τοῦ πατρὸς καὶ τῶν
τοῦ πατρὸς ὅλον τὸ θέλημα ἐν ἑαυτῷ ἔχει τὸ πατρῷον.
217 οὐ χρῄζει τοίνυν λόγῳ μαθεῖν τοῦ πατρὸς τὸ θέλημα,
αὐτὸς ὢν τοῦ πατρὸς ὁ λόγος κατὰ τὴν ὑψηλοτέραν ση-
μασίαν τοῦ λόγου. τίς οὖν ἐκεῖνος ὁ λόγος ὁ πρὸς τὸν
ὄντως λόγον γινόμενος; καὶ πῶς ὁ ὄντως λόγος λόγου
πάλιν ἑτέρου πρὸς διδασκαλίαν προσδέεται; ἀλλ' ἐρεῖ τις
πρὸς τὸ πνεῦμα τὸ ἅγιον τοῦ πατρὸς γίνεσθαι τὴν φωνήν.

19 Joh 16,15

MCT 4 μεταξὺ om v 7 βλέπει T 12 ἀρχετύπου v 15 τοῦ ἀοράτου θεοῦ T 18 εἶδε libri v, correxi cf 20 sq 21 δή: δὲ v 22 καὶ post μᾶλλον δὲ om T 24 τὸ τοῦ πατρὸς θέλημα M 28 προσδέεται MC v: προσδεῖται T verba ἀλλ' ἐρεῖ τις usque ad 289, 1 προσδέεται om v

218 οὐδὲ τὸ πνεῦμα τῆς ἐκ ῥημάτων διδασκαλίας προσδέεται,
ὃ ἐν τῷ θεῷ ἐστι, καθώς φησιν ὁ ἀπόστολος, καὶ πάντα
ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ. εἰ οὖν ῥήματα φθέγγεται
ὁ θεός, πᾶς δὲ λόγος ἐπὶ ἀκοῆς ἐνεργεῖται, οἱ δημηγορεῖν
τὸν θεὸν ἐν διεξοδικοῖς λόγοις ἀποφαινόμενοι γνωρισάτωσαν
ἡμῖν καὶ τὸ τῶν θείων λόγων ἀκροατήριον. πρὸς ἑαυτὸν
λαλεῖν οὐκ ἐδέετο, ὁ υἱὸς ἀπροσδεὴς ἦν τῆς ἐκ ῥημάτων
διδασκαλίας, τὸ πνεῦμα τὸ ἅγιον πάντα, φησίν, ἐρευνᾷ, καὶ
τὰ βάθη τοῦ θεοῦ, ἡ κτίσις οὔπω ἦν· πρὸς τίνα ὁ λόγος
219 ἐγίνετο; ἀλλ' οὐ ψεύδεται, φησίν, ἡ τοῦ Μωϋσέως γραφή,
δι' ἧς τὸ εἰρηκέναι τι τὸν θεὸν ἀποφαίνεται. οὐδὲ γὰρ ὁ
μέγας Δαβὶδ τῶν ψευδομένων ἐστί, λέγει δὲ σαφῶς οὕτως
κατὰ λέξιν ὅτι Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ καὶ ποίησιν
χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα· ἡμέρα τῇ ἡμέρᾳ
220 ἐρεύγεται ῥῆμα καὶ νὺξ ἀναγγέλλει γνῶσιν νυκτί. καὶ εἰπὼν
διηγεῖσθαι τοὺς οὐρανοὺς καὶ τὸ στερέωμα καὶ παρὰ τῆς
ἡμέρας καὶ τῆς νυκτὸς ἀπαγγέλλεσθαι γνῶσιν καὶ ῥήματα,
πάλιν ἐπάγει τοῖς εἰρημένοις ὅτι ταῦτα λαλιαὶ οὐκ εἰσὶν
οὐδὲ λόγοι οὐδὲ φωναὶ τούτων ἀκούονται. πῶς οὖν διηγή-
ματα καὶ ἀναγγελίαι καὶ ῥήματα λαλιαὶ οὐκ εἰσὶν οὐδὲ
221 φωνὴ διὰ τῆς ἀκουστικῆς αἰσθήσεως ἐγγινομένη; ἆρα μά-
χεται πρὸς ἑαυτὸν ὁ προφήτης; ἆρά τι τῶν οὐκ ἐνδεχο-
μένων διέξεισιν, ἄφθογγον ῥῆμα καὶ διήγησιν ἄλαλον καὶ
ἀγγελίαν δίχα φωνῆς διδάσκων; ἢ παντὸς μᾶλλον ἀληθὴς
ἡ προφητεία ἡ τοῦτο διὰ τῶν εἰρημένων διδάσκουσα, ὅτι τὸ
διήγημα τὸ οὐράνιον καὶ τὸ ῥῆμα τὸ παρὰ τῆς ἡμέρας
βοώμενον φωνὴ μὲν ἔναρθρος οὐκ ἔστιν οὔτε λαλιὰ διὰ

2 I Cor 2,10 10 Eunomium respondentem facit 13 Ps 18,2 18 Ps 18, 4

MCT 2 ὃ ἐν: ὃς ἐν Tv 3 ῥήματι v 4 δημηγορεῖν: δημιουργεῖν v 5 ἐν om v 7 ἐδέετο MCT: ἐνδέεται v 8 τὸ ἅγιον om CT v πάντα, φησίν om M 11 ἀποφαίνεται CT . . . ται M ceteras litteras om in lac: ἀκηκόαμεν v 13 κατὰ λέξιν ὅτι om in lac M 16 καὶ παρὰ: πρὸς δὲ M 17 ἀναγγέλλεσθαι suspicatur Hoerner cf 14 et 20 23 ῥῆμα: ῥῆσιν T 24 πάντως μᾶλλον M 25 διδάσκουσα: παιδεύουσα v

στόματος, διδασκαλία δὲ τῆς θείας δυνάμεως γίνεται τοῖς ἐπαΐειν ἐπισταμένοις σιωπώσης φωνῆς;

222 Τί οὖν περὶ τούτων ὑπειλήφαμεν; τάχα γὰρ ἐὰν τοῦτο
νοήσωμεν, καὶ τὸ παρὰ Μωϋσέως νενοηκότες ἐσόμεθα. πολλάκις ἡ γραφὴ πρὸς ἐναργῆ κατανόησιν τοῦ δηλουμένου πράγματος σωματικώτερον διασκευάζει τὴν τῶν νοητῶν θεωρίαν, οἷον δὴ καὶ τοῦτο τὸ δόγμα ἐστὶν ὅπερ δοκεῖ μοι ὁ Δαβὶδ ἀποφαίνεσθαι, τοῦτο δι' ὧν εἶπε διδάσκων· οὐδὲν τῶν ὄντων ἔκ τινος αὐτομάτου συντυχίας τὴν ὑπόστασιν ἔχει, καθάπερ ᾠήθησάν τινες τυχαίας τε καὶ ἀλόγους τῶν πρώτων στοιχείων ἀντεμπλοκὰς τὸν κόσμον ἡμῖν ὅλον καὶ τὰ ἐν αὐτῷ κατεργάσασθαι, οὐδεμιᾶς προνοίας διὰ τῶν
985 M. ὄντων ἡκούσης, ἀλλ' ἔστι τι τῆς τοῦ παντὸς συστάσεως καὶ
διοικήσεως αἴτιον, οὗ πᾶσα ἡ τῶν νοητῶν ἐξῆπται φύσις, κἀκεῖθεν τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχει καὶ πρὸς ἐκεῖνο
223 νένευκέ τε καὶ ἐπιστρέφεται καὶ ἐν αὐτῷ διαμένει. καὶ
ἐπειδή, καθώς φησιν ὁ ἀπόστολος, ἡ ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης ἀπὸ τῆς τοῦ κόσμου κτίσεως νοουμένη καθορᾶται, διὰ τοῦτο πᾶσα ἡ κτίσις καὶ πρό γε πάντων, καθώς φησιν ὁ λόγος, ἡ ἐν τοῖς οὐρανοῖς διακόσμησις διὰ τῆς ἐμφαινομένης τοῖς γεγονόσι τέχνης τὴν τοῦ πεποιηκότος σοφίαν ἐνδείκνυται. καὶ τοῦτό μοι δοκεῖ παραστῆσαι θέλων τὴν ἐκ τῶν φαινομένων μαρτυρίαν τοῦ σοφῶς καὶ ἐντέχνως τὰ ὄντα κατεσκευάσθαι καὶ εἰσαεὶ διαμένειν ἐν τῇ δυνάμει
224 τοῦ τὸ πᾶν οἰακίζοντος. αὐτούς φησι τοὺς οὐρανούς, δι'
ὧν τὴν σοφίαν τοῦ πεποιηκότος δεικνύουσιν, μονονουχὶ φωνὴν ἀφιέντας βοᾶν καὶ διακηρύσσειν τοῦ δημιουργοῦ τὴν σοφίαν δίχα φωνῆς. ἔξεστι γὰρ οἱονεὶ λόγῳ ταῦτα διδασκόντων ἀκούειν ὅτι πρὸς ἡμᾶς ὁρῶντες, ὦ ἄνθρωποι,

8 cf § 219 10-11 τυχαίας . . . ἀντεμπλοκὰς] Epicurum respicit cf testim ad p 346, 1 sqq 16 sq Rom 1, 20

MCT 4 τὰ παρὰ v 6 τῶν νοηθέντων M 10 ἔχειν C v 13-14 συστάσεως τε καὶ διοικήσεως v: τε om MCT καὶ διοικήσεως om T 14 ἡ τῶν νοητῶν ἐξῆπται φύσις MCT: τῶν νοητῶν om et ἡ collocat post ἐξῆπται v 15 ἐκεῖνον v 28 λόγων M

καὶ τὸ ἐν ἡμῖν κάλλος καὶ μέγεθος καὶ τὴν ἀεικίνητον ταύτην περιφορὰν καὶ τὴν εὔτακτόν τε καὶ ἐναρμόνιον καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν κίνησιν ἐννοήσατε τὸν ἐπιστατοῦντα τῆς ἡμετέρας συστάσεως καὶ διὰ τοῦ φαινομένου κάλλους τὸ πρωτότυπον καὶ ἀόρατον κάλλος ἀναλογίσασθε· οὐδὲν γὰρ ἐν ἡμῖν ἀδέσποτον ἢ αὐτοκίνητον ἢ αὐτόματον, ἀλλὰ πᾶν τὸ φαινόμενόν τε περὶ ἡμᾶς καὶ νοούμενον τῆς ὑψηλῆς τε καὶ ἀφράστου δυνάμεως ἤρτηται.
225 ταῦτα λόγος μὲν ἔναρθρος οὐκ ἔστιν, ἐντίθησι δὲ διὰ τῶν
φαινομένων ταῖς ψυχαῖς τὴν γνῶσιν τῆς θείας δυνάμεως μᾶλλον ἢ εἰ διὰ φωνῆς ὁ λόγος ἐκήρυσσεν. ὥσπερ τοίνυν διηγεῖται ὁ οὐρανὸς καὶ οὐ φθέγγεται, καὶ ἀναγγέλλει τὸ στερέωμα τὴν τοῦ θεοῦ ποίησιν καὶ φωνῆς οὐ προσδέεται, καὶ ῥῆμα προΐεται ἡ ἡμέρα καὶ λαλιὰ οὐκ ἔστιν, καὶ οὐκ ἂν τις εἴποι διεσφάλθαι τὴν προφητείαν, κατὰ τὸν αὐτὸν τρόπον ἐπειδὴ εἷς ἀμφοτέροις τῷ Μωϋσεῖ καὶ τῷ Δαβὶδ ὁ διδάσκαλος, τὸ πνεῦμα λέγω τὸ ἅγιον, ὁ τὸ πρόσταγμα καθηγήσασθαι τῆς κτίσεως λέγων οὐ ῥημάτων ἡμῖν δημιουργὸν τὸν θεὸν ὑποτίθεται, ἀλλὰ πραγμάτων τῶν διὰ τῆς τῶν ῥημάτων σημασίας γνωριζομένων. ἵνα γὰρ μὴ ἀδέσποτόν τινα καὶ αὐτοφυῆ τὴν κτίσιν εἶναι νοήσωμεν, καὶ γεγενῆσθαι ταύτην παρὰ τῆς θείας φύσεως λέγει καὶ τάξει
226 τινὶ καὶ ἀκολουθίᾳ συστῆναί φησι. καὶ μακρὸν ἂν εἴη περὶ
τῆς τάξεως φιλοσοφεῖν τῶν κατὰ τὴν κοσμοποιΐαν ὑπὸ τοῦ Μωϋσέως ἐν ἱστορίας χαρακτῆρι δογματικῶς εἰρημένων. ἢ γὰρ ἂν μᾶλλον δι' ἑκάστου τῶν γεγραμμένων τὸ πεπλανημένον τε καὶ μάταιον τῆς τῶν ἐναντίων ὑπολήψεως φανερῶς διηλέγχθη. ἔξεστι δὲ τῷ βουλομένῳ τοῖς εἰς τὴν Γένεσιν

12 διηγεῖται] cf § 219 28 cf Gregorii Apologiam in Hexaëmeron et De opificio hominis de ordine creationis

MCT 2 καὶ ante τὴν om M 3 τὰ ante αὐτὰ om T νοήσατε CT v 12 φέγγεται M 13 προσδέχεται T 14 ῥῆμα οὐ πρ. CT v 15 διασφάλλεσθαι v 19 τῶν om v 20 τῆς om T 21 ἀδέσποτόν τινα CT ἀδέσποτόν τι M: ἀδέσποτά τινα v 22 verba inde a θείας φύσεως usque ad 24 τῆς om v 24 φιλοσοφῇ v 24-25 ὑπὸ τοῦ μωϋσέως om CT 26-27 πεπλασμένον M

πεπονημένοις ἡμῖν ἐντυχόντι δοκιμάσαι τῶν τε ἡμετέρων καὶ τῶν ὑπεναντίων τὸν ἀκολουθότερον λόγον.

227 Ἀλλ' ἐπὶ τὴν προκειμένην ἡμῖν σπουδὴν ἐπανακτέον τὸν λόγον, ὅτι οὐ πάντως ἐπὶ θεοῦ φωνὴν καὶ ῥῆμα ἡ τοῦ Εἰπεῖν λέξις ἐνδείκνυται, ἀλλὰ τῷ βουλήματι τοῦ θεοῦ σύνδρομον ἀποφαίνων τὴν δύναμιν αἰσθητικώτερον ἡμῖν τὴν
228 νοητὴν ὑποδείκνυσι θεωρίαν. ἐπειδὴ γὰρ θελήματι τοῦ θεοῦ συνέστη τὰ πάντα, σύνηθες δὲ τοῖς ἀνθρώποις λόγῳ πρῶτον
988 M. διασημαίνειν τὸ βούλημα καὶ οὕτως ἐπάγειν τὸ ἔργον συμφωνοῦν τῷ βουλήματι, ἡ δὲ γραφὴ τῆς κοσμογενείας εἰσαγωγή πως εἰς θεογνωσίαν τοῖς ἀρχομένοις ἐστί, διὰ τῶν ἑτοιμοτέρων εἰς κατανόησιν τὴν ἰσχὺν τῆς θείας παριστῶσα φύσεως, προχειρότερον δὲ εἰς γνῶσιν τῶν νοουμένων ἡ διὰ τῆς αἰσθήσεως κατάληψις γίνεται, τούτου χάριν ὁ Μωϋσῆς διὰ μὲν τοῦ <τὸ> Εἰπεῖν τὸν θεὸν τόδε γενέσθαι προτάξαι τὴν ὁρμητικὴν τοῦ θελήματος ἐξουσίαν παρίστησι, διὰ δὲ τοῦ προσθεῖναι τὸ Καὶ ἐγένετο οὕτως, τὸ μηδεμίαν εἶναι διαφορὰν βουλήσεως καὶ ἐνεργείας ἐπὶ τῆς θείας ἐνδείκνυται φύσεως· ἀλλὰ διδάσκει καθηγεῖσθαι μὲν ἐπὶ θεοῦ τῆς ἐνεργείας τὴν νόησιν, οὐκ ἐφυστερίζειν δὲ μετὰ τὸ νοηθὲν τὸ ἐνεργούμενον, ἀλλ' ἅμα τὰ δύο καὶ κατὰ ταὐτὸν θεωρεῖσθαι, τήν τε τοῦ νοῦ κίνησιν καὶ τὴν ἀποτελεστικὴν τοῦ
229 πράγματος δύναμιν. οὐδὲν γὰρ ἔδωκεν ἐννοῆσαι μέσον ὁ λόγος τῆς προαιρέσεως καὶ τῆς πράξεως, ἀλλ' ὥσπερ τῇ ἐξάψει τῆς φλογὸς καὶ ἡ αὐγὴ συνεκφαίνεται καὶ ἐξ ἐκείνης οὖσα καὶ μετ' αὐτῆς συνεκλάμπουσα, κατὰ τὸν αὐτὸν τρόπον ἔργον μὲν τοῦ θείου θελήματος ἡ τῶν γεγονότων ἐστὶν ὑπόστασις, οὐ μὴν δευτερεύει τῇ τάξει μετὰ τὸ βούλημα.

MCT 6 ἀποφαίνουσα v   10-11 εἰσαγωγή M: εἰσαγωγική CT v   12 παριστῶσα: παρίστησι v   15 μὲν post διὰ om v   τοῦ <τὸ> et προτάξαι correxit Hoerner: τοῦ . . . προστάξαι libri v   τόδε: τὰ πάντα M   18 βουλήματός τε καὶ ἐν. CT v   ἐνδείκνυσθαι T   19 ἐπὶ τοῦ θεοῦ v   21 τὸ ἐνεργούμενον: τὴν ἐνέργειαν CT v   22 τήν τε προαιρετικὴν τοῦ νοῦ v   22-23 τὴν ἀποτελεστικὴν τοῦ πράγματος: τὴν εἰς τὸ εἶναι τοῦ πράγματος M   23-24 ὁ λόγος om M

230 οὐ γὰρ ὥσπερ ἐπὶ τῶν ἄλλων, οἷς τις πρακτικὴ δύναμις ἐκ φύσεως ἔνεστι, τὸ μὲν δυνάμει θεωρεῖται τὸ δὲ κατὰ τὴν τῆς ἐνεργείας ἐκπλήρωσιν, ὡς φέρε εἰπεῖν ἀεὶ μὲν εἶναι ναυπηγόν φαμεν τῇ δυνάμει τὸν τὴν ναυπηγικὴν ἔχοντα τέχνην, ἐνεργεῖν δὲ τότε, ὅταν ἐπὶ τῶν ἔργων δείξῃ τὴν ἐπιστήμην, οὐχ οὕτως καὶ ἐπὶ τῆς μακαρίας ζωῆς. ἀλλ' ὅλον ὅτιπέρ ἐστιν ἐν ἐκείνῃ νοούμενον ἐνέργεια καὶ πρᾶξίς ἐστιν, ἀμέσως τοῦ βουλήματος πρὸς τὸ κατὰ πρόθεσιν τέλος
231 μεθισταμένου. ὡς τοίνυν μαρτυρεῖ τῷ δημιουργῷ τὴν δόξαν ἡ ἐν τῷ οὐρανῷ διακόσμησις καὶ ὁμολογεῖ τὸν πεποιηκότα καὶ φωνῆς οὐ προσδέεται, οὕτω μοι τὸ ἔμπαλιν ἐκ τῆς τοῦ Μωϋσέως γραφῆς μεταλαβὼν ἄν τις λογίσαιτο, ὅτι καὶ ἑαυτοῦ κτίσμα ὁ θεὸς λέγει τὸν κόσμον ὁ τῷ προστάγματι τὸ πᾶν οὐσιώσας καὶ ῥημάτων πρὸς δήλωσιν τῆς ἐννοίας
232 ταύτης οὐκ ἐπιδέεται. ὡς οὖν ὁ ἀκούσας οὐρανοῦ διηγουμένου διεξοδικὸν οὐκ ἐζήτησε λόγον (λαλεῖ γὰρ τῷ νοῦν ἔχοντι διὰ τῶν γινομένων ὁ κόσμος τὴν διὰ τῶν ῥημάτων δήλωσιν χαίρειν ἐάσας), οὕτω κἂν τοῦ Μωϋσέως λέγοντός τις ἀκούσῃ, ὡς τοῦ θεοῦ ὀνομαστὶ περὶ τῶν καθ' ἕκαστον τοῦ κόσμου μερῶν διατάττοντός τε καὶ κελεύοντος, μήτε ψεύδεσθαι τὸν προφήτην ὑπονοείτω μήτε μικροῖς καὶ χαμαιζήλοις νοήμασι κατασμικρυνέτω τὴν τῶν ὑψηλῶν θεωρίαν, οἷον ἐξανθρωπίζων διὰ τῶν τοιούτων τὸ θεῖον καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν φωνῇ τὰ προστάγματα διεξοδεύειν ὑποτιθέμενος, ἀλλὰ τὸ μὲν πρόσταγμα δηλούτω τὴν βούλησιν, τὰ δὲ τῶν κτισθέντων ὀνόματα αὐτὴν διασημαινέτω τὴν τῶν γεγονότων ὑπόστασιν· ὥστε τὰ δύο διὰ τῶν εἰρημένων μαθεῖν, καὶ ὅτι βουληθεὶς ὁ θεὸς τὰ πάντα κατείργασται καὶ ὅτι ἀπραγμόνως τε καὶ ἀκόπως τὸ θεῖον βούλημα φύσις ἐγένετο.

233 Εἰ δέ τις τὸ Εἶπεν ὁ θεὸς σαρκικώτερον ἑρμηνεύοι, ὡς

31 Gen 1,3

MCT 2 ἔνεστι: ἐστι v   7 ἐνέργεια: ἐνεργὲς v   11 τοῦ post τῆς om T   21 μικροῖς: νεκροῖς T   24 προστάγματα: πράγματα M   30 ἐγίνετο v   31 ἑρμηννεύοι: ἐννοήσει M

989 M. διὰ τοῦτο τὸν ἔναρθρον λόγον παρ' αὐτοῦ γεγενῆσθαι κατα-
σκευάζειν, ὁ αὐτὸς οὗτος καὶ τὸ Εἶδεν ὁ θεὸς κατὰ τὴν
ἀντιληπτικὴν ἡμῶν αἴσθησιν διὰ τῆς τῶν ὀφθαλμῶν ἐνερ-
γείας πάντως ὑπονοήσει καὶ τὸ Ἤκουσε κύριος καὶ ἠλέησέ
με καὶ Ὠσφράνθη ὀσμὴν εὐωδίας καὶ ὅσα περὶ κεφαλῆς θείας
ἢ ποδὸς ἢ χειρὸς ἢ ῥινὸς ἢ βλεφάρων ἢ δακτύλων ἢ ὑπο-
δήματος ἡ γραφὴ σωματικώτερον διεξέρχεται, πάντα κατὰ
τὸ προχείρως σημαινόμενον ἐκλαβὼν ἀνθρωποειδὲς ἡμῖν
διαγράψει τὸ θεῖον καθ' ὁμοιότητα τῶν ἐν ἡμῖν φαινομένων.
234 εἰ δὲ δακτύλων τις ἔργα τοὺς οὐρανοὺς ἀκούων καὶ χεῖρα
κραταιὰν καὶ βραχίονα ὑψηλὸν καὶ ὀφθαλμὸν καὶ βλέφαρα
καὶ πόδα καὶ ὑποδήματα θεοπρεπεῖς ἐννοίας δι' ἑκάστου
τῶν εἰρημένων ἀναλογίζεται καὶ οὐ διαμολύνει τὸν περὶ τῆς
καθαρᾶς φύσεως λόγον ταῖς σωματικαῖς ὑπολήψεσι καταρ-
ρυπαίνων, ἀκόλουθον ἂν εἴη καὶ τὰς τῶν ῥημάτων ἐκφω-
νήσεις ἐνδεικτικὰς μὲν ἡγεῖσθαι τοῦ θείου βουλήματος, μὴ
μέντοι φωνὰς ἐνάρθρους ὑπολαμβάνειν, ἀλλ' ἐκεῖνο λογί-
ζεσθαι, ὅτι ὁ τῆς λογικῆς φύσεως δημιουργὸς ἀναλογοῦντα
τῷ μέτρῳ τῆς φύσεως τὸν λόγον ἡμῖν δεδώρηται, ὡς ἂν
235 ἔχοιμεν ἐξαγγέλλειν δι' αὐτοῦ τῆς ψυχῆς τὰ κινήματα. ὅσον
δὲ ἀπέχει ἡ φύσις τῆς φύσεως, ἡ θεία λέγω τῆς ἡμετέρας,
κατὰ τὸ ἴσον μέτρον τῆς ἀποστάσεως πάντα τὰ περὶ αὐτὴν
ὄντα τῶν ἐν ἡμῖν θεωρουμένων πρὸς τὸ μεγαλειότερόν τε
καὶ θεοπρεπέστερον τὴν παραλλαγὴν ἔχει· καὶ ὡς ἡ δύ-
ναμις ἡ καθ' ἡμᾶς πρὸς τὴν τοῦ θεοῦ κρινομένη τὸ μηδέν
ἐστι καὶ ἡ ζωὴ πρὸς τὴν ζωὴν καὶ τὰ ἄλλα πάντα τὰ
ἡμέτερα πρὸς τὰ ἐν ἐκείνῳ κρινόμενα ὡς οὐδὲν ἐνώπιον

2 Gen 1,4 4 Ps 29,11 5 Gen 8,21 10 Ps 8,3 11 sescenties

MCT 1 διὰ τούτου v τὸν om T 3 ὀφθαλμῶν: αἰσθητηρίων M 6 ἢ ποδὸς ἢ χειρὸς CTv: ἢ ῥινὸς M in utraque codicum familia aliquid homoeoteleuto excidisse videtur 7 ἡ γραφὴ σωματικώτερον διεξέρχεται in lac om M 8 ἀνθρωποειδὲς ἡμῖν in lac om M 9-10 φαινομένων. εἰ δὲ in lac om M 10 καὶ χεῖρα—11 βραχίονα in lac om M 12 θεοπρεπεῖς in lac om M 22 ὑποστάσεως v 24 θεοπρεπέστερον: μεγαλοπρεπέστερον T

αὐτοῦ, καθὼς ἡ προφητεία φησίν, οὕτως καὶ ὁ ἡμέτερος
λόγος πρὸς τὸν ὄντως ὄντα λόγον κρινόμενός ἐστιν οὐδέν.
236 οὗτος μὲν γὰρ ἐν ἀρχῇ οὐκ ἦν, ἀλλὰ τῇ ἡμετέρᾳ συγκατε-
σκευάσθη φύσει, οὔτε κατ' ἰδίαν θεωρεῖται ὑπόστασιν, ἀλλ'
ὥς φησί που ὁ διδάσκαλος τῷ ψόφῳ τῆς γλώσσης συνα-
φανίζεται, οὔτε τι ἔργον ἔστι τούτου νοῆσαι τοῦ λόγου, ἀλλ'
ἐν μόνῃ φωνῇ καὶ γράμματι τὴν ὑπόστασιν ἔχει· ὁ δὲ ἐκ
τοῦ θεοῦ λόγος θεός ἐστι, λόγος ἐν ἀρχῇ ὢν καὶ εἰσαεὶ
διαμένων, δι' οὗ τὰ πάντα ἔστι καὶ συνέστηκε, καὶ τοῦ
παντὸς ἐπιστατεῖ καὶ πᾶσαν ἔχει τὴν ἐξουσίαν τῶν ἐν
οὐρανῷ καὶ τῶν ἐπὶ γῆς, ζωὴ καὶ ἀλήθεια καὶ δικαιοσύνη
καὶ φῶς καὶ πᾶν ἀγαθὸν ὢν καὶ πάντα τὰ ἐν τῷ εἶναι
237 διακρατῶν. τοιούτου τοίνυν ὄντος καὶ τοσούτου τοῦ λόγου
τοῦ περὶ τὸν θεὸν νοουμένου οὗτος τὸν ἐν ὀνόμασι καὶ ῥή-
μασι καὶ συνδέσμοις συναπαρτιζόμενον λόγον ὥς τι μέγα
χαρίζεται τῷ θεῷ, ἀγνοῶν ὅτι ὥσπερ ὁ τὴν πρακτικὴν τῇ
φύσει ἡμῶν χαρισάμενος δύναμιν οὐ τὰ καθ' ἕκαστον ἡμῶν
ἔργα δημιουργεῖν λέγεται, ἀλλ' ὁ μὲν ἔδωκε τῇ φύσει τὴν
δύναμιν, ἐνεργεῖται δὲ παρ' ἡμῶν οἰκία καὶ βάθρον καὶ
ῥομφαία καὶ ἄροτρον καὶ ὅτουπερ ἂν ὁ βίος τύχῃ δεόμενος,
ὧν τὰ καθ' ἕκαστόν ἐστι μὲν ἔργα ἡμέτερα, εἰς δὲ τὸν
ἡμῶν αὐτῶν αἴτιον τὴν ἀναφορὰν ἔχει τὸν δεκτικὴν πάσης
ἐπιστήμης τὴν φύσιν ἡμῶν δημιουργήσαντα, οὕτως καὶ ἡ
τοῦ λόγου δύναμις ἔργον μέν ἐστι τοῦ τοιαύτην ἡμῶν πε-
992 M. ποιηκότος τὴν φύσιν, ἡ δὲ τῶν καθ' ἕκαστον ῥημάτων
εὕρεσις πρὸς τὴν χρείαν τῆς τῶν ὑποκειμένων σημασίας
238 παρ' ἡμῶν αὐτῶν ἐπενοήθη. τεκμήριον δὲ ὅτι πολλὰ τῶν
λεγομένων αἰσχρά τε καὶ ἀπρεπῆ παντάπασιν εἶναι νενό-

1 Ps 38,6 5 φησί που ὁ διδάσκαλος] cf Basilii contra Eunomium lib I 6

MCT 6 τι om v 9 καὶ post τὰ πάντα add v ἔστι: ἔστη M 11 ἐπὶ τῆς γῆς v καὶ ante δικαιοσύνη om T 12 πάντα τὰ: τὰ πάντα v 14 ὀνόματι M 16 τῷ om v ὥσπερ om MC 19 ἡ ante οἰκία add M 21 ἐστι μὲν ἔργα in lac om M 24 δύναμις in lac om M 25 τῶν καθ' ἕκαστον in lac om M 27 παρ' in lac om M 28 αἰσχρά τε in lac om M

μισται, ὧν οὐκ ἄν τις τῶν νοῦν ἐχόντων εὑρετὴν τὸν θεὸν ὑπολάβοι· ὥστε κἂν ἐκ προσώπου τοῦ θεοῦ λέγηταί τινα παρὰ τῆς θείας γραφῆς τῶν ἡμῖν συνήθων ῥημάτων, γνωστέον ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῶν ἡμετέρων ἡμῖν διαλέγεται, καθάπερ καὶ ἐπὶ τῆς τῶν Πράξεων ἱστορίας ἐμάθομεν ὅτι ἕκαστος ἐν τῇ ἰδίᾳ διαλέκτῳ ἐν ᾗ ἐγεννήθη τὴν διδασκαλίαν ἐδέχετο, διὰ τῶν γνωρίμων αὐτῷ ῥημάτων τῆς δυνάμεως ἐπαΐων τῶν λόγων.

239 Καὶ ὅτι ἀληθῆ ταῦτα, μᾶλλον ἄν τις μάθοι φιλοπονώτερον τὴν Λευϊτικὴν νομοθεσίαν κατεξετάζων. τηγάνου γὰρ ἐκεῖ καὶ λαγάνου καὶ σεμιδάλεως καὶ τοιούτων μέμνηται ὀνομάτων ἐν ταῖς μυστικαῖς ἱερουργίαις συμβολικῶς καὶ δι' αἰνίγματος ψυχωφελῆ τινα δόγματα ὑφηγούμενος, καὶ μέτρα τινὰ κατονομάζει κατὰ τὴν τότε συνήθειαν ὕφι τι λέγων
240 καὶ νέβελ καὶ ἲν καὶ πολλὰ τοιαῦτα· ἆρα ποιήσας τὰς προσηγορίας ταύτας καὶ ὀνομάσας, ἢ τὴν ἀρχὴν οὕτω διαταξάμενος γίνεσθαί τε καὶ λέγεσθαι, ὥστε τὸ μὲν τοιοῦτον σπέρμα σῖτον εἰπεῖν, τούτου δὲ τὴν ἐντεριώνην ὀνομάσαι σεμίδαλιν, καὶ τὰ ἐπιπόλαια καὶ ὑμενώδη καὶ διηπλωμένα τῶν πεμμάτων λάγανα προσειπεῖν καὶ τὸ τοιόνδε σκεῦος, ἐν ᾧ τὸ ὑγρὸν τοῦ φυράματος ἐξοπτᾶται καὶ ἐξικμάζεται, τήγανον ὀνομασθῆναι προστάξαι τοῦ τε ὑγροῦ τὴν τοσήνδε ποσότητα τῷ τοῦ ἲν ἢ τῷ τοῦ νέβελ ὀνόματι διαγορεύειν καὶ τοὺς ξηροτέρους καρποὺς διαμετρεῖσθαι τῷ γόμορ;
241 φλυαρία ταῦτα καὶ ματαιότης Ἰουδαϊκὴ πάμπολυ τῆς τῶν Χριστιανῶν μεγαλοφυΐας ἐκπεπτωκυῖα, τὸ οἴεσθαι τὸν μέγαν καὶ ὕψιστον καὶ ὑπὲρ πᾶν ὄνομά τε καὶ νόημα θεόν, τὸν μόνῃ τῇ τοῦ βουλήματος δυνάμει τὸ πᾶν διακρατοῦντα καὶ εἰς γένεσιν ἄγοντα καὶ ἐν τῷ εἶναι διατηροῦντα, τοῦτον ὥς

5 Act 2,6   10-11 Lev 2,5 II Reg 6,19 al

MCT 1 τῶν νοῦν ἐχ . . in lac om M   3 θείας om MC   6 ἐγεννήθη MC ἐγενήθη et sscr ν T: ἐγενήθη v   11 τῶν τοιούτων v   16 ὀνομάσας: ὀνομασίας v   οὕτω om M   17 τε om v   20 τοιοῦτον σκεῦος M   23 τῷ τοῦ ante νέβελ om v   28 τοῦ ante βουλήματος sscr M   διακρατοῦντα: κρατοῦντα M

τινα γραμματιστὴν τὰς τοιάσδε τῶν ὀνομάτων θέσεις δια-
242 λεπτουργοῦντα καθῆσθαι. ἀλλ' ὥσπερ τοῖς κωφοῖς διασχηματιζόμενοι καὶ χειρονομοῦντες τὸ πρακτέον ὑποσημαίνομεν, οὐχὶ τῷ μὴ ἔχειν ἰδίαν αὐτοὶ φωνὴν ὅταν τοῦτο ποιῶμεν, ἀλλὰ τῷ παντάπασιν ἄχρηστον εἶναι τοῖς οὐκ ἀκούουσι τὴν διὰ τῶν ῥημάτων ὑφήγησιν, οὕτω καὶ τῆς ἀνθρωπίνης φύσεως κωφευούσης τρόπον τινὰ καὶ οὐδενὸς τῶν ὑψηλῶν ἐπαϊούσης τὴν τοῦ θεοῦ χάριν φαμὲν πολυμερῶς καὶ πολυτρόπως ἐν τοῖς προφήταις λαλοῦσαν, κατὰ τὸ ἡμῖν εὐσύνοπτόν τε καὶ σύνηθες τὰς τῶν ἁγίων προφητῶν διασχηματίζουσαν γλώσσας, διὰ τούτων ἡμᾶς εἰς τὴν τῶν ὑψηλῶν χειραγωγεῖν κατανόησιν, οὐ κατὰ τὴν ἰδίαν μεγαλοφυΐαν ποιουμένην τὴν διδασκαλίαν (πῶς γὰρ ἂν ἐν τῷ μικρῷ χωρηθείη τὸ μέγα;), ἀλλὰ τῇ βραχύτητι τῆς
243 ἡμετέρας συγκατιοῦσαν δυνάμεως. καὶ ὥσπερ τὴν κινητικὴν τῷ ζῴῳ δύναμιν δοὺς ὁ θεὸς οὐκέτι δημιουργεῖ καὶ τὰ καθ' ἕκαστον διαβήματα (ἅπαξ γὰρ τὴν ἀρχὴν λαβοῦσα παρὰ τοῦ πεποιηκότος ἡ φύσις ἑαυτὴν κινεῖ τε καὶ διεξάγει
993 M. πρὸς τὸ ἑκάστοτε δοκοῦν ἐνεργοῦσα τὴν κίνησιν, πλὴν παρὰ κυρίου λέγεται τῷ ἀνδρὶ τὰ διαβήματα κατευθύνεσθαι), οὕτως καὶ τὸ δύνασθαι λαλεῖν τε καὶ φθέγγεσθαι καὶ τὸ διὰ φωνῆς ἐξαγγέλλειν τὸ βούλημα παρὰ τοῦ θεοῦ λαβοῦσα ὁδῷ πορεύεται διὰ τῶν πραγμάτων ἡ φύσις, σημεῖά τινα τοῖς οὖσι διὰ τῆς ποιᾶς τῶν φθόγγων διαφορᾶς ἐπιβάλλουσα.
244 καὶ ταῦτά ἐστι τὰ παρ' ἡμῶν λεγόμενα ῥήματά τε καὶ ὀνόματα, οἷς τὴν δύναμιν τῶν πραγμάτων διασημαίνομεν. κἂν λέγηται παρὰ τοῦ Μωϋσέως πρὸ τῆς τῶν καρπῶν γενέσεως ὁ καρπὸς καὶ πρὸ τῆς τῶν σπερμάτων τὰ σπέρματα,

8 cf Hebr 1,1   20 Ps 36,23

MCT 4 αὐτοὶ ἰδίαν M   ὅταν: ὅτι M   7 οὐδενὸς: οὐδὲν v   9 λαλοῦσαν ἐν τοῖς προφήταις M   κατὰ τὸ ἡμῖν in lac om M   12 οὐ in lac om M   13 ἂν om T   16 τῷ ζῴῳ C v: τοῦ ζῴου M τῶν ζῴων T   δοὺς: ἐνθεὶς T   19 ἑκάστῳ τε v   20 τὰ διαβήματα τῷ ἀνδρὶ v   21 τε om M   22 τοῦ om M   23 σημεῖά τινα M v: σημεῖά τε CT   28 τῆς om v

οὐκ ἐλέγχει τὸν ἡμέτερον λόγον, οὐδὲ μάχεται τοῖς περὶ
245 τῆς ἐπινοίας εἰρημένοις ἡ τοῦ νομοθέτου διάνοια. ὃ γὰρ
ἡμεῖς πέρας ὀνομάζομεν τῆς παρελθούσης γεωργίας καρ-
πὸν λέγοντες, ἀρχὴν δὲ τῆς μελλούσης σπέρμα προσαγορεύ-
οντες, τοῦτο τὸ πρᾶγμα τὸ τοῖς ὀνόμασιν ὑποκείμενον, εἴτε
σῖτον εἴτε τι ἄλλο τῶν διὰ σπορᾶς πληθυνόντων, διδάσκει
μὴ αὐτομάτως γενέσθαι, ἀλλ' ἐν θελήματι τοῦ πεποιηκότος
μετὰ τῆς δυνάμεως ταύτης ἀναφυῆναι· ὥστε τὸν αὐτόν τε
γίνεσθαι καρπὸν ἑαυτόν τε πάλιν ἄγειν σπέρμα γινόμενον
246 καὶ τῷ περιττεύοντι τρέφειν τὸν ἄνθρωπον. φύεται δὲ κατὰ
θεῖον βούλημα πρᾶγμα, οὐκ ὄνομα· ὥστε τὸ μὲν καθ' ὑπό-
στασιν ὂν πρᾶγμα τῆς τοῦ πεποιηκότος δυνάμεως ἔργον
εἶναι, τὰς δὲ γνωριστικὰς τῶν ὄντων φωνάς, δι' ὧν τὰ καθ'
ἕκαστον πρὸς ἀκριβῆ τε καὶ ἀσύγχυτον διδασκαλίαν ἐπι-
σημειοῦται ὁ λόγος, ταῦτα τῆς λογικῆς δυνάμεως ἔργα τε
καὶ εὑρήματα, αὐτὴν δὲ ταύτην τὴν λογικὴν δύναμίν τε
καὶ φύσιν ἔργον θεοῦ. καὶ ἐπειδὴ τὸ λογικὸν ἐν πᾶσιν
ἀνθρώποις, ἀναγκαίως κατὰ τὰς τῶν ἐθνῶν διαφορὰς καὶ
247 αἱ τῶν ὀνομάτων διαφοραὶ θεωροῦνται. εἰ δή τις ἀνθρω-
πικῶς τὸ φῶς ἢ τὸν οὐρανὸν ἢ τὴν γῆν ἢ τὰ σπέρματα
παρὰ τοῦ θεοῦ προσειρῆσθαι λέγοι, πάντως ὅτι κατὰ μίαν
τινὰ γλώσσης ἰδιότητα γεγενῆσθαι κατασκευάσει τὸν λόγον.
τίς οὖν αὕτη, δειξάτω. τὸν γὰρ ἐκεῖνο γινώσκοντα καὶ
248 τοῦτο μὴ ἀγνοεῖν πάντως οὐκ ἔξω τοῦ εἰκότος ἐστί. καὶ
γὰρ καὶ ἐν τῷ Ἰορδάνῃ μετὰ τὴν τοῦ πνεύματος κάθοδον
καὶ πάλιν ἐν ἀκοαῖς τῶν Ἰουδαίων καὶ ἐν τῇ μεταμορφώσει
φωνὴ γίνεται ἄνωθεν διδάσκουσα τοὺς ἀνθρώπους καὶ σχῆμά
τι, μὴ τὸ φαινόμενον οἴεσθαι μόνον, ἀλλὰ καὶ τὸν ἀγαπη-
249 τὸν υἱὸν τοῦ θεοῦ πιστεύειν εἶναι ἀληθῆ. ἡ τοιαύτη φωνὴ
πρὸς τὴν τῶν ἀκουόντων σύνεσιν ἐν τῷ ἀερίῳ σώματι παρὰ

25 Matth 3,17 (Marc 1,11 Luc 3,22)   27 Act 1,11

MCT 9 γενέσθαι CT   10 τὸ post κατὰ add v   13 γνωστικὰς T   18 τῶν ante ἐθνῶν om T   25 κάθοδον: δύναμιν v   28 μὴ τὸ in lac om M   τὸν om M   29 πιστεύειν εἶναι ἀληθῆ in lac om M   ἡ om CT v   30 ἀερίῳ σώματι παρὰ in lac om M

τοῦ θεοῦ διετυπώθη κατὰ τὴν ἐπικρατοῦσαν τότε τῶν
φθεγγομένων συνήθειαν γενομένη, οὕτω τοῦ θεοῦ τοῦ πάντας
θέλοντος σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν πρὸς
τὸν σκοπὸν τῆς σωτηρίας τῶν ἀκουόντων ἐν τῷ ἀέρι τὸν
λόγον ἀρθρώσαντος, καθώς φησι καὶ πρὸς τοὺς Ἰουδαίους
ὁ κύριος τοὺς οἰομένους βροντὴν γεγονέναι, διὰ τὸ ἐν ἀέρι
συστῆναι τὸν ἦχον, ὅτι Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν,
250 ἀλλὰ δι' ὑμᾶς. πρὸ δὲ τῆς τοῦ παντὸς συστάσεως οὐδενὸς
ὄντος τοῦ ὑποδεχομένου τὸν λόγον ἢ σωματώδους στοιχείου
τινὸς τοῦ τυπῶσαι τὴν ἔναρθρον δυναμένου φωνήν, ὁ λέγων
ῥήμασι τὸν θεὸν κεχρῆσθαι πῶς ἀποδώσει τὸ εἰκὸς τῷ
996 M. λόγῳ; αὐτὸς ἀσώματος, ἡ κτίσις οὐκ ἦν, οὐδὲν περὶ αὐτὸν
ὑλῶδες ὁ λόγος ἐννοεῖν δίδωσιν, οἱ ὠφεληθέντες ἂν διὰ
τῆς ἀκοῆς οὔπω συνέστησαν. ἀνθρώπων δὲ μὴ ὄντων οὐδὲ
διαλέκτου τρόπος κατά τινα ἔθνους ἰδιότητα τετύπωτο πάν-
τως. ὁ τοίνυν πρὸς τὸ γράμμα ψιλὸν βλέπων τίσι λογι-
σμοῖς τῇ τοιαύτῃ διανοίᾳ παρίσταται ὡς τοῦ θεοῦ ταῦτα
φθεγγομένου τὰ ῥήματά τε καὶ τὰ ὀνόματα;
251 Καίτοι καὶ διὰ τούτων γνοίη τις ἂν τὸ μάταιον τῶν
τὰ τοιαῦτα λεγόντων. ὥσπερ γὰρ αἱ τῶν στοιχείων φύσεις
ἔργον οὖσαι τοῦ πεποιηκότος πᾶσιν ὡσαύτως φαίνονται καὶ
οὐδεμία κατὰ τὴν αἴσθησιν τοῖς ἀνθρώποις ἐστὶ διαφορὰ
ἐν τῇ τοῦ πυρὸς ἢ τοῦ ἀέρος ἢ τοῦ ὕδατος μετουσίᾳ, ἀλλὰ
μία ἐστὶ καὶ ἀκίνητος ἐπὶ πάντων ἡ φύσις, ὡσαύτως ἐνερ-
γοῦσα καὶ οὐδὲν πρὸς τὰς διαφορὰς τῶν μετεχόντων ἀλ-
λοιουμένη, οὕτως καὶ ἡ τῶν ὀνομάτων θέσις, εἴπερ ἦν ἐκ
θεοῦ τοῖς πράγμασιν ἐφηρμοσμένη, πᾶσιν ἂν ἦν ἡ αὐτή.
252 νυνὶ δὲ τῶν μὲν πραγμάτων ἡ φύσις ἅτε δὴ παρὰ τοῦ
θεοῦ πεπηγυῖα μένει ἀκίνητος, αἱ δὲ σημαντικαὶ τούτων
φωναὶ πρὸς τοσαύτας γλωσσῶν διαφορὰς διεσχίσθησαν, ὡς

2 I Tim 2,4   7 Joh 12,30

MCT 1 τότε om v   2 τοῦ post θεοῦ om CT   10 φωνὴν δυναμένου M   15 ἐθνῶν v   18 ὀνόματα: νοήματα v   21 καὶ post ὡσαύτως add T   27 τοῦ ante θεοῦ add v   ἡ αὐτὴ ἦν v

μηδὲ ἀριθμήσασθαι τὸ πλῆθος εὔκολον εἶναι. εἰ δέ τις
τὴν ἐπὶ τῆς πυργοποιΐας σύγχυσιν ὡς ἐναντιουμένην τοῖς
εἰρημένοις προφέρει, οὐδὲ ἐκεῖ ποιεῖν λέγεται γλώσσας ὁ
θεὸς τῶν ἀνθρώπων, ἀλλὰ συγχεῖν τὴν οὖσαν, ὡς ἂν μὴ
253 πάντες πάντων ἀκούοιεν. ἕως γὰρ ἦν πᾶσι κατὰ ταὐτὸν ἡ
ζωὴ καὶ οὔπω πρὸς πολλὰς ἐθνῶν διαφορὰς ἐμερίσθησαν,
μιᾷ συνέζων φωνῇ πάντων ἀνθρώπων τὸ πλήρωμα· ἐπεὶ δὲ
κατὰ θείαν βούλησιν ἔδει πᾶσαν ὑπὸ τῶν ἀνθρώπων κατοι-
κισθῆναι τὴν γῆν, τότε διασπασθέντες κατὰ <τὴν> τῆς
φωνῆς κοινωνίαν ἄλλος ἀλλαχῇ διεσπάρησαν καὶ πρὸς ἄλλον
καὶ ἄλλον χαρακτῆρα ῥημάτων καὶ φωνῆς μεθηρμόσθησαν
συνδετικήν τινα τῆς πρὸς ἀλλήλους ὁμονοίας τὴν ὁμο-
φωνίαν λαχόντες, πρὸς μὲν τὴν τῶν πραγμάτων οὐ διαφω-
νοῦντες γνῶσιν, πρὸς δὲ τὸν τῶν ὀνομάτων τύπον διαφερό-
254 μενοι. οὐ γὰρ ἄλλο τι παρ' ἄλλοις ὁ λίθος ἢ τὸ ξύλον
δοκεῖ, διάφορα δὲ παρ' ἑκάστοις τὰ τῆς ὕλης ὀνόματα,
ὥστε μένει παγίως ἡμῖν ὁ λόγος ὁ τὰς ἀνθρωπίνας φωνὰς
τῆς ἡμετέρας διανοίας εὑρήματα εἶναι διοριζόμενος. οὔτε
γὰρ ἐξ ἀρχῆς, ἕως ὁμόφωνον ἅπαν ἦν ἑαυτῷ τὸ ἀνθρώ-
πινον, θεοῦ ῥημάτων τινὰ διδασκαλίαν γεγενῆσθαι τοῖς ἀν-
θρώποις παρὰ τῆς γραφῆς μεμαθήκαμεν οὔτε εἰς ποικίλας
γλωσσῶν διαφορὰς διατμηθέντων ὅπως ἂν ἕκαστος φθέγγοιτο
θεῖος ἐπεστάτησε νόμος· ἀλλὰ θελήσας ὁ θεὸς τοὺς ἀν-
θρώπους ἐν ἄλλαις γενέσθαι γλώσσαις ἀφῆκεν ὁδῷ τὴν
φύσιν πορεύεσθαι κατὰ τὸ ἀρέσκον διαρθροῦσαν παρ' ἑκά-
στοις τὸν ἦχον πρὸς τὴν τῶν ὀνομάτων σαφήνειαν.
255 Ὁ τοίνυν Μωϋσῆς πολλαῖς ὕστερον γενεαῖς τῆς πυργο-
ποιΐας γενόμενος μιᾷ τῶν μετὰ ταῦτα κέχρηται γλώσσῃ
ἱστορικῶς τὴν κοσμογένειαν ἡμῖν διηγούμενος καί τινας τῷ

1-2 Gen 11,4 sq

MCT 5 κατ' αὐτὸν v   8-9 κατοικηθῆναι CT v   9 τὴν addidi   12 συνδετικήν C v: συνδεκτικὴν T καὶ συνδεκτικὴν M   13 λαχόντες: ἔχοντες M   16 διάφορα: διαφορὰ CT   17 παγίως: πάγιος v   19 ὁμόφωνον ἅπαν ἦν om in lac M   ἅπαν om CT   20-21 τοῖς ἀνθρώποις om C   22 τμηθέντων CT

θεῷ προσάπτει φωνάς, τῇ ἑαυτοῦ γλώσσῃ καθ' ἣν πεπαί-
δευτό τε καὶ συνείθιστο ταῦτα διεξιὼν καὶ οὐκ ἐξαλλάσσων
997 M. τὰς τοῦ θεοῦ φωνὰς ἀλλοιοτρόπῳ τινὶ καὶ ξενίζοντι φωνῆς
χαρακτῆρι, ὥστε διὰ τοῦ ξένου τῆς συνηθείας καὶ παρηλ-
λαγμένου τῶν ὀνομάτων αὐτοῦ τοῦ θεοῦ εἶναι τὰς φωνὰς
κατασκευάζειν, ἀλλὰ τῇ συνήθει χρώμενος γλώσσῃ ὁμοίως
256 τά τε ἑαυτοῦ καὶ τὰ τοῦ θεοῦ διεξέρχεται. φασὶ δέ τινες
τῶν ἐπιμελέστερον ταῖς θείαις γραφαῖς ἐπηκολουθηκότων
μηδὲ ἀρχαΐζειν τὴν Ἑβραίων φωνὴν καθ' ὁμοιότητα τῶν
λοιπῶν, ἀλλὰ μετὰ τῶν ἄλλων θαυμάτων καὶ τοῦτο τοῖς
Ἰσραηλίταις θαυματοποιηθῆναι, τὸ τὴν γλῶσσαν ταύτην
ἀθρόως μετὰ τὴν Αἴγυπτον ἐνσχεδιασθῆναι τῷ ἔθνει. καί
τις ἐστὶ τοῦ προφήτου λόγος τὸ τοιοῦτον πιστούμενος· ἐν
γὰρ τῷ ἐξελθεῖν αὐτόν, φησίν, ἐξ Αἰγύπτου τότε γλῶσσαν
257 ἣν οὐκ ἔγνω ἤκουσεν. εἰ οὖν Ἑβραῖος μὲν Μωϋσῆς, τε-
λευταία δὲ τῶν ἄλλων ἡ τῶν Ἑβραίων φωνή, ὁ μετὰ τὴν
τοῦ κόσμου σύστασιν τοσαύταις ἐτῶν χιλιάσιν ὕστερον γε-
γονὼς καὶ τῇ καθ' ἑαυτὸν φωνῇ τὰς τοῦ θεοῦ διηγούμενος
ῥήσεις ἆρ' οὐχὶ σαφῶς διδάσκει τὸ μὴ τοιαύτην φωνὴν τὴν
κατὰ ἄνθρωπον σχηματιζομένην ἀναγράφειν ἐπὶ τοῦ θεοῦ,
ἀλλὰ ταῦτα μὲν λέγειν διὰ τὸ μηδὲ δυνατὸν εἶναι τὸ νοηθὲν
ἑτέρως εἰπεῖν ἢ ἀνθρωπίναις φωναῖς, σημαίνειν δὲ διὰ τῶν
λεγομένων θεοπρεπῆ τινα καὶ μεγαλοφυεστέραν διάνοιαν;
258 τὸ γὰρ οἴεσθαι τῇ Ἑβραΐδι γλώσσῃ τὸν θεὸν κεχρῆσθαι
μηδενὸς ὄντος τοῦ τοιαύτης φωνῆς ἐπαΐοντος οὐκ οἶδα
πῶς ὁ λελογισμένος συνθήσεται. ἐν ταῖς Πράξεσι μεμαθή-
καμεν διὰ τοῦτο τὴν θείαν δύναμιν εἰς πολλὰς διεσχίσθαι
φωνάς, ὡς ἂν μηδεὶς τῶν ἑτερογλωσσῶν ἀποστεροῖτο τῆς
ὠφελείας· ὁ δὲ θεὸς πρὸ τῆς κτίσεως ἀνθρωπικῶς διε-

14 Ps 80,6   26 Act 2,6

MCT 2 τε om CT   εἴθιστο M   ἀλλάσσων v   8 θείαις om v   11 τὸ CT v: τῷ M   12 Αἴγυπτον: Αἰγύπτιον Oehler qui nihil adnotat   σχεδιασθῆναι v   12-13 καὶ τίς ἐστι v   14 ἐκ γῆς Αἰγύπτου v   τότε om CT   15 μὲν om v   17 τοσαύταις ἐτῶν χιλιάσιν om v   20 τοῦ om CT v

259 λέγετο τίνα ὠφελεῖν μέλλων ἐκ τῆς τοιαύτης φωνῆς; τὸ
μὲν γὰρ συνδιατίθεσθαι τῇ τῶν ἀκουόντων δυνάμει τὸν λόγον
πρὸς τὸν τῆς ὠφελείας σκοπόν, οὐδὲν ἄν τις ἀνάξιον τῆς
θείας εἶναι φιλανθρωπίας ὑποτυπήσειεν, ἐπεὶ καὶ Παῦλος
ὁ μιμητὴς τοῦ κυρίου πρὸς τὰς τῶν ἀκουόντων ἕξεις οἶδεν
ἁρμοδίως τὸν λόγον μεταχειρίζεσθαι, γάλα τοῖς νηπίοις
γινόμενος καὶ στερεὰ τοῖς τελείοις τροφή· τὸ δὲ μηδενὸς
κατορθουμένου σκοποῦ διὰ τῆς τοιαύτης τοῦ λόγου χρήσεως
ἔπειτα κατασκευάζειν τοιάδε τινὰ ῥήματα τὸν θεὸν ἐφ'
ἑαυτοῦ ῥαψῳδεῖν, οὐκ ὄντος τοῦ δεομένου τῆς διὰ τῶν τοιού-
των φωνῶν σημασίας, οὐκ οἶδα πῶς ἐστι μὴ καταγέλαστον
260 ἅμα καὶ βλάσφημον τὸ τοιοῦτον οἴεσθαι. οὔτε οὖν Ἑβραία
τοῦ θεοῦ ἡ φωνὴ οὔτε καθ' ἕτερόν τινα τύπον τῶν ἐν τοῖς
ἔθνεσι νενομισμένων προφερομένη· ἀλλ' ὅσοι τοῦ θεοῦ
λόγοι παρὰ τοῦ Μωϋσέως ἢ τῶν προφητῶν ἐγράφησαν, ἐν-
δείξεις εἰσὶ τοῦ θείου θελήματος ἄλλως καὶ ἄλλως κατὰ
τὴν ἀξίαν τῶν μετεχόντων τῆς χάριτος τῷ καθαρῷ τε καὶ
261 ἡγεμονικῷ τῶν ἁγίων ἐλλάμπουσαι. οὐκοῦν ἐφθέγγετο μὲν
ὁ Μωϋσῆς ὡς ἐπεφύκει τε καὶ πεπαίδευτο, προσετίθει δὲ
τῷ θεῷ τὰς φωνὰς ταύτας καθὼς εἴρηται πολλάκις διὰ
τὸ νηπιῶδες τῶν ἄρτι τῇ θεογνωσίᾳ προσαγομένων πρὸς
ἐναργῆ τε παράστασιν τοῦ θείου θελήματος καὶ ὡς ἂν
εὐπειθεστέρους ἀπεργάσαιτο τοὺς ἀκούοντας τῇ ἀξιοπιστίᾳ
τοῦ εἰρηκότος δυσωπουμένους.
262 Ἀλλ' οὔ φησιν ὁ Εὐνόμιος ὁ τοιαύτας καθ' ἡμῶν τὰς
1000 M. λοιδορίας προφέρων, ὁ τῆς ἐνθέσμου συνηθείας
κληρονόμος τε καὶ συνήγορος — ὑπαλλάξας γὰρ
τὴν ὕβριν εἰς εὐφημίαν τοῖς ἰδίοις αὐτὸν δεξιώσομαι. ἀλλ'

6-7 Hebr 5,12 26-27 ironice Eunomii de Basilio verba ad ipsum refert cf § 197 finem

MCT 3 οὐδὲν: οὐδὲ v 7 γενόμενος T δὲ om v 8 τοῦ λόγου τοιαύτης v 13 ἑκάτερον v 15 τοῦ ante Μωϋσέως om T ἀνεγράφησαν v 22 θελήματος: βουλήματος v 26 ἐκθέσμου v 27 ὑπαλλάξαι T 28 εὐφημίαν: ἀτιμίαν v e coniectura Joannis a S. Francisco

αὐτὸν αὐτῷ μαρτυρεῖν τὸν Μωϋσέα διϊσχυρίζεται
παρὰ τοῦ δημιουργήσαντος τὴν φύσιν δεδω-
ρῆσθαι τοῖς ἀνθρώποις τῶν τε ὀνομαζομένων
καὶ τῶν ὀνομάτων τὴν χρῆσιν, καὶ τήν γε τῶν
δεδομένων κλῆσιν ἀνωτέραν εἶναι τῆς τῶν χρω-
μένων γενέσεως, οὑτωσὶ πάντα κατὰ λέξιν εἰπών.
263 εἰ μὲν οὖν ἴδιον κέκτηταί τινα Μωϋσέα, παρ' οὗ τὰ σοφὰ
ταῦτα διδάσκεται, κἀκεῖθεν ὁρμώμενος τοῖς τοιούτοις ἐπι-
θαρσεῖ τῶν λόγων, ὅτι θεὸς διαθεσμοθετεῖ, καθὼς
οὗτός φησι, τῶν ἀνθρώπων τὰς ῥήσεις, οὑτωσί τε
κελεύων καὶ ἑτέρως ἀπαγορεύων τὰς ἐπὶ τῶν πραγμάτων
κεῖσθαι φωνάς, κεχρήσθω πρὸς τὸ δοκοῦν τοῖς λήροις,
σύμμαχον ἔχων τὸν κρυπτὸν Μωϋσέα. εἰ δὲ μόνος ἐστὶ
Μωϋσῆς οὗ ἡ γραφὴ κοινὸν μάθημα τοῖς τὸν θεῖον λόγον
πεπαιδευμένοις ἐστί, δεξόμεθα τὴν κατάγνωσιν, εἰ ὑπὸ τῶν
264 τοῦ Μωϋσέως ἐλεγχόμεθα λόγων. ποῦ τοίνυν τὸν περὶ ῥη-
μάτων τε καὶ ὀνομάτων εὕρατο νόμον, ἐπ' αὐτῶν ἐκθέσθω
τῶν γεγραμμένων. κοσμογένεια καὶ τῶν καθεξῆς ἀνθρώ-
πων γενεαλογία καὶ πραγμάτων τινῶν ἱστορία καὶ ἡ ποικίλη
νομοθεσία περί τε τῶν κατὰ τὴν λατρείαν καὶ τῶν κατὰ
τὸν βίον παρατηρημάτων, ταῦτα τῆς Μωϋσέως γραφῆς τὰ
κεφάλαια. εἰ δέ φησιν οὗτος εἶναί τινα ῥημάτων νομο-
θεσίαν, δειξάτω τὸν νόμον, κἀγὼ σιωπήσομαι· ἀλλ' οὐκ ἂν
265 εἰπεῖν ἔχοι. οὐ γὰρ ἂν τῶν ἐναργεστέρων ἀφέμενος ἀπο-
δείξεων ἐκεῖνα διεξῄει δι' ὧν καταγέλαστος μᾶλλον ἢ
πιθανὸς δοκεῖ τοῖς ἀκούουσι. τὸ γὰρ οἴεσθαι τοῦτο εἶναι
<τὸ> τῆς εὐσεβείας κεφάλαιον, τὸ ῥημάτων εὕρεσιν προσ-
μαρτυρεῖν τῷ θεῷ, ᾧ μικρὸς εἰς εὐφημίαν ὅλος ὁ κόσμος

MCT 6 γενέσεως: γνώσεως M πάντα om CT κατὰ τὴν λέξιν CT 10 αὐτός post οὗτος add v 11 κελεύων ε in ras M ἐπὶ: ἐξῆς M 12 λήροις: λόγοις M 13 σύμμαχον: σύμμ. . . M cet in lac om τοῦ λόγου post ἔχων inseruit v, om MCT μόνον v 14 κοινὸν om in lac M 15 παιδευομένοις v litteras γνωσιν in κατάγνωσιν in lac om M 16 λόγων: νόμων v τὸν περὶ in lac om M 17 ἐκθέσθαι v 20 τὴν ante λατρείαν om M 26 ἐδόκει v τοῖς ἀκούουσι: τοῖς γε νοῦν ἔχουσι v 27 τὸ addidi

καὶ τὰ ἐν αὐτῷ θαύματα, πῶς οὐ τῆς ἐσχάτης εὐηθείας ἐστὶ τῶν μεγάλων ἀφέμενον ἐκ τῶν ἀνθρωπίνων σεμνύνειν τὸ θεῖον; πρόσταγμα τῆς κτίσεως καθηγήσατο ῥηθὲν μὲν παρὰ τοῦ Μωϋσέως ἀνθρωπικῶς, θεοπρεπῶς δὲ γενόμενον.
266 τὸ τοίνυν ποιητικὸν τῶν θείᾳ δυνάμει συνεστηκότων θέλημα τοῦτο ῥημάτων διδασκαλίαν ὁ ἀκριβὴς ἐπιΐστωρ τῶν γραφῶν ἀποφαίνεται, καὶ ὥσπερ εἰπόντος τοῦ θεοῦ γενηθήτω ῥῆμα ἢ συστήτω λόγος ἢ τόδε τοιάνδε λαχέτω τὴν κλῆσιν οὗτος εἰς συνηγορίαν προβάλλεται τῶν ἰδίων ῥημάτων τὴν ὑποστατικὴν τῆς κτίσεως ἐν τῷ θείῳ θελήματι κίνησιν, ὑπὸ πολλῆς προσοχῆς τῶν γραφῶν καὶ ἐμπειρίας οὐδὲ τοῦτο εἰδώς, ὅτι καὶ ὁρμὴ διανοίας φωνὴ πολλάκις παρὰ τῆς
267 γραφῆς ὀνομάζεται. καὶ τούτου μάρτυς Μωϋσῆς αὐτός, ὃν πολλαχῇ παρασύρων κατὰ τοῦτο τὸ μέρος ἠγνόησε. τίς γὰρ οὐκ οἶδε τῶν καὶ ὁπωσοῦν καθωμιληκότων τῇ βίβλῳ, ὅτι κατεπλάγησαν μὲν ἀθρόως ἐν τῇ ἐρήμῳ τῶν Αἰγυπτίων τὴν ἔφοδον ὁ Ἰσραηλίτης λαός, ἄρτι τὴν Αἴγυπτον ἀποδράσαντες, πανταχόθεν δὲ προφαινομένων αὐτοῖς τῶν δεινῶν, ἐκεῖθεν τῆς θαλάσσης ἀποτειχιζούσης τὴν πάροδον, κατόπιν τῶν πολεμίων τὴν φυγὴν κωλυόντων, συστάντες πρὸς τὸν
1002 M. προφήτην τῆς ἀμηχανίας ταύτης ἐκεῖνον ἐπῃτιῶντο· τοῦ δὲ παραμυθουμένου τοὺς κατεπτηχότας τῷ φόβῳ καὶ εἰς προθυμίαν παραθαρσύνοντος γίνεται θεόθεν φωνὴ ὀνομαστὶ τὸν
268 προφήτην προσκαλουμένη· Τί βοᾷς πρός με; καίτοι γε πρὸ τῶν εἰρημένων οὐδεμιᾶς ὁ λόγος ἐπιμέμνηται Μωϋσέως φωνῆς, ἀλλ' ἡ πρὸς τὸν θεὸν τοῦ προφήτου διάνοια φωνή τις ὠνομάσθη κατὰ τὸ σιωπώμενον ἐν τῷ κρυπτῷ τῆς καρδίας νοήματι βοωμένη. εἰ δὴ Μωϋσῆς βοᾷ μὴ φθεγγόμενος ὑπὸ μάρτυρι τῷ τῶν ἀλαλήτων στεναγμῶν ἐπαΐοντι, τί καινὸν εἰ καὶ τὸ θεῖον βούλημα γνοὺς ὁ προφήτης, ὡς δυνατὸν ἦν

17 sq Exod 14,19   24 Exod 14,15   29 cf Rom 8,26

MCT 8 οὗτος v   9 ῥημάτων: λήρων v   14 παρασύρων correxi: περισύρων libri v   15 καὶ om v   τῷ βιβλίῳ M   17-18 ἀποδράντες v   18 προσφερομένων v   23 παραθρασύνοντος v   29 ἐπαΐοντι: ἐπακούοντι M

αὐτῷ τε εἰπεῖν καὶ ἡμῖν ἀκοῦσαι, διὰ τῶν γνωρίμων ἡμῖν καὶ συνήθων ἐφανέρωσε λόγων, διάλογον θεοῦ σωματικώτερον διαγράφων οὐ ῥήμασι γινόμενον, ἀλλὰ διὰ τῶν ἔργων αὐτῶν
269 ἐκφωνούμενον; Ἐν ἀρχῇ ἐποίησε, φησίν, ὁ θεὸς οὐ τὸ ὄνομα τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἀλλὰ τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ εἶπε Γενηθήτω φῶς, οὐχὶ προσηγορία φωτός· Καὶ διακρίνας τὸ φῶς ἀπὸ τοῦ σκότους ἐκάλεσε, φησίν, ὁ θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε νύκτα.

Τούτοις εἰκός ἐστι τοὺς ἐναντιουμένους ἡμῖν ἐπιστηρίζεσθαι. συστήσομαι γὰρ ὑπὲρ αὐτῶν τῷ λόγῳ καὶ τὰ παρεθέντα παρ' ἐκείνων ἀνθυποίσω τῇ ἀκολουθίᾳ τῆς ἐξετάσεως, ὡς ἂν ἰσχυρότερον ἡμῖν βεβαιωθείη τὸ δόγμα, μηδεμιᾶς ἀντιθέσεως ἀνεξετάστου παραλειφθείσης. Ἐκάλεσε, φησίν, ὁ θεὸς τὸ στερέωμα οὐρανὸν καὶ τὴν ξηρὰν ἐκάλεσε γῆν καὶ τὸ φῶς ἡμέραν καὶ τὸ σκότος νύκτα.
270 πῶς οὖν, ἐροῦσι, τῆς γραφῆς ὁμολογούσης παρὰ τοῦ θεοῦ τεθεῖσθαι τούτοις τὰς κλήσεις ὑμεῖς ἀνθρωπίνης ἐπινοίας εἶναί φατε τὰ ὀνόματα; τί οὖν πρὸς ταῦτα ἡμεῖς; πάλιν ἐπὶ τὸν ἰδιώτην καταφεύγομεν λόγον καί φαμεν ὅτι ὁ πᾶσαν τὴν κτίσιν ἐκ τοῦ μὴ ὄντος ἀγαγὼν εἰς οὐσίαν πραγμάτων ἐστὶ δημιουργὸς ἐν ὑποστάσει θεωρουμένων, οὐκ ὀνομάτων ἀνυποστάτων ἐν φωνῆς ἤχῳ καὶ ψόφῳ γλώττης συνισταμένων· τὰ δὲ πράγματα κατὰ τὴν ἐγκειμένην ἑκάστῳ φύσιν καὶ δύναμιν διά τινος σημαντικῆς φωνῆς ὀνομάζεται, κατὰ τὴν ἐπιχωριάζουσαν ἐν ἑκάστῳ [τῷ] ἔθνει συνήθειαν τῆς
271 προσηγορίας τοῖς ὑποκειμένοις ἁρμοζομένης. ἀλλ' ἐπειδὴ τὰ πολλὰ τῶν ἐν τῇ κτίσει θεωρουμένων οὐχ ἁπλῆν ἔχει τὴν φύσιν, ὡς ἑνὶ ῥήματι δυνατῶς ἔχειν ἐμπεριληφθῆναι τὸ

4 Gen 1,1 sq   7 Gen 1,5   13-15 in unum contraxit Gen 1,8 et 1,10 quibus addit Gen 1,5

MCT 1 αὐτῷ τε εἰπεῖν CT αὐτῷ τε in lac om M: εἰπεῖν τε αὐτῷ v   2 λόγων, διάλογον in lac om M   3 διὰ τῶν ἔργων in lac om M   4-5 τὸ ὄνομα τοῦ in lac om M   11 παρεθέντα: παρατεθέντα M   15 καὶ τὸ φῶς ἡμέραν om M   ἐκάλεσε ante νύκτα add v   25 τῷ om v an ex dittographia post ἑκάστῳ ortum?   28 ἑνὶ om v   ἐμπεριειληφθῆναι M

ὑποκείμενον, οἷον ἐπὶ τοῦ πυρὸς ἄλλο μέν ἐστι τῇ φύσει τὸ
ὑποκείμενον πρᾶγμα, ἕτερον δὲ τὸ σημαντικὸν τοῦ πράγ-
ματος ὄνομα (τὸ μὲν γάρ ἐστιν ἐκλαμπτικὸν καὶ καυστικὸν
ξηρόν τε καὶ θερμαντικὸν καὶ ἀναλωτικὸν τῆς ὕλης ἧς ἂν
περιδράξηται, τὸ δὲ ὄνομα φωνή τις βραχεῖα διὰ μιᾶς συλ-
λαβῆς ἐκφωνουμένη), τούτου ἕνεκεν ὁ διαιρῶν λόγος τὰς
ἐν τῷ πυρὶ θεωρουμένας δυνάμεις τε καὶ ποιότητας ἑκάστην
ἰδίως κατονομάζει, καθὼς φθάσαντες εἴπομεν· καὶ οὐκ ἄν
τις εἴποι ὄνομα μόνον ἐπιβεβλῆσθαι τῷ πυρί, ὅταν τις ἢ
φανὸν ἢ ἀναλωτικὸν ἢ ἄλλο τι τῶν περὶ αὐτὸ θεωρουμένων
κατονομάσῃ· τῶν γὰρ ἐν αὐτῷ φυσικῶς ἐγκειμένων δυνά-
272 μεων σημαντικαί εἰσιν αἱ τοιαῦται φωναί. κατὰ τὸν αὐτὸν
1004 M. τρόπον καὶ ἐπὶ τοῦ οὐρανοῦ καὶ τοῦ στερεώματος μιᾶς
φύσεως ἐν ἑκατέρῳ τῶν ὀνομάτων σημαινομένης ἴδιόν τι
τῶν ἐν τῇ κτίσει ταύτῃ γινωσκομένων ἡ διαφορὰ τῶν ὀνο-
μάτων παρίστησιν, ὥστε πρὸς τοῦτο βλέποντας ἡμᾶς ἄλλο
τι μαθεῖν διὰ τῆς τοῦ οὐρανοῦ προσηγορίας, ἕτερον δὲ διὰ
273 τοῦ στερεώματος. ὅταν μὲν γὰρ τὸ πέρας τῆς αἰσθητῆς
κτίσεως ὑπογράφῃ ὁ λόγος, μεθ' ἣν ἡ νοητή τε καὶ ὑπερ-
κόσμιος διαδέχεται λῆξις, συγκρίσει τῇ πρὸς τὸ ἀναφὲς καὶ
ἀσώματον καὶ ἀνείδεον στερέωμα λέγεται ἡ ἀρχή τε καὶ
τὸ πέρας πάσης τῆς ὑλικῆς ὑποστάσεως· ὅταν δὲ τὴν τῶν
ὑποκειμένων περιοχὴν ἐξετάζωμεν, ᾧ πᾶσα ἡ ὑλικὴ περι-
κρατεῖται φύσις, οὐρανὸν τοῦτον προσαγορεύομεν τὸν τῶν
274 ὁρατῶν πάντων ὅρον γινόμενον. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ
τῆς γῆς καὶ τῆς ξηρᾶς, ἐπειδὴ πρὸς δύο ταῦτα <τὰ> στοι-
χεῖα ἡ κατωφερής τε καὶ βαρεῖα φύσις διεμερίσθη, πρός
τε τὴν γῆν φημι καὶ τὰ ὕδατα, ἡ μὲν τῆς ξηρᾶς προσηγορία

MCT 1-2 τὸ ὑποκείμενον τῇ φύσει πρᾶγμα M 7 ποιότητας MT v: ποσότητας C 9 εἴποι post πυρὶ collocat v 15 γινωσκομένων: γινομένων v 16-17 ἄλλο τι: ἕτερον μέν τι M 19 μεθ' ἣν: τὸν οὐρανὸν M glossema ut videtur 20 τῇ πρὸς om in lac M 21 verba ἀρχή—22 πέρας om in lac M 22 πάσης om T 23 ἡ om T 25 ἁπάντων M 26 ἐπὶ ante τῆς ξηρᾶς add M τὰ addidi 27 τε om v

διασταλτική πως τῆς ἀντιστοιχούσης ποιότητος· τῇ γὰρ πρὸς
τὸ ὑγρὸν ἀντιπαραθέσει ξηρὰ κατωνόμασται, ὅτε ἀποδυσα-
μένη θείῳ προστάγματι τὸ περικεχυμένον ὕδωρ ἐπὶ τῆς
275 ἰδίας ἐφάνη ποιότητος· τὸ δὲ τῆς γῆς ὄνομα οὐκέτι μιᾶς
τινος τῶν περὶ αὐτὴν ποιοτήτων τὴν σημασίαν ἐνδείκνυται,
ἀλλὰ πᾶν ἐμπεριλαμβάνει διὰ τῆς ἐγκειμένης ἐμφάσεως τὸ
ἐν τῷ στοιχείῳ νοούμενον, οἷον τὸ ναστόν, τὸ πυκνόν, τὸ
ἐμβριθές, τὸ ἀντίτυπον, τὸ πρὸς πᾶσαν καρπῶν τε καὶ
ζῴων ἀνατροφὴν ἐπιτήδειον. οὔκουν οὐ μετωνομάσθη παρὰ
τοῦ λόγου ἡ ξηρὰ πρὸς τὸ τελευταῖον αὐτῇ ἐπιβληθὲν
ὄνομα (οὐ γὰρ ἀπέθετο διὰ τοῦ δευτέρου ὀνόματος τὸ ξηρὰ
καὶ εἶναι καὶ λέγεσθαι), ἀλλὰ μενούσης τῆς κλήσεως καὶ
ταύτης κἀκείνης ἑκατέρῳ τῶν ὀνομάτων ἰδία τις ὕπεστι
σημασία, ἡ μὲν ἀντιδιαιρετικὴ τῆς ἑτερογενοῦς φύσεώς τε
καὶ ἰδιότητος, ἡ δὲ περιεκτικὴ πάσης τῆς ἐν αὐτῇ θεωρου-
μένης δυνάμεως.

276 Οὕτως καὶ ἐπὶ τοῦ φωτὸς καὶ τῆς ἡμέρας καὶ πάλιν
ἐπὶ τῆς νυκτὸς καὶ ἐπὶ τοῦ σκότους εὑρίσκομεν οὐ συλλα-
βῶν ἦχον παρὰ τοῦ ποιητοῦ τῶν ὅλων ἐπὶ τούτων δη-
μιουργούμενον, ἀλλὰ πραγμάτων ὑπόστασιν διὰ τῶν προση-
277 γοριῶν τούτων ἐπιγινώσκομεν. λύεται κατὰ τὸ θέλημα τοῦ
θεοῦ τῇ εἰσόδῳ τοῦ φωτὸς τὸ ἐπικρατοῦν σκότος παρὰ τὴν
πρώτην κτίσιν· τῆς δὲ γῆς ἐν τῷ μέσῳ περισχεθείσης καὶ
τῇ πανταχόθεν τῶν ἑτεροφυῶν στοιχείων περιβολῇ ἑαυτὴν
ἀνεχούσης, καθώς φησιν ὁ Ἰὼβ ὅτι Κρεμάζων γῆν ἐπὶ
μηδενός, ἐπάναγκες ἦν καθ' ἓν μέρος τοῦ φωτὸς διο-
δεύοντος ἀντιφραττούσης κατὰ τὸ ἀντικείμενον ἐν τῷ ἰδίῳ
ὄγκῳ τῆς γῆς ὑπολειφθῆναί τινα διὰ τοῦ ἀποσκιάσματος
μοῖραν τοῦ σκότους, τῆς δὲ ἀεικινήτου περιφορᾶς τοῦ πόλου
συμπεριαγούσης ἑαυτῇ κατ' ἀνάγκην καὶ τὸν ἐκ τοῦ ἀπο-

25 Job 26,7

MCT 4 ποιότητος ἐφάνη v 10 ἡ om M αὐτῇ ἐπιβληθὲν: ἐπικληθὲν αὐτῇ v 13 ὑπέστη v 17 ἐπὶ ante τῆς ἡμέρας add M 21 γινώσκομεν v 28 διὰ om CT

σκιάσματος ἐπισυμβαίνοντα ζόφον τὴν ἐγκύκλιον ταύτην περίοδον τάξαι τὸν θεὸν εἰς τὸ γενέσθαι μέτρον τῆς χρονικῆς παρατάσεως· τὸ δὲ μέτρον τοῦτο ἡμέρα ἐστὶ καὶ
278 νύξ. διὰ τοῦτο κατὰ τὴν ἑαυτοῦ σοφίαν ἱστορικώτερον τὰ τοιαῦτα τῶν δογμάτων ὁ Μωϋσῆς ἡμῖν σαφηνίζων τὸν ἐξ ἀντιφράξεως τῆς γῆς ἐπεισιόντα ζόφον χωρισμὸν φωτὸς
1005 M. καὶ σκότους ὠνόμασε καὶ τὴν ἀεὶ γινομένην περὶ τὸν περίγειον χῶρον τοῦ φωτὸς πρὸς τὸ σκότος ἔμμετρον διαδοχὴν ἡμέραν καὶ νύκτα προσεῖπεν. ὥστε οὐχὶ ἐπίκλητον τὸ φῶς ἡμέρα προσηγορεύθη, ἀλλ' ὥσπερ ἐγένετο φῶς καὶ οὐχὶ ψιλὴ προσηγορία φωτός, οὕτως καὶ τοῦ χρόνου τὸ μέτρον ἐγένετο, ἐπηκολούθησε δὲ τῷ μέτρῳ τὸ ὄνομα, οὐκ ἐν ῥημάτων ψόφῳ παρὰ τοῦ πεποιηκότος γενόμενον, ἀλλ' αὐτῆς τῆς τοῦ πράγματος φύσεως ἐπισπασαμένης τὴν διὰ
279 τῆς φωνῆς σημασίαν. καὶ ὥσπερ εἰ τοῦτο σαφῶς εἴρητο παρὰ τοῦ νομοθέτου, ὅτι πᾶν τὸ φαινόμενον καὶ ὀνομαζόμενον οὐκ αὐτοφυές ἐστιν οὐδὲ ἀποίητον, ἀλλ' ἐκ θεοῦ τὴν ὑπόστασιν ἔχει, ἀφ' ἑαυτῶν ἂν συνεθήκαμεν τὸ πάντα τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ μέρη καὶ τὴν ἐνθεωρουμένην τάξιν καὶ τὴν γνωριστικὴν τῶν ὄντων δύναμιν τὸν θεὸν πεποιηκέναι, οὕτως καὶ δι' ὧν εἶπε πρὸς ταύτην ἐνάγει ἡμᾶς τὴν διάνοιαν, εἰς τὸ πιστεύειν τὸ μηδὲν τῶν ὄντων ἄναρχον εἶναι. καὶ πρὸς τοῦτο βλέπων ὁδῷ καὶ τάξει τὰ καθεξῆς διεξέρχεται, τὴν τῶν γεγονότων ἀκολουθίαν ἀπαριθμούμενος.
280 ταῦτα δὲ οὐκ ἦν ἄλλως παραστήσασθαι τῷ λόγῳ, μὴ διὰ

4 ἱστορικώτερον τὰ τοιαῦτα τῶν δογμάτων .. σαφηνίζων] cf In Cant Cant prooem (vol VI p 5 Jaeger) de apostolo dicens ἐμπεριλαμβάνει ait τῷ ὀνόματι τοῦ νόμου καὶ τὰ ἱστορικὰ διηγήματα ὡς πᾶσαν .. γραφὴν νόμον εἶναι τοῖς ἐντυγχάνουσιν: οὐ μόνον διὰ τῶν φανερῶν παραγγελμάτων, ἀλλὰ καὶ διὰ τῶν ἱστορικῶν διηγημάτων παιδεύουσαν

MCT 1 ἐγκύκλιον ταύτην v: om MCT 3 ἐστιν ἡμέρα v 6 τῆς γῆς om v χωρισμὸν: χωρὶς μὲν v 9 τὸ om C 11-12 ἐγένετο τοῦ χρόνου τὸ μέτρον v 14 τῆς om v 18 ne conieceris συνήκαμεν, συντιθέναι enim vim concludendi vel coniciendi habere potest τὸν om CT

τῶν γνωριστικῶν ὀνομάτων τὴν σημασίαν ποιούμενον. ἐπεὶ οὖν γέγραπται ὅτι Ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν, νοητέον ὅτι ἐποίησεν ὁ θεὸς ἐκ τοῦ φωτὸς ἡμέραν ἕτερόν τι οὖσαν κατὰ τὸν ἴδιον λόγον. οὐ γὰρ ἂν τὸν αὐτὸν ἀποδοίης φωτὸς καὶ ἡμέρας λόγον, ἀλλὰ φῶς μὲν τὸ ἐκ τοῦ ἐναντίου πρὸς τὸ σκότος νοούμενον, ἡμέρα δὲ τὸ τοσόνδε τοῦ ἐν τῷ
281 φωτὶ διαστήματος μέτρον. ὡσαύτως καὶ νύκτα καὶ σκότος κατὰ τὴν αὐτὴν τοῦ λόγου διαίρεσιν κατανοήσεις, σκότος μὲν τὸ ἐξ ἐναντίου πρὸς τὸ φῶς νοούμενον ὁριζόμενος, νύκτα δὲ τὴν τοσήνδε τοῦ σκότους περιγραφὴν ὀνομάζων. οὐκοῦν ἔρρωται διὰ πάντων ὁ λόγος ἡμῖν, εἰ καὶ μὴ τεχνικῶς κατὰ τὰ σχήματα τῆς διαλεκτικῆς συνηρώτηται, δεικνὺς ὅτι θεὸς πραγμάτων ἐστὶ δημιουργός, οὐ ῥημάτων ψιλῶν. οὐδὲ γὰρ ἐκείνου χάριν, ἀλλ' ἡμῶν ἕνεκεν ἐπίκειται τοῖς πράγμασι τὰ ὀνόματα.

282 Διὰ γὰρ τὸ μὴ πάντοτε δυνατὸν ἡμῖν εἶναι πάντα ἐν ὀφθαλμοῖς ἔχειν τὰ ὄντα τὸ μέν τι τῶν ἀεὶ παρόντων γινώσκομεν, τὸ δὲ τῇ μνήμῃ ἐναπογράφομεν. ἄλλως δὲ οὐκ ἔστιν ἀσύγχυτον φυλαχθῆναι ἡμῖν τὴν μνήμην, μὴ τῆς τῶν ὀνομάτων σημασίας διαστελλούσης ἀπ' ἀλλήλων τὰ ἐναποκείμενα τῇ διανοίᾳ πράγματα. θεῷ δὲ πάντα πάρεστι καὶ οὐδὲν δεῖ μνήμης αὐτῷ, πάντων τῇ διορατικῇ
283 δυνάμει περικρατουμένων τε καὶ θεωρουμένων. τίς οὖν ἐπ' αὐτοῦ χρεία ῥήματος ἢ ὀνόματος, αὐτῆς τῆς ἐν αὐτῷ σοφίας τε καὶ δυνάμεως ἀσύγχυτόν τε καὶ διακεκριμένην τὴν τῶν ὄντων φύσιν περιεχούσης; οὐκοῦν παρὰ θεοῦ μὲν τὰ ὄντα καὶ ὑφεστῶτα πάντα, τῆς δὲ ἡμετέρας ἕνεκεν ὁδηγίας ἔπεστι τοῖς οὖσι τὰ σημειωτικὰ τῶν πραγμάτων ὀνόματα. ταῦτα δὲ κατὰ τὸ ἀρέσκον ταῖς τῶν ἀνθρώπων συνηθείαις γίνεσθαί τις εἰπὼν οὐδὲν εἰς τὸν τῆς προνοίας

2 Gen 1,5 7 cf ibidem

MCT 4 verba οὐ—5 λόγον om C 6 τὸ ante τοσόνδε om T 11 ἡμῖν ὁ λόγος v 12 συνηρώτηται libri: συγκρώτηται ed 1615 συγκροτῆται ed 1638, vox technica est cf Sext Emp ed Bekker p 808 s v 14 οὐ γὰρ v 18 τὸ δὲ: τὰ δὲ v

πλημμελήσει λόγον. οὐ γὰρ τὴν φύσιν τῶν ὄντων γίνεσθαι
284 παρ' ἡμῶν, ἀλλὰ τὰ ὀνόματα λέγομεν. ἄλλως ὀνομάζει τὸν οὐρανὸν ὁ Ἑβραῖος καὶ ἑτέρως ὁ Χαναναῖος, νοεῖ δὲ ὡσαύτως ἑκάτερος, οὐδὲν τῇ διαφορᾷ τῶν φθόγγων περὶ
1008 M. τὴν κατανόησιν τοῦ ὑποκειμένου διαμφιβάλλοντες. ἡ δὲ λίαν εὐλαβὴς τῶν σοφῶν τούτων ἐθελοθρησκεία, δι' ὧν, εἰ δοθείη παρὰ ἀνθρώπων εἶναι τοῖς πράγμασι τὰς φωνάς, τὸ ἀρχηγικωτέρους εἶναι τοῦ θεοῦ τοὺς ἀνθρώπους κατασκευάζει, ἐλέγχεται ματαία τις οὖσα καὶ ἀνυπόστατος καὶ δι' αὐτοῦ τοῦ κατὰ τὸν Μωϋσέα μνημονευθέντος ἡμῖν
285 ὑποδείγματος. αὐτῷ γὰρ τῷ Μωϋσῇ τίς ἔθετο τὴν προσηγορίαν; οὐχ ἡ θυγάτηρ τοῦ Φαραὼ ἐκ τοῦ συμβάντος ἐπονομάσασα; Μωϋσῆς γὰρ τὸ ὕδωρ λέγεται τῇ τῶν Αἰγυπτίων φωνῇ. ἐπεὶ οὖν κατὰ τὸ πρόσταγμα τοῦ τυράννου κιβωτῷ τὸ βρέφος ἐνθέντες οἱ γεννησάμενοι τοῖς ῥείθροις ἔδωκαν (οὕτω γάρ τινες τῶν ἱστορικῶν τὰ κατ' αὐτὸν διηγήσαντο), ἡ δὲ κατὰ θεῖον βούλημα ὑπὸ τῆς δίνης τῶν ὑδάτων ἐκκυμανθεῖσα προσηνέχθη τῇ ὄχθῃ καὶ εὕρημα τῆς βασιλίδος κατ' ἐκεῖνο τῷ λουτρῷ τὸ σῶμα φαιδρυνομένης ἐγένετο, ὡς ἐξ ὕδατος αὐτῇ τοῦ παιδὸς κτηθέντος μνημόσυνον τῆς συντυχίας λέγεται τῷ παιδὶ θέσθαι τὸ ὄνομα, ᾧ καὶ αὐτὸς ὁ θεὸς ἐπὶ τοῦ θεράποντος κεχρῆσθαι οὐ παρῃτήσατο, οὐδὲ ἀνάξιον ἔκρινε τὴν τῆς βαρβάρου κλῆσιν ἐπὶ
286 τοῦ προφήτου κυρίαν ἐᾶσαι. οὕτω πρὸ τούτου ὁ Ἰακὼβ τῆς τοῦ συγγόνου πτέρνης ἐπειλημμένος πτερνιστὴς ἐκ τοῦ σχήματος ᾧ συναπεκυήθη προσηγορεύθη· εἰς τοῦτο γὰρ φέρειν τοῦ Ἰακὼβ τὴν ἑρμηνείαν εἰς Ἑλλάδα φωνὴν μετα-
287 ληφθεῖσαν οἱ τὰ τοιαῦτα νενοηκότες διδάσκουσι. καὶ τὸν

11 Exod 2,10 25 Gen 25,26

MCT 1 τῶν ὄντων: τῶν ὀνομάτων T 2 ὀνομάζοι T 3 τὸν οὐρανὸν: τὸν ἄνθρωπον CT 5 διαμφιβάλλοντες: διασφαλλόμενος v 6 εὐλαβὴς v: εὐσεβὴς MCT 9 κατασκευάζει v: κατασκευάζουσα MCT 10 καὶ ante δι' αὐτοῦ om CT 12 οὐχὶ CT τοῦ om M 13 μωϋσῆς libri v: μῶυ emendandum censeo 15 οἱ γεννησάμενοι ἐνθέντες M 18 κυμάτων v 22-23 παρῃτήσατο: ἀπηξίωσεν v

Φαρὲς ἡ μαῖα πάλιν ἐκ τοῦ περὶ τὸν τόκον συμβάντος ὠνόμασε, καὶ οὐδεὶς κατὰ Εὐνόμιον ὡς ἀρχηγικωτέραν αὐτὴν τῆς τοῦ θεοῦ ἐξουσίας ἐζηλοτύπησεν. ἀλλὰ καὶ τοῖς πατριάρχαις αἱ μητέρες τὰ ὀνόματα τίθενται, Ῥουβὶμ καὶ Συμεὼν καὶ Λευῒ καὶ τοῖς καθεξῆς πᾶσιν ὁμοίως, καὶ οὐδεὶς κατὰ τὸν νῦν λογογράφον ἐν τοῖς τότε χρόνοις τῆς θείας προνοίας κηδεμὼν ἀνεφάνη, ὥστε κωλῦσαι διὰ τῆς τῶν ὀνομάτων θέσεως ἀρχηγικώτερα τοῦ θεοῦ
288 γενέσθαι τὰ γύναια. τί δ' ἄν τις τὰ καθ' ἕκαστον ἐκ τῆς ἱστορίας λέγοι, ὕδωρ ἀντιλογίας καὶ τόπον πένθους καὶ βουνὸν ἀκροβυστιῶν καὶ φάραγγα βότρυος καὶ ἀγρὸν αἵματος καὶ τὰ τοιαῦτα πάντα τῶν ὀνομάτων τεθέντα μὲν παρὰ τῶν ἀνθρώπων, μνημονευόμενα δὲ πολλάκις καὶ ἐκ προσώπου θεοῦ, δι' ὧν ἔστι μαθεῖν ὡς οὔτε ὑπὲρ τὴν ἀνθρωπίνην ἀξίαν ἐστὶν ἡ διὰ ῥημάτων γινομένη κατὰ τῶν πραγμάτων σημείωσις οὔτε ἡ τῆς θείας φύσεως δύναμις διὰ τούτων τὴν μαρτυρίαν ἔχει.

289 Ἀλλὰ τοὺς μὲν ἄλλους φληνάφους, οὓς κατὰ τῆς ἀληθείας ἐλήρησεν, ὡς οὐδεμίαν ἔχοντας κατὰ τῶν δογμάτων ἰσχὺν ὑπερβήσομαι, περιττὸν εἶναι κρίνων ἐμφιλοχωρεῖν τοῖς ματαίοις. τίς γὰρ οὕτως ἄφροντις τῶν σπουδαιοτέρων φροντίδων, ὥστε τοῖς ἀνοήτοις τῶν λόγων προσαναλίσκειν τὴν σπουδὴν καὶ διαμάχεσθαι πρὸς τοὺς λέγοντας ὅτι ἀρχηγικωτέραν μὲν καὶ κυριωτέραν ἀποφαίνομεν τὴν τῶν ἀνθρώπων φροντίδα τῆς τοῦ θεοῦ κηδεμονίας, τὴν δὲ τοῖς ἀμελεστέροις ἐνοχλοῦσαν ὀλιγωρίαν εἰς τὴν ἐκείνου μεταφέρομεν πρό-
290 νοιαν; ταῦτα ἐπὶ λέξεως ἡ τοῦ διαβάλλοντος ἡμᾶς ἔχει φωνή. ἐγὼ δὲ ἴσον ἡγοῦμαι περί τε τὰ τοιαῦτα σπου-
1009 M. δάζειν καὶ γρᾳδίων ὀνείροις ἀποσχολάζειν. τὸ γὰρ ἐν

10 sq Num 20,13 τοπ. π.? Jos 5,3 Num 13,24 Matth 27,8

MCT 4 καὶ om v 9 τί δ' ἄν τις τὰ CT v: τί δηλ . . . M 13-14 προσώπου τοῦ θεοῦ v 21 ἄφροντις: ἄφρων, τίς v 30 γραΐδων v

τύπῳ φθόγγων τινῶν οἴεσθαι τῇ θείᾳ φύσει τὸ τῆς ἀρχῆς καὶ κυριότητος ἀξίωμα διαφολάσσειν καὶ τὴν μεγάλην τοῦ θεοῦ κηδεμονίαν ἐν τούτῳ δεικνύειν ἀμελεῖν τε πάλιν τὸν θεὸν καὶ ὀλιγωρεῖν τῆς προσηκούσης αὐτῷ προνοίας ἡμᾶς τε διαβάλλειν, ὅτι τὴν λογικὴν δύναμιν παρὰ τοῦ θεοῦ λαβόντες οἱ ἄνθρωποι ἔπειτα κατ' ἐξουσίαν τοῖς λόγοις πρὸς τὴν τῶν πραγμάτων δήλωσιν κέχρηνται, τί ἄλλο ἢ οὐχὶ γραώδης μῦθος ἢ κραιπαλώντων ὄνειρος τὸ τοιοῦτόν
291 ἐστιν; ἡ γὰρ ἀληθὴς τοῦ θεοῦ δύναμίς τε καὶ ἐξουσία καὶ ἀρχὴ καὶ κυριότης κατά γε τὸν ἡμέτερον λόγον οὐκ ἐν συλλαβαῖς τὸ εἶναι ἔχει, ἢ οὕτως ἂν εἰς ὁμότιμον ἔλθοι τῷ θεῷ πᾶς ὁστισοῦν εὑρετὴς ῥημάτων γενόμενος, ἀλλ' αἰῶνες ἄπειροι καὶ κόσμου κάλλη καὶ φωστήρων αὐγαὶ καὶ τὰ ἐπὶ γῆς καὶ θαλάττης θαύματα ἀγγέλων τε στρατιαὶ καὶ ὑπερκόσμιοι δυνάμεις καὶ εἴ τι ἄλλο κατὰ τὴν ἄνω λῆξιν παρὰ τῆς γραφῆς εἶναι δι' αἰνιγμάτων ἀκούομεν, ταῦτά ἐστι τὰ μαρτυροῦντα τῷ θεῷ ὑπὲρ πάντα δύναμιν.
292 φωνῆς δὲ ἦχον τοῖς πεφυκόσι φθέγγεσθαι μαρτυρῶν τις οὐδὲν εἰς τὸν δεδωκότα τὴν φωνὴν ἀσεβήσει. οὐδὲ γὰρ μέγα τι τοῦτο οἰόμεθα τὸ σημαντικὰς τῶν πραγμάτων ἐξευρίσκειν φωνάς. ᾧ γὰρ ἡ γραφὴ κατὰ τὴν ἱστορικὴν κοσμογένειαν ἀνθρώπου ὄνομα τῷ καθ' ἡμᾶς ἔθετο πλάσματι, τοῦτον ὁ Ἰὼβ βροτὸν ὀνομάζει καί τινες τῶν ἔξωθεν φῶτα καὶ μέροπα ἕτεροι, ἵνα ἐάσω τὰς κατὰ ἔθνος τοῦ
293 ὀνόματος τούτου διαφοράς. ἆρ' οὖν εἰς ἴσον ἄγομεν τῷ θεῷ καὶ τὰς ἐκείνων τιμάς, ὅτι ἰσοδυναμούσας τῇ τοῦ ἀνθρώπου προσηγορίᾳ κἀκεῖνοί τινας ἐξεῦρον φωνάς, δι' ὧν ὁμοίως δηλοῦται τὸ ὑποκείμενον; ἀλλὰ ταύτην μὲν τὴν ματαιολογίαν ἐατέον ἡμῖν, καθὼς προεῖπον, καὶ τὰς ἐφεξῆς λοιδορίας ἐν οὐδενὸς μέρει θετέον, ἐν αἷς καταψεύδε-

22 Gen 1,26 23 Job 14,1 24 Homerus scilicet

MCT 3 κηδεμονίαν: δύναμιν v 5-6 λαβόντες οἱ ἄνθρωποι παρὰ τοῦ θεοῦ CT 12 ὁτισοῦν M γινόμενος v 22 ἀνθρώπου v: ἄνθρωπον MCT 23 Ἰὼβ v: ἰακὼβ MCT 24-25 τοῦ ὀνόματος om v 25 εἰς om CT 26 ἴσον δυναμούσας v

σθαι τῶν θείων ἡμᾶς λογίων φησί, καὶ κατὰ πᾶσαν ἄδειαν συκοφαντεῖν τά τε ἄλλα πάντα καὶ αὐτὸν τὸν θεόν. μετέλθωμεν δὲ τῷ λόγῳ πρὸς τὰ λειπόμενα.
294 Προτίθησι πάλιν τοῦ διδασκάλου ῥῆσιν ἔχουσαν οὕτως. „παραπλησίως δὲ καὶ οὐδὲν ἀλλοιότερον τὴν τῆς ἐπινοίας χρῆσιν παρὰ τοῦ θείου δεδιδάγμεθα λόγου. ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν φύσιν τῆς θεότητος τοῖς ἀνθρώποις παραδηλῶν ἰδιώμασί τισι τοῖς θεωρουμένοις περὶ αὐτὸν ἀποσημαίνει ταύτην, θύραν ἑαυτὸν λέγων καὶ ἄρτον καὶ
295 ὁδὸν καὶ ἄμπελον καὶ ποιμένα καὶ φῶς." τὰ μὲν οὖν ἐφ' ὕβρει ῥηθέντα καθ' ἡμῶν παρ' αὐτοῦ ἐπὶ τούτοις (οὕτω γὰρ αὐτὸν ἡ διαλεκτικὴ μάχεσθαι τοῖς ἀντιλέγουσιν ἐδιδάξατο), παριδεῖν οἶμαι πρέπειν καὶ μηδὲν πρὸς τὰς μειρακιώδεις ἀνοίας ὑποταράσσεσθαι. ἀλλὰ τὸ δριμὺ τοῦτο καὶ ἄφυκτον ῥῆμα κατεξετάσωμεν, ὅπερ εἰς ἀνατροπὴν τοῦ καθ' ἡμᾶς προτείνεται λόγου. τίς, φησί, τῶν ἁγίων ἐστὶν
1012 M. ὃς κατ' ἐπίνοιαν λέγεσθαι τῷ κυρίῳ ταῦτα
296 μαρτυρεῖ τὰ ὀνόματα; τίς δὲ ἀπαγορεύει, πρὸς αὐτὸν εἴποιμι ἄν, βλάσφημον εἶναι κρίνων τὸ ἐν ἐπινοίᾳ θεωρεῖν τῶν ὀνομάτων τὴν χρῆσιν; εἰ γὰρ τὸ μὴ εἰρῆσθαι τοῦ κεκωλῦσθαι λέγει τεκμήριον εἶναι, καὶ τὸ μὴ κεκωλῦσθαι τοῦ συγκεχωρῆσθαι σημεῖον εἶναι πάντως συνθήσεται. ὀνομάζεται τοῖς ὀνόμασι τούτοις ὁ κύριος, ἢ καὶ περὶ τούτων ἔξαρνος ὁ Εὐνόμιος γίνεται; ἀλλ' εἰ μὲν ἀρνεῖται τὸ λέγεσθαι ταύτας ἐπὶ Χριστοῦ τὰς φωνάς, ἀμαχητὶ κεκρατή-
297 καμεν. τίς γὰρ ἂν περιφανεστέρα γένοιτο νίκη τοῦ δεῖξαι φανερῶς θεομαχοῦντα τὸν ἀντικείμενον διὰ τοῦ τὰς θείας τοῦ εὐαγγελίου φωνὰς παραγράφεσθαι; εἰ δὲ ἀληθῶς ὁμο-

5-6 Bas c Eun I p 524 C-D (cap 7 init) verba Basilii a Gregorio ex Eunomio citari videntur, non ex suis libris manuscriptis, cum a codicibus Basilii admodum recedant. sic etiam Basilius ipse Eunomium citare solet

MCT 4 προτίθησι Cv: προστίθησι T προ.. τίθησι δὲ M relicto spatio litterae σ 19 εἴποι ἂν T 20 τὸ μὴ εἰρῆσθαι M: τὸ μὴ ἀρνεῖσθαι CT τὸ οὐ μὴ εἰρῆσθαι v 26 γένοιτο: γένηται v

λογεῖ ταῦτα τὸν Χριστὸν ὀνομάζεσθαι, λεγέτω τὸν τρόπον
καθ' ὃν εὐσεβῶς ἐφαρμόζεται τῷ μονογενεῖ τὰ ὀνό-
ματα. μὴ τῆς φύσεως αὐτοῦ τὸν λίθον ἐνδεικτικὸν διορί-
ζεται; μὴ τὴν οὐσίαν αὐτοῦ διὰ τῆς ἀξίνης ἐνόησεν; μὴ
διὰ τῆς θύρας ἡ τῆς θεότητος τοῦ μονογενοῦς ἰδιότης
σημαίνεται ἢ δι' ἑκάστου τῶν ἄλλων, ἵνα μὴ πολὺν ἐπά-
γωμεν ὄχλον τῷ λόγῳ πάντα καταλέγοντες τὰ ὀνόματα;
298 οὐ φύσις τοῦ μονογενοῦς ἕκαστον τούτων τῶν ὀνομάτων
ἐστίν, οὐ θεότης, οὐκ οὐσίας ἰδίωμα, ἀλλὰ μὴν ὀνομάζεται
ταῦτα καὶ ἡ κλῆσις τὸ κύριον ἔχει. οὐδὲν γὰρ ἀργὸν καὶ
ἀσήμαντον ἐν ταῖς θείαις φωναῖς εὐαγές ἐστιν οἴεσθαι.
οὐκοῦν εἰπάτω τὸν λόγον, εἰ ἀθετεῖ τὸ κατ' ἐπίνοιαν λέ-
γεσθαι, πόθεν ἐφαρμόζεται ταῦτα τῷ θεῷ τὰ ὀνόματα.
ἡμεῖς μὲν γὰρ τοῦτό φαμεν, ὅτι πολυειδῶς τοῦ κυρίου τῆς
ἀνθρωπίνης προνοοῦντος ζωῆς ἕκαστον εὐεργεσίας εἶδος δι'
ἑκάστου τῶν τοιούτων ὀνομάτων καταλλήλως γνωρίζεται,
τῆς ἐνθεωρουμένης αὐτῷ προνοίας τε καὶ ἐνεργείας εἰς
299 ὀνόματος τύπον μεταβαινούσης. τὸ δὲ τοιοῦτον ὄνομα παρ'
ἡμῶν „ἐπινοίᾳ" λέγεται ὀνομάζεσθαι. εἰ δὲ μὴ τοῦτο
φίλον τοῖς ἀντιλέγουσιν, ὅπως ἄν τῳ δοκῇ ἐχέτω. ἀλλ'
ἀντιλέγει τοῖς λεγομένοις ὁ τῶν γραφικῶν αἰνιγμάτων ἀνή-
300 κοος. εἰ γὰρ πεπαίδευτο τὰς θείας φωνάς, ἔγνω πάντως
ἂν ὅτι καὶ κατάρα καὶ ἁμαρτία καὶ παροιστρῶσα δάμαλις
καὶ σκύμνος λέοντος καὶ ἄρκτος ἀπορουμένη καὶ πάρδαλις
καὶ τὰ τοιαῦτα κατὰ διαφόρους ἐπινοίας παρὰ τῆς γραφῆς
ὁ κύριος λέγεται, τῶν ἁγίων τε καὶ θεοφόρων ἀνδρῶν τὸν
σκοπὸν τοῦ νοήματος πρὸς ὃν ἀφεώρων εὐθυβόλως τοῖς
ὀνόμασι τούτοις διατρανούντων, εἰ καὶ διαβεβλῆσθαι ταῦτα
δοκεῖ πως κατὰ τὴν πρόχειρον ἔνδειξιν τὰ ὀνόματα· ἅπερ
ἕκαστον εἰ μὴ κατά τινά τις ἐπίνοιαν εὐαγῶς ἐπιλέγεσθαι

23 sq Gal 3,13 Hos 4,16 Gen 49,9 Hos 13,7-8

MCT 2 θεῷ post μονογενεῖ add v: 5 τοῦ μονογενοῦς: αὐτοῦ T 6-7 ἐπαγάγωμεν M 13 θεῷ: χριστῷ v 17 θεωρουμένης v τε om v 21 αἰνιγμάτων: ὀνομάτων v 24 λέοντων M v 26 διαφόρων v 28 εἰ δὲ T εἰ δὲ καὶ v

τῷ θεῷ συγχωρήσειεν, οὐ καθαρεύσει τῆς ἀσεβεστέρας ὑπο-
301 νοίας ἡ λέξις. καὶ μακρὸν ἂν εἴη περὶ πάντων παριστᾶν
τε καὶ ἀποδεικνύειν πῶς ταῦτα καὶ διαβέβληται κατὰ τὴν
κοινὴν ὑπόληψιν ἐκ τῆς προχείρου ἐμφάσεως καὶ ὁ τῆς ἐπι-
νοίας λόγος οἰκειοῖ τῇ εὐσεβείᾳ τοῦ θεοῦ τὰ ὀνόματα.
302 Ἀλλὰ πρὸς τὸ συνεχὲς τῆς ἀκολουθίας προέλθωμεν
πάλιν ἐπαναλαβόντες τὸν λόγον. λέγεται τὰ τοιαῦτα τῶν
ὀνομάτων ἐπὶ τοῦ κυρίου, καὶ οὐκ ἄν τις ἀντείποι τῶν
καθωμιληκότων ταῖς θεοπνεύστοις γραφαῖς ταῦτα μὴ λέγε-
σθαι. τί οὖν; ἆρ' αὐτῆς τῆς φύσεως σημαντικὰς τὰς
1015 M. φωνὰς διορίζεται; οὐκοῦν πολυειδῆ τινά φησι τὴν θείαν
φύσιν καὶ πολυσύνθετον, κατὰ τὰς διαφορὰς τῶν ἐν τοῖς
303 ὀνόμασι σημαινομένων τὸ ποικίλον ἐνδεικνυμένην. οὐ γὰρ ἡ
αὐτὴ τοῦ ἄρτου καὶ τοῦ λέοντος ἡ σημασία οὐδὲ θύρας τε
καὶ δαμάλεως οὐδὲ ἀξίνης καὶ ὕδατος, ἀλλ' ἑκάστου τῶν
ὀνομάτων ἴδιον ἔστιν ὁρισμὸν ἀποδοῦναι κατ' οὐδὲν ἐπικοι-
νωνοῦντα τοῖς ἄλλοις. οὐκοῦν φύσιν μὲν οὐ σημαίνουσιν,
ἄκυρον δέ τις καὶ ἀσήμαντον εἰπεῖν τὴν κλῆσιν τῶν ὀνο-
304 μάτων οὐκ ἂν τολμήσειεν. εἰ τοίνυν λέγεται μέν, οὐ κατὰ
φύσιν δέ, πᾶν δὲ τὸ παρὰ τῆς γραφῆς λεγόμενον κύριον
πάντως ἐστὶ καὶ προσφυῶς ἐπιλέγεται, τίς ἕτερος ὑπολεί-
πεται λόγος τοῦ ἁρμοζόντως τῷ μονογενεῖ θεῷ τὰς τοιαύτας
τετάχθαι φωνὰς πλὴν τοῦ κατ' ἐπίνοιαν τρόπου; δῆλον γὰρ
ὅτι πρὸς τὸ ποικίλον τῶν ἐνεργειῶν κατὰ διαφόρους σημασίας
ὀνοματοποιεῖται τὸ θεῖον, ὅπως ἂν νοήσωμεν, οὕτως ὀνο-
μαζόμενον. τί οὖν λυμαίνεται τοῖς εὐσεβεστέροις νοήμασιν
ἡ τοῦ νοῦ ἡμῶν πρὸς τὴν κατανόησιν τῶν γινομένων συν-
εργία, ἣν ἡμεῖς μὲν ἐπίνοιαν λέγομεν, εἰ δέ τις ἕτερόν τι
305 καλεῖν ἐθέλοι, οὐ διοισόμεθα; ἀλλ' οὐ μεθίησι καθάπερ
οἱ δεινοὶ τῶν ἀγωνιστῶν τὴν ἄφυκτον ταύτην καθ' ἡμῶν
λαβὴν καί φησιν οὑτωσὶ κατὰ λέξιν ὅτι ταῦτα δι' ἐπι-

MCT 3 ἀποδεικνύειν: ἀπογυμνοῦν τὴν διάνοιαν v 10 τὰς om v 14 ἡ om v 20 φύσεως M 25 ὀνοματοποιεῖσθαι M 26 νοήμασιν om v 27-28 συνεργία: ἐνέργεια v 31 οὕτως v κατὰ τὴν λέξιν M

νοίας ἀνθρωπίνης ἐστὶ τὰ ὀνόματα καὶ κατ' ἐπίνοιαν λέγεταί τινων, ἃ οὐδεὶς ἀποστόλων οὐδὲ εὐαγγελιστῶν ἐδίδαξε. καὶ μετὰ τὴν ἄμαχον ταύτην ἐπιχείρησιν ἐπιφέρει τὴν ἱερὰν ἐκείνην φωνήν, τῇ πεπαιδευμένῃ τὰ τοιαῦτα γλώσσῃ τὴν δυσώδη πάλιν καθ'
306 ἡμῶν λοιδορίαν ἐκπτύων. τὸ γάρ τοι, φησί, τὴν ἐξ ἀναλογίας ὁμωνυμίαν προφέρειν εἰς ἀνθρωπίνην ἐπίνοιαν, ψυχῆς ἔργον τὸν μὲν ἐρρωμένον νοῦν κατὰ δίκην παρῃρημένης, ἀρρώστῳ δὲ διανοίᾳ καὶ πεφωρημένῃ τινὶ συνηθείᾳ τοὺς τοῦ κυρίου λόγους ἐπισκοπούσης. βαβαὶ τῆς διαλεκτικῆς ἀποδείξεως, ὡς τεχνικῶς ὁ λόγος αὐτῷ πρὸς τὸν
307 σκοπὸν συμπεραίνεται. τίς ἂν ἔτι συσταίη τῷ κατ' ἐπίνοιαν λόγῳ, τοσαύτης ὀσμῆς ἐκ τοῦ στόματος αὐτοῦ τοῖς ἐπιχειροῦσί τι λέγειν προχεομένης; ἆρ' οὖν ἀφεκτέον καὶ ἡμῖν διὰ τοῦτο τῆς πρὸς αὐτὸν τοῦ λόγου συνεξετάσεως, ὡς ἂν μὴ καὶ καθ' ἡμῶν τὴν ἀμάραν ταύτην τῆς λοιδορίας
308 ὑποκινήσειεν; ἢ μικροψύχων ἐστὶ τὸ πρὸς τὰς νηπιώδεις παραφροσύνας ἀντιτραχύνεσθαι; οὐκοῦν συγχωρητέον τῷ ὑβριστῇ κεχρῆσθαι πρὸς τὸ δοκοῦν τῷ τρόπῳ. ἐπαναληπτέον δὲ τὸν ἐκείνου λόγον, ὡς ἂν κἀκεῖθεν γένοιτο συμμαχία πρὸς τὴν ἀλήθειαν.
309 Ἀναλογίας ἐμνήσθη καὶ τὴν ἐκ ταύτης ὁμωνυμίαν ἐνόησε. πόθεν ταῦτα μαθὼν καὶ παρὰ τίνος τὰ ῥήματα; Μωϋσῆς οὐκ εἶπε, προφητῶν καὶ ἀποστόλων οὐκ ἤκουσεν, εὐαγγελισταὶ τὰς τοιαύτας φωνὰς σεσιγήκασιν· οὐδεμιᾶς ἔστι γραφῆς ταῦτα διδασκούσης μαθεῖν. πόθεν οὖν αὐτῷ τὸ οὕτως εἰπεῖν; ἆρ' οὐχὶ τῆς τοῦ εἰπόντος διανοίας εὕρημα ὁ τοιοῦτος λόγος ἐστὶν ὁ τὴν ποιὰν τοῦ νοήματος σημασίαν ἀναλογίαν προσαγορεύων; πῶς οὖν οὐ συνίησιν οἷς πολεμεῖ, τούτοις συμμάχοις πρὸς τὸν πόλεμον

MCT 3 οὐδὲ correxi: οὔτε τῶν ante εὐαγγελιστῶν add M v 5 γλώσσῃ: φωνῇ v 6 τὸ γάρ τοι: τοιγάρ τοι v 10 πεφωρημένῃ cf p 320, 23 13 ἔτι συσταίη M v: ἐπισυσταίη CT 17 καὶ om v 23 ἐκ ταύτης: ἐκεῖθεν C

310 χρώμενος; πολεμεῖ δὲ τῷ κατ' ἐπίνοιαν λόγῳ αὐτὸς διὰ
1016 M. τῶν τῆς ἐπινοίας λόγων τὸ μὴ δεῖν κατ' ἐπίνοιάν τι λέγειν κατασκευάζων. ἀλλ' οὐδείς, φησί, τοῦτο τῶν ἁγίων ἐδίδαξεν. σὺ δὲ εἰς τίνα τῶν ἀρχαίων ἀναφέρειν ἔχεις τὴν τῆς ἀγεννησίας φωνὴν καὶ ὅτι αὐτῆς κατηγορεῖται τὸ ὄνομα τοῦ θεοῦ τῆς οὐσίας, μᾶλλον δὲ αὐτό ἐστι
311 τὸ ἀγέννητον ἡ οὐσία; ἢ σοὶ μὲν ἔξεστιν ἐν οἷς ἂν μέλλῃ τι τῶν ἀσεβῶν συμπεραίνεσθαι καινοτομεῖν τε καὶ παρευρίσκειν τὰς ἀρεσκούσας φωνάς, εἰ δέ τι πρὸς τὴν τῆς ἀσεβείας καθαίρεσιν παρ' ἑτέρου λέγοιτο, παραιρεῖσθαι τῆς ἐξουσίας τὸν ἀντιλέγοντα; μεγάλης τἂν εἴης τυραννίδος ἐπειλημμένος, εἰ ταύτην σεαυτῷ τὴν ἐξουσίαν κρατύνειας, ὡς ἅπερ ἐπὶ τῶν ἄλλων κωλύεις, σοὶ ταῦτα ποιεῖν ἐξεῖναι μόνῳ καὶ ἅπερ αὐτὸς κατ' ἐξουσίαν τολμᾷς, τούτων ἀπείρ-
312 γειν τοὺς ἄλλους. διὰ προστάγματος ἀθετεῖς τὸ κατ' ἐπίνοιαν ἐπιλέγεσθαι ταῦτα τῷ Χριστῷ τὰ ὀνόματα, ὅτι μηδεὶς τῶν ἁγίων τὸ δεῖν οὕτω λέγεσθαι διετάξατο. πῶς οὖν τῇ τοῦ ἀγεννήτου φωνῇ νομοθετεῖς τὴν θείαν οὐσίαν χαρακτηρίζεσθαι, ἣν οὐδεὶς τῶν ἁγίων παραδεδωκὼς ἐπιδείκνυται; εἰ γὰρ οὗτος ὅρος τῆς τῶν ῥημάτων ὀρθότητος, τὸ μόνον ἐκεῖνα φθέγγεσθαι, ἅπερ ἂν ὁ θεόπνευστος λόγος τῆς γραφῆς ὑφηγήσηται, ἐξαλειπτέον ἂν εἴη τῶν συγγραμμάτων σου τὸ ἀγέννητον, μηδενὸς τῶν ἁγίων τὴν φωνὴν
313 ταύτην θεσμοθετήσαντος. ἀλλὰ διὰ τὸν ἐγκείμενον τῷ προσρήματι τούτῳ νοῦν παραδέχῃ τὴν λέξιν. καὶ ἡμεῖς ὡσαύτως διὰ τὴν ἐγκειμένην ἔννοιαν τὴν φωνὴν τῆς ἐπινοίας παρεδεξάμεθα. οὐκοῦν ἢ τὰ δύο τῆς χρήσεως ἐξαιρήσομεν ἢ οὐθέτερον, ὅ τι δ' ἂν γένηται τούτων, δι' ἑκατέρων νικήσομεν. σιωπηθείσης μὲν γὰρ καθόλου τῆς ἀγεννησίας, πᾶσα συγκατεσβέσθη τῶν ἐναντίων κατὰ τῆς ἀληθείας φωνὴ καὶ <ἡ> πρέπουσα τῷ μονογενεῖ θεῷ

MCT 1 τῷ om v ⌜3 τῶν ἁγίων τοῦτο M 7 τὸ om v 16 ἐπιλέγεσθαι: λέγεσθαι v 18 verba a τὴν θείαν usque ad 20 ὅρος τῆς om v 21 λόγος om T 23 ὄνομα post ἀγέννητον add v 29 νικήσομεν: νοήσομεν T 30 ἡ ante κατὰ add v ante 31 πρέπουσα debebat ubi supplevi

δόξα παρὰ πάντων ἐκλάμψει, μηδενὸς ὄντος ὀνόματος τοῦ ἐξ ἀντιδιαιρέσεως τὸ μεγαλεῖον τοῦ κυρίου κατασμικρύνοντος.
314 εἰ δὲ μένοι ἀμφότερα, καὶ οὕτως ἐπικρατήσει μεθ' ἡμῶν ἡ ἀλήθεια, εἰς τὴν ἐπίνοιαν ἐκ τῆς οὐσίας μετατεθέντος τοῦ τῆς ἀγεννησίας ὀνόματος. ἀλλ' ἕως οὐκ ἐξαιρεῖ τῶν ἰδίων λόγων τὴν τοῦ ἀγεννήτου φωνήν, νουθετησάτω ἑαυτὸν ὁ καθ' ἡμᾶς Φαρισαῖος μὴ πρότερον πρὸς τὸ ἡμέτερον διαβλέπειν κάρφος, πρὶν τὴν ἐγκειμένην αὐτῷ δοκὸν ἀποβαλεῖν τῶν ὀμμάτων.

315 Ἀλλ' ὁ θεός, φησί, καὶ τοῖς ἀσθενεστάτοις τῶν περὶ γῆν τῶν τιμιωτάτων μεταδέδωκεν ὀνομάτων, μὴ συμμεταδοὺς τῆς τῶν ἀξιωμάτων ἰσομοιρίας, καὶ τοῖς κυριωτάτοις τῶν εὐτελεστάτων, μὴ συμμεταφερομένης ὑπὸ τῶν ὀνομάτων τῆς φυσικῆς εὐτελείας. ταῦτα κατ' αὐτὴν εἴρηται τὴν λέξιν· οὕτω παρ' αὐτῶν ὡς παρ' ἡμῶν ἀναγέγραπται. εἰ μέν τινα κατὰ τὸ βάθος ἐγκεκρυμμένην ἔχει διάνοιαν τὴν ἡμᾶς διαφεύγουσαν, λεγόντων οἱ κατειληφότες τὰ πόρρω τῆς ἡμετέρας ἐπόψεως, οἱ μεμυημένοι
316 παρ' αὐτοῦ τὴν ἐσωτερικήν τε καὶ ἀπόρρητον μύησιν· εἰ δὲ πλέον οὐδὲν τῶν ἐκ τοῦ προχείρου νοουμένων διερμηνεύουσιν, οὐκ οἶδα ποτέρους ἄν τις ἐλεεινοτέρους τῶν ἑτέρων λογίσαιτο, τοὺς τὰ τοιαῦτα λέγοντας ἢ τοὺς τὰς ἀκοὰς τοῖς τοιούτοις ὑπέχοντας. τοῖς ἀσθενεστάτοις, φησί, τῶν περὶ γῆν τῶν τιμιωτάτων μεταδέδωκεν ὀνομάτων, μὴ συμμεταδοὺς τῆς τῶν ἀξιωμάτων
1017 M. ἰσομοιρίας. οὐκοῦν σκοπήσωμεν τὴν τῶν εἰρημένων διά-
317 νοιαν. τὰ ἀσθενέστατα, φησί, ψιλῆς ἀξιοῦται τῆς τῶν τιμίων προσηγορίας, οὐκ ὄντα τὴν φύσιν ἅπερ κατονομάζεται, καὶ τοῦτο ἔργον εἶναι λέγει θεοῦ, τὸ διαψεύδεσθαι τῇ τι-

8 Matth 7,3-5

MCT 2 σμικρύνοντος T   5 οὐκ om CT   7 ὁ om v   8 πρὶν: πρὸς v   9 ὀνομάτων T   11 τῶν ante τιμιωτάτων om v   14 συμφερομένης v   18 λεγέτωσαν v   25 μετέδωκεν M   26 συμμεταδοὺς T (cf 12): συμμεταδιδοὺς M μεταδοὺς C v   28 ἀξιοῦνται v

μιωτέρᾳ κλήσει τὴν χείρονα φύσιν. καὶ τὸ ἔμπαλιν τὰς ἀτιμοτέρας φωνὰς τοῖς κατὰ φύσιν προέχουσι τὸν θεὸν ἐφαρμόζειν λέγει, μὴ συμμετατιθεμένης τῇ κλήσει τῆς φύ-
318 σεως. ὡς δ' ἂν μάλιστα καταφανὲς ἡμῖν τὸ λεγόμενον γένοιτο, ἐπ' αὐτῶν δειχθήσεται τῶν πραγμάτων ἡ ἀτοπία. εἴ τις τὸν διὰ πάσης ἀρετῆς εὐδόκιμον ἀκόλαστον λέγοι ἢ ἀναστρέψας τὸν ἴσῃ κακίᾳ διαβεβλημένον ἀγαθὸν εἴποι καὶ κόσμιον, ἆρα σωφρονεῖν ὁ τοιοῦτος ἤ τινα τῆς ἀληθείας ἔχειν φροντίδα παρὰ τοῖς νοῦν ἔχουσι νομισθήσεται, ἐπηλλαγμένας πρὸς τοὐναντίον τὰς προσηγορίας ποιούμενος, μὴ συμμαρτυρούσης τῇ σημασίᾳ τῶν ὀνομάτων τῆς φύσεως;
319 ἐγὼ μὲν οὐκ οἶμαι. ταῦτα τοίνυν παρὰ τοῦ θεοῦ γίνεσθαί φησιν οὗτος, ἃ οὔτε ταῖς κοιναῖς τῶν ἐννοιῶν οὔτε ταῖς γραφικαῖς μαρτυρίαις συμβαίνει. ἐν μὲν γὰρ τῇ κατὰ τὸν βίον ἡμῶν συνηθείᾳ μόνων τῶν ἐκ μέθης ἢ φρενίτιδος παραπαιόντων ἐστὶ τὸ διαπλανᾶσθαι πρὸς τὰ ὀνόματα καὶ μὴ κατὰ τὸ σημαινόμενον ταῖς ἐπὶ τῶν πραγμάτων κεχρῆσθαι φωναῖς, ἀλλὰ κύνα μὲν λέγειν, ἂν οὕτω τύχῃ, τὸν ἄνθρωπον, κυνὶ δὲ πάλιν ἐφαρμόζειν ἀνθρώπου προσηγορίαν.
320 ἡ δὲ θεία γραφὴ τοσοῦτον ἀπέχει τοῦ τῇ συγχύσει ταύτῃ συντίθεσθαι, ὥστε καὶ φανερῶς ἔστι τῆς προφητείας ἐπὶ τούτοις σχετλιαζούσης ἀκούειν. Ὁ λέγων, φησί, τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς, ὁ τιθεὶς τὸ πικρὸν γλυκὺ καὶ τὸ γλυκὺ πικρόν. πρὸς τί τοίνυν βλέπων τὴν ἀτοπίαν ταύτην προσμαρτυρεῖν οἴεται δεῖν τῷ ἰδίῳ θεῷ; εἰπάτωσαν οἱ μυσταγωγηθέντες παρ' αὐτοῦ τὰ ἀπόρρητα, τί τῶν περὶ γῆν ἀσθενέστατον κρίνουσιν, ὃ ταῖς τιμιωτάταις
321 τῶν ἐπωνυμιῶν παρὰ τοῦ θεοῦ σεμνύνεται. ἀσθενέστατα τῶν ὄντων τὰ τοιαῦτα τῶν ζῴων ἐστὶν οἷς ἡ γένεσις ἀπὸ σήψεως ὑγρῶν τὴν σύστασιν ἔχει, τιμιώτατον δὲ τῶν ὄντων

22 Jes 5,20

MCT 6 λέγει T   9-10 ἐνηλλαγμένας v   12 παρά: περὶ v   18 οὕτω τύχῃ: οὕτως ἔχῃ v   22 οὐαὶ ante ὁ λέγων add v   26 παρ' αὐτῷ v   27 φ C   30 τιμιώτατα v

ἀρετή τε καὶ ἁγιότης καὶ εἴ τι φίλον τῷ θεῷ. ἆρ' οὖν
μυῖαι καὶ σκνῖπες καὶ βάτραχοι καὶ οἷς ἐκ κόπρου ἡ γέ-
νεσις, ταῦτα τῇ τοῦ ἁγίου καὶ τῇ τῆς ἀρετῆς ἐπωνυμίᾳ
τετίμηται, ὥστε σεμνύνεσθαι μὲν τοῖς τιμίοις τῶν ὀνομάτων,
μὴ συμμετέχει δὲ τῆς τῶν ἀξιωμάτων ἰσομοιρίας,
322 καθώς φησιν ὁ Εὐνόμιος; ἀλλ' οὔπω τὸ τοιοῦτον ἠκού-
σαμεν, ὅτι τὰ ἀσθενῆ ταῦτα ταῖς μεγαλοφυεστέραις τῶν
προσηγοριῶν κατωνόμασται ἢ ὅτι τὸ μέγα τῇ φύσει καὶ
τίμιον τῇ ἑνὸς τούτων καθυβρίσθη προσηγορίᾳ. δίκαιος
ἦν ὁ Νῶε, φησὶν ἡ γραφή, πιστὸς Ἀβραὰμ καὶ πραῢς
Μωϋσῆς καὶ σοφὸς Δανιὴλ καὶ σώφρων ὁ Ἰωσὴφ καὶ
ἄμεμπτος ὁ Ἰὼβ καὶ μακροθυμίαν κατωρθωκὼς ὁ Δαβίδ.
323 εἰπάτωσαν τοίνυν, εἴ πῃ τούτων ἕκαστος ἐκ τῶν ἐναντίων
τὰς ἐπωνυμίας ἔσχεν, ἢ καὶ ἐπὶ τῶν πρὸς τὸ χεῖρον μαρ-
τυρουμένων οἷον Νάβαλ ὁ Καρμήλιος καὶ Φαραὼ ὁ Αἰ-
γύπτιος καὶ Ἀβιμέλεχ ὁ ἀλλόφυλος καὶ πάντες οἱ ἐπὶ
κακίᾳ μνημονευόμενοι, εἰ ταῖς δεξιωτέραις τῶν ἐπωνυμιῶν
1020 M. παρὰ τῆς θείας φωνῆς ἐτιμήθησαν. οὐκ ἔστι ταῦτα, ἀλλ'
ὡς ἔχει φύσεως τε καὶ ἀληθείας, οὕτω τὰ ὄντα παρὰ τοῦ
θεοῦ κρίνεταί τε καὶ λέγεται, οὐκ ἐναντίως τοῖς οὖσιν ὀνο-
μαζόμενα, ἀλλ' ὡς ἂν μάλιστα καταφανῆ γένοιτο τὰ ση-
μαινόμενα ταῖς οἰκείαις προσηγορίαις ἐξαγγελλόμενα.
324 Ταῦτα ὁ εὐσθενὴς τὴν διάνοιαν, ὁ τῆς πεφωρημένης συνηθείας κατήγορος, ὁ τοὺς παρῃρημένους ἐν δίκῃ τὸν λογισμὸν διασύρων, ταῦτα γινώσκειν περὶ τῆς θείας ὑποτίθεται φύσεως, ταύτας περὶ θεοῦ τὰς δόξας ἐκτίθεται ὡς κατειρωνευομένου τῶν πραγμάτων ταῖς ψευδωνύμοις φωναῖς καὶ τοῖς ἀσθενεστάτοις τὰς τιμιωτάτας χαριζομένου προσηγορίας, ἀντιφθεγγομένης ταῖς προσηγορίαις τῆς φύσεως, καὶ τὰ τίμια καθυ-

MCT 1 ἀρετὴ καὶ ἀγαθότης CT τῷ om M 2 σκνίπες C κνίπες v 9 τῇ τοῦ ἑνὸς M τούτων om M καθυβρίσθαι v 11 καὶ ante σώφρων om T ὁ ante Ἰωσὴφ om M 12 ὁ ante Ἰὼβ om M v 19 φύσις τε καὶ ἀλήθεια v 23 εὐσθενής: εὐσεβής T alt ὁ om C 23-24 πεφορημένης MCT 26 περὶ τοῦ θεοῦ M 29 verba ἀντιφθεγγομένης—30 φύσεως om v

325 βρίζοντος τῇ πρὸς τὰ φαῦλα τῶν ὄντων ὁμωνυμίᾳ. καὶ
ἄνθρωπος μέν τις τῶν πρὸς ἀρετὴν βλεπόντων ἔξω τι τῆς
ἀληθείας καὶ ἀκουσίως πολλάκις παρενεχθεὶς ὑπ' αἰδοῦς
καταδύεται, θεῷ δὲ πρέπουσαν ἡγεῖται τιμὴν τὸ φανῆναι
διαψευδόμενον ταῖς ἐπωνυμίαις τὰ πράγματα; οὐ ταῦτα
μαρτυροῦσιν αἱ προφητεῖαι τῇ θείᾳ φύσει. Μακρόθυμος
καὶ πολυέλεος καὶ ἀληθινός, φησὶν ὁ Δαβίδ. πῶς οὖν
ἀληθινὸς ὁ τῶν πραγμάτων καταψευδόμενος καὶ ὑπαλλάσσων
ἐν ταῖς τῶν ὀνομάτων ἐμφάσεσι τὴν ἀλήθειαν; Εὐθὴς κύριος
326 ὁ θεός, παρὰ τοῦ αὐτοῦ πάλιν προσαγορεύεται. ἆρ' οὖν
εὐθύτητός ἐστι τὸ σεμνύνειν ἐν τοῖς τιμιωτάτοις τῶν ὀνο-
μάτων τὰ ἄτιμα καὶ τὴν ἐπωνυμίαν διδόντα ψιλὴν τῆς ἐμ-
φαινομένης ἀξίας τῷ ῥήματι βασκαίνειν τῷ μετειληφότι τῆς
κλήσεως; αὕτη τῶν θεολόγων τούτων ἡ περὶ τοῦ νέου θεοῦ
μαρτυρία· τοῦτο τῆς πολυθρυλήτου διαλεκτικῆς ἀγχινοίας
τὸ πέρας, τὸ δεῖξαι τὸν θεὸν αὐτὸν καὶ ταῖς ἀπάταις ἐπι-
τερπόμενον καὶ τοῦ κατὰ τὸν φθόνον πάθους οὐ καθα-
327 ρεύοντα. ἀπάτης μὲν γάρ ἐστι τὸ μὴ ὡς ἔχει φύσεώς τε
καὶ ἀξίας τὰ ἀσθενῆ τῶν πραγμάτων κατονομάζειν, ἀλλ'
ἐκ τῶν ὑπερεχόντων τὰς ἐπωνυμίας αὐτοῖς μάτην χαρίζεσθαι,
μὴ συμμετατιθέντα τῇ κλήσει τῶν κατονομαζομένων τὴν
δύναμιν· φθόνου δὲ τὸ δυνάμενον τὴν τιμιωτέραν λῆξιν τοῖς
πρὸς τὸ κρεῖττον ὀνομασθεῖσι χαρίζεσθαι ὀκνεῖν τὴν χάριν,
οἱονεὶ ζημίαν ἰδίαν κρίνοντα τὴν τῶν ἀσθενῶν εὐπραγίαν.
328 ἀλλ' ἐγὼ συμβουλεύσαιμ' ἂν τοῖς γε νοῦν ἔχουσι, κἂν ὁ
τῶν Γνωστικῶν τούτων θεὸς τοιοῦτος εἶναι ὑπὸ τῆς τῶν
συλλογισμῶν βίας καταναγκάζηται, μὴ οὕτω καὶ τὸν ἀλη-
θινὸν θεόν, τὸν μονογενῆ θεὸν οἴεσθαι, ἀλλὰ πρὸς τὴν
ἀλήθειαν τῶν ὑποκειμένων ὁρᾶν καὶ τὸ κατ' ἀξίαν ἑκάστῳ

6 Ps 85,15 9 Ps 91, 16

MCT 2 τι om v 5 ψευδόμενον M 7 post ἀληθινὸς add θεὸς v (om Ps 85,15) 8 καί: ὁ M ἐπαλλάσσων v 9 εὐθὺς v 11 ἐν om v 16 αὐτῶν CT v 16-17 περιτερπόμενον v 22 λέξιν M v 27 λογισμῶν v

προσμαρτυρεῖν καὶ ἐκ τῶν πραγμάτων κατονομάζειν. Δεῦτε; φησίν, οἱ εὐλογημένοι, καὶ Πορεύεσθε οἱ κατηραμένοι, οὔτε τὸν κατάρας ἄξιον τῷ τῆς εὐλογίας τιμήσας ὀνόματι οὔτε τὸ ἔμπαλιν τὸν τὴν εὐλογίαν ἑαυτῷ θησαυρίσαντα μετὰ τῶν ἐξαγίστων ἀποπεμψάμενος.

329 Ἀλλὰ τί βούλεται τῷ λογογράφῳ τὰ εἰρημένα καὶ πρὸς τίνα βλέπει σκοπὸν ὁ λόγος αὐτῷ; μὴ γὰρ δὴ τοῦτό τις ὑπονοείτω ὅτι δι' ἀπορίαν ῥημάτων, ὡς ἂν μάλιστα δόξειεν εἰς πλάτος ἐκτείνειν τὸν λόγον, ἀδιανοήτοις τισὶν ἐμβατταρίζων τὴν φλυαρίαν ἐξέτεινεν. ἀλλ' ἔχει τι καὶ τὸ
330 ἀνόητον τῶν εἰρημένων ὡς πρὸς τὴν αἵρεσιν ὕποπτον. τὸ
1021 M. γὰρ εἰπεῖν τὰ τιμιώτατα τῶν ὀνομάτων καὶ τοῖς ἀσθενεστάτοις ἐπιλέγεσθαι, κἂν μὴ ἰσομοιροῦντα τύχῃ κατὰ τὴν φύσιν τοῦ ἀξιώματος, κατασκευή τίς ἐστιν αὐτῷ κατὰ τὸ λεληθὸς τῇ βλασφημίᾳ τὴν ἀκολουθίαν ὑπευτρεπίζουσα· ὡς ἂν τοῦτο παρ' αὐτοῦ μάθοιεν οἱ τὰ ἐκείνου μανθάνοντες, ὅτι κἂν θεὸς ὁ μονογενὴς ὀνομάζηται καὶ σοφία καὶ δύναμις καὶ φῶς καὶ ἀλήθεια καὶ κριτὴς καὶ βασιλεὺς καὶ ἐπὶ πάντων θεὸς καὶ μέγας θεὸς καὶ ἄρχων εἰρήνης καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος καὶ πάντα τὰ
331 τοιαῦτα, μέχρις ὀνόματος μόνον ἐστὶν ἡ τιμή. οὐ γὰρ συμμετέχει καὶ τῆς ἀξίας ἣν ἐμφαίνει τῶν ὀνομάτων ἡ δύναμις. καὶ ὅπερ ἐποίει τοῖς Βαβυλωνίοις ὁ σοφὸς Δανιὴλ διορθούμενος αὐτῶν τὴν περὶ τὰ εἴδωλα πλάνην, ὡς ἂν μὴ τὸν χαλκὸν ἢ τὸν δράκοντα σέβοιεν, τὸ ὄνομα τοῦ θεοῦ τὸ παρὰ τῶν ματαίων αὐτοῖς ἐπιπεφημισμένον αἰδούμενοι, καὶ σαφῶς δι' ὧν ἐποίησεν ἔδειξεν ὅτι οὐ συμβαίνει τὸ ὑψηλὸν τῆς θεότητος ὄνομα πρός τε τὸ ἑρπετὸν θηρίον καὶ πρὸς τὸ σχῆμα ᾧ ὁ χαλκὸς ἐτετύπωτο, ταῦτα πρὸς τὸ ἐναντίον καὶ ὁ ἐχθρὸς τοῦ θεοῦ ἐπὶ τοῦ μονο-

1-2 Matth 25,34 et 41

MCT 4 τῷ τὴν εὐλογίαν ἑαυτῷ θησαυρίσαντι M   7 αὐτῷ: αὐτοῦ v   8 ῥημάτων corruptum, νοημάτων correxerim   17-18 καὶ σοφία: κἂν σοφία T   21 μέχρι v   ὀνόματος αὐτῷ μόνον v   29 ὁ om T v   τετύπωτο M

γενοῦς θεοῦ κατασκευάζειν διὰ τῶν δογμάτων φιλονεικεῖ, τοῦτο βοῶν διὰ πάσης τῆς προκειμένης αὐτῷ ῥήσεως ὅτι μὴ πρὸς τὰ ὀνόματα τοῦ κυρίου βλέπετε ὧν μετείληφεν, ὡς ἐκ τούτων τὸ ἄφραστον αὐτοῦ καὶ ὑψηλὸν τῆς οὐσίας λογίζεσθαι· πολλὰ γὰρ καὶ ἄλλα τῶν ἀσθενεστάτων ταῖς ὑπερεχούσαις ἐπωνυμίαις τετίμηται, ὧν ἡ μὲν κλῆσις τὸ ὑψηλὸν ἔχει, ἡ δὲ φύσις πρὸς τὸ μεγαλεῖον τῆς προσηγορίας
332 οὐκ ἐξαλλάσσεται. διὰ τοῦτο λέγει μέχρις ὀνομάτων ψιλῶν γίνεσθαι παρὰ τοῦ θεοῦ τοῖς ὑποβεβηκόσι τὴν τῆς τιμῆς μετουσίαν, μὴ συνακολουθούσης τῇ κλήσει τῆς κατὰ τὴν ἀξίαν ἰσότητος, ὥστε πάντα περὶ τοῦ υἱοῦ μαθόντας, ὅσα τῆς ὑψηλῆς ἐστι σημασίας, μέχρις ὀνόματος οἴεσθαι τὴν ἐν ταῖς φωναῖς τιμὴν προσμαρτυρεῖσθαι αὐτῷ, τῆς δὲ κατὰ τὴν ἀξίαν ἰσομοιρίας ἀμέτοχον εἶναι κατὰ τὴν ἐν τοῖς εἰρημένοις τεχνολογίαν.

333 Ἀλλὰ γὰρ ἐνσχολάζων τοῖς ἀνοήτοις ἔοικά τι κατὰ τὸ λεληθὸς τοῖς ἐναντίοις χαρίζεσθαι. πρὸς γὰρ τὰ μάταια τῶν εἰρημένων ἀντιτιθεὶς τὴν ἀλήθειαν ἀποκναίειν μοι δοκῶ τοὺς καθομιλοῦντας τῷ λόγῳ πρὸ τῆς <ὑπὲρ> τῶν καιριωτέρων μάχης. οὐκοῦν ταῦτα μέν, ὅπως ἂν ἔχῃ, τοῖς ἐπιστατικωτέροις τῶν ἀκροατῶν ἐατέον, ἡμῖν δὲ πρὸς τὰ προ-
334 κείμενα μετενεκτέον τὸν λόγον. σιγάσθω δὲ καὶ τὸ προσεχῶς τοῖς ἐξητασμένοις προσκείμενον ὅτι· ταῦτα μέντοι τοῦτον διατέτακται τὸν τρόπον, οὐ τῆς ἐπινοίας τῶν ἀνθρώπων λαχούσης τὴν ἐξουσίαν τῶν ὀνομάτων — τίς γὰρ τοῦτό φησι, τὸ μὴ κατ' ἰδίαν ὑπόστασιν θεωρούμενον ἐν ἐξουσίᾳ πράγματος εἶναί τινος; μόνων γὰρ τῶν οἰκείᾳ τινὶ προαιρέσει διοικουμένων τὸ κατ' ἐξουσίαν τι πράττειν ἐστίν, ἡ δὲ ἐπίνοια τῆς ἡμετέρας διανοίας ἐστὶν ἐνέργεια καὶ τῆς τῶν φθεγγομένων ἤρτηται προαιρέσεως, οὐ καθ' ἑαυτὴν ὑφεστῶσα, ἀλλ' ἐν τῇ

MCT 2 πάσης: ταύτης M v non sunt re vera verba Eunomii quae sequuntur   ὅτι om C   14 εἶναι om v   16 ἐνασχολάζων T   19 ὑπὲρ addidi   19-20 τῶν καιριωτάτων T τῶν καρτερωτέρων v   20 μέν om v

335 τῶν διαλεγομένων ὁρμῇ τὴν ὑπόστασιν ἔχουσα — ἀλλ’
αὐτοῦ, φησί, τοῦ τὰ πάντα δημιουργήσαντος
1024 M. θεοῦ σχέσεώς τε καὶ ἐνεργείας καὶ ἀναλογίας
μέτροις καὶ νόμοις προσφυῶς ἑκάστῳ τῶν ὀνο-
μαζομένων τὰς προσηγορίας συναρμόζοντος.
ταῦτα δὲ ἢ καθόλου νοῦν οὐκ ἔχει ἢ ὑπεναντίως τοῖς προ-
εκτεθεῖσιν ἔχει. εἰ γὰρ προσφυῶς ἁρμόζειν τοῖς ὑποκει-
μένοις μαρτυρεῖ νῦν τῷ θεῷ τὰ ὀνόματα, πῶς ἐν τοῖς
ἀνωτέροις κατασκευάζει τὸν θεὸν τοῖς ἀτίμοις τὰ ὑψηλότερα
τῶν ὀνομάτων χαρίζεσθαι, μὴ συμμεταδιδόντα τῆς ἐμφαι-
νομένης τῇ σημασίᾳ τῶν ὀνομάτων ἀξίας, καὶ πάλιν τὰ
μεγάλα κατὰ τὴν φύσιν καθυβρίζειν ταῖς ἀτίμοις φωναῖς,
τῇ ταπεινότητι τῶν ῥημάτων οὐ συμμετατιθεμένης τῆς φύ-
336 σεως; ἀλλ’ ἀδικοῦμεν τάχα τὴν ἀδιανόητον αὐτοῦ ταύτην
τῶν ῥημάτων συνθήκην ταῖς τοιαύταις κατηγορίαις ὑπά-
γοντες. ταῦτα γὰρ καθόλου πάσης ἐστὶ διανοίας ἀλλότρια,
οὐ μόνον τῆς ὀρθῆς λέγω τῆς εἰς εὐσέβειαν, ἀλλ’ οὐδ’
ὁπωσοῦν μετέχοντά τινος λογισμοῦ τοῖς ἐξετάζειν ἀκριβῶς
337 ἐπισταμένοις εὑρίσκεται. ἐπεὶ οὖν καθ’ ὁμοιότητα τῶν θα-
λασσίων πνευμόνων ὄγκον μέν τινα τὸ φαινόμενον ἔχειν
δοκεῖ, ὁ δὲ ὄγκος φλέγμα ἐστὶ βδελυκτὸν μὲν ἰδεῖν, βδε-
λυκτότερον δὲ εἰς χεῖρας λαβεῖν, διὰ τοῦτο πρεπωδεστάτην
πρὸς τὰ μάταια τὴν σιωπὴν κρίνων παραδραμοῦμαι τὰ
εἰρημένα σιγῇ. τίνι γὰρ διοικεῖται νόμῳ ἐνέργειά τε καὶ
ἀναλογία καὶ σχέσις καὶ τίς ὁ νομοθετῶν τῷ θεῷ τοὺς
τῆς ἀναλογίας καὶ σχέσεως νόμους καὶ τρόπους, κρεῖττον
ἂν εἴη μένειν ἀνεξέταστον ἢ διὰ τῆς περὶ ταῦτα σπουδῆς
ναυτίαν τε ποιεῖν τοῖς ἀκούουσι καὶ ἀπάγειν τῶν σπουδαι-
οτέρων τὸν λόγον.

338 Ἀλλὰ δέδοικα μὴ πάντα ἡμῖν ἐπίσης τὰ ἐκ τῆς λογο-
γραφίας τοῦ Εὐνομίου προκείμενα φλέγματά τινα ᾖ καὶ
θαλάσσιοι πνεύμονες· ὥστε κατ’ ἀνάγκην ἡμῖν τὸν λόγον

MCT 1 λεγομένων M v   2 τοῦ τὰ MCT: ταῦτα v verbis ab ἀλλ’ αὐτοῦ incipientibus continuantur verba Eunomii p 323,23-26 allata   4 μέτροις om v   ἑκάστοις MC   10-11 φαινομένης T

τοῖς εἰρημένοις ἐναπολῆξαι, μηδεμίαν ἐκ τῶν γεγραμμένων
ὕλην εἰς ἐργασίαν εὑρίσκοντα. ὡς γάρ τις καπνὸς ἢ ὁμίχλη
βαθύνει μὲν καὶ ἀναθολοῖ τὸν ἀέρα, ἐν ᾧπερ ἂν τὴν σύ-
στασιν λάβῃ, καὶ πρὸς τὴν κατὰ φύσιν ἐνέργειαν κωλύει
τὴν ὅρασιν, οὐ μὴν οὕτω καταπυκνοῦται πρὸς ἑαυτὴν ὡς
καὶ δράξασθαι τὸν βουλόμενον καὶ περισχεῖν ταῖς παλάμαις
καὶ ἀντιτυπῆσαι τῷ πλήττοντι, τοιοῦτόν τι καὶ περὶ τῆς
σεμνῆς ταύτης λογογραφίας εἰπών τις οὐκ ἂν τῆς ἀληθοῦς
339 εἰκασίας ἁμάρτοι. πολὺς ὁ ὕθλος ἐν ὀγκώδει καὶ φλεγμαί-
νοντι λόγῳ πεπονημένος καὶ τῷ μὴ λίαν διορατικῷ τὴν
ψυχὴν ὥσπερ ἀχλὺς τῷ πόρρωθεν βλέποντι σύστασιν ἔχειν
τινὰ καὶ φαντασίαν δοκεῖ· εἰ δέ τις κατ’ αὐτὸν γένοιτο καὶ
τῇ ἐξεταστικῇ διανοίᾳ τῶν εἰρημένων ἐφάπτοιτο, καπνοῦ
δίκην διαρρεῖ <ὑπὸ> τῆς λαβῆς τὰ νοήματα καὶ εἰς τὸ μὴ
ὂν διασκίδναται καὶ οὐ δέχεται διά τινος στερρότητος καὶ
340 ἀντιτυπίας τὸν πλήττοντα λόγον. τί οὖν χρὴ πράττειν,
ἄπορον· εὐσυκοφάντητος γὰρ πρὸς ἑκάτερον παρὰ τοῖς φιλ-
αιτίοις ἡ αἵρεσις, εἴτε καθάπερ τινὰ φάραγγα διαπηδή-
σαντες τὴν κενοφωνίαν ἐπὶ τὰ πρανῆ καὶ ἐπίδρομα τὸν
λόγον εὐθύνωμεν, τοῖς δοκοῦσί τινα κατὰ τῆς ἀληθείας
ἰσχὺν ἔχειν συσταθέντες διὰ τῆς ἀντιρρήσεως, εἴτε καὶ
πάσῃ συμπαρατείνωμεν τῇ φλυαρίᾳ τὴν πρὸς τὰ μάταια
1025 M. μάχην· οὕτω μὲν γὰρ ἐπαχθὴς ἔσται τοῖς ἀφιλοπόνοις ἡ
σπουδὴ καὶ ἀνόνητος ἐν πολλαῖς ἐπῶν χιλιάσιν ἐπ’ οὐδενὶ
341 χρησίμῳ μηκυνομένη. εἰ δὲ τῶν δοκούντων ἔχειν τινὰ κατὰ
τῆς ἀληθείας ἰσχὺν μόνων ἀντιλαβοίμεθα, κατηγορίας ἀφορ-
μὴν τοῖς ὑπεναντίοις παρέξομεν ὡς παρεικότες τινὰ τῶν
οὐ δεχομένων ἀντίρρησιν. ἐπειδὴ τοίνυν δύο προκειμένων
ἡμῖν, τοῦ τε διὰ πάντων τὸν λόγον ἐλθεῖν καὶ τοῦ τοῖς
ἀναγκαιοτέροις μόνοις ἐπιδραμεῖν, τὸ μὲν ἐπαχθὲς τοῖς
ἀκούουσι, τὸ δὲ τοῖς διαβάλλουσιν ὕποπτον, καλῶς ἔχειν
φημὶ μέσην τινὰ τραπόμενον ἐκφυγεῖν ἑκατέρωθεν ὡς οἷόν τε

MCT 1 ἐγγεγραμμένων C   4 ἐνέργειαν: ἐργασίαν CT   κωλύῃ C   14 ὑπὸ addidi   19 ἐπίδρομα: εὐθύδρομα M   30 τὸ μὲν γὰρ M   31 διαβάλλουσιν: βάλλουσιν v   32 ὡς οἷόν τε MT: ὡς οἴονται v

342 τὸ ὑπαίτιον. τίς οὖν ἡ μέθοδος; πάντων τῶν κατὰ τὸ
μάταιον πεπονημένων αὐτῷ συντεμόντες ὡς οἷόν τε τὸν
πολὺν συρφετὸν δι' ὀλίγων ἐπιδραμούμεθα κεφαλαιωδῶς τὰ
νοήματα, ὡς μήτε τοῖς ἀνοήτοις ἐμβαθύνειν εἰκῇ μήτε τι
τῶν εἰρημένων περιϊδεῖν ἀνεξέταστον.
343 Ἅπας τοίνυν ὁ λόγος αὐτῷ πρὸς ταύτην ἄσχολός ἐστι
τὴν σπουδήν, δεῖξαι φιλονεικῶν ἀνθρωπικῶς τὸ θεῖον δια-
λεγόμενον καὶ τὰς σημαντικὰς τῶν πραγμάτων φωνὰς αὐτὸν
τοῖς οὖσι τὸν τῶν πραγμάτων δημιουργὸν ἐφαρμόζοντα. καὶ
διὰ τοῦτο μαχόμενος πρὸς τὸν εἰπόντα τῆς λογικῆς εἶναι
φύσεως, ἣν θεόθεν εἰλήφαμεν, τὰ τοιαῦτα τῶν ὀνομάτων,
καὶ τῆς ἀληθείας διαμαρτάνειν φησὶ καὶ τῆς ἰδίας αὐτὸν
μὴ κρατεῖν ὑποθέσεως καὶ ταύτην ἐπαγαγὼν τὴν μέμψιν
344 αὐτῷ τοιούτοις κέχρηται λογισμοῖς πρὸς ἀπόδειξιν. εἶπε,
φησίν, ὁ Βασίλειος μετὰ τὸ πρῶτον ἐγγενόμενον
ἡμῖν περὶ τοῦ πράγματος νόημα τὴν λεπτο-
τέραν καὶ ἀκριβεστέραν τοῦ νοηθέντος ἐξέ-
τασιν ἐπίνοιαν λέγεσθαι. καὶ τῇ τοιαύτῃ κατασκευῇ
διελέγχει τὸν λόγον, ὡς οἴεται, ὅτι ἐν οἷς οὐκ ἔστι
πρῶτον καὶ δεύτερον νόημα οὔτε λεπτότερον
ἕτερον ἑτέρου καὶ ἀκριβέστερον, οὐκ ἂν ἔχοι,
345 φησί, χώραν τὸ κατ' ἐπίνοιαν. τέως μὲν οὖν καὶ
τοῦτο δολερῶς ὑφαρπάσας παρὰ τῶν ἐχόντων ἀκοὴν φωρα-
θήσεται. οὐ γὰρ πάσης ἐπινοίας τοῦτον πεποίηται τὸν
ὁρισμὸν ὁ διδάσκαλος ἡμῶν, ἀλλ' οἷον ἰδικήν τινα τῶν
κατ' ἐπίνοιαν θεωρουμένων ὑποδιαίρεσιν ποιησάμενος, ὡς
ἂν μὴ πολὺν ὄχλον ἐπεισαγάγοι τῷ λόγῳ, τὸ μέρος τοῦτο
διασαφήσας ἀφῆκε τοὺς νοῦν ἔχοντας ἐκ τοῦ μέρους τὸ
346 ὅλον ἐπιλογίζεσθαι. καὶ ὥσπερ κατὰ πλειόνων καὶ δια-
φερόντων τῷ εἴδει κατηγορεῖσθαί τις τὸ ζῷον εἰπὼν οὐκ

15 Basilii c Eun I p 524 B quamvis non accurate citat Eunomius

MCT 6-7 ἄσχολός ἐστι πρὸς ταύτην τ. σπ. v 11 εἰλήφαμεν: ἐλάβομεν v 15 μετὰ: κατὰ T 19 ὡς οἴεται Εὐνόμιος v 22 οὖν om v 27 ἐπεισάγοι CT v 29 ὥσπερ: ὡς v

ἂν ὡς διαμαρτὼν τῆς ἀληθείας διελεγχθείη ἰδίως τὸν ἄν-
θρωπον εἰς ὑπογραφὴν ἀγαγὼν οὐδ' ἄν τις αὐτὸν ὡς ἀπο-
σφαλέντα τοῦ ὄντος εὐθύνοιεν, εἰ μὴ κατὰ πτηνοῦ τε καὶ
τετράποδος καὶ ἐνύδρου τὸν αὐτὸν ἀποδιδοίη λόγον, ὃν ἐπὶ
τοῦ κατὰ τὸν ἄνθρωπον ἀπεφήνατο, οὕτω πολυσχιδῶς καὶ
ποικίλως τοῦ κατ' ἐπίνοιαν θεωρουμένου λόγου οὐκ ἂν
ἔλεγχος εἴη τὸ μὴ εἶναι κυρίως ἐκείνην ἐπίνοιαν τῷ καὶ
ἕτερον εἶναι εἰπεῖν, ὥστε κἂν ἄλλο τι ἐπινοίας εἶδος θεω-
347 ρηθῇ, τὸ προαποδοθὲν οὐχ ἡμάρτηται. εἰ μὲν οὖν τις,
φησί, τῶν ἀποστόλων ἢ τῶν προφητῶν τούτοις
χρησάμενος ἐπὶ τοῦ Χριστοῦ τοῖς ὀνόμασιν
ἀπεδείκνυτο, εἶχεν ἂν παραμυθίαν τὸ ψεῦδος.
ὅσην μαρτυρεῖ τῷ λογογράφῳ τὰ εἰρημένα τὴν ἐν ταῖς
1028 M. γραφαῖς τοῦ θεοῦ φιλοπονίαν. οὐδεὶς εἶπε τῶν προφητῶν
ἢ τῶν ἀποστόλων ἄρτον ἢ λίθον ἢ πηγὴν ἢ ἀξίνην ἢ φῶς
348 ἢ ποιμένα τὸν κύριον; τί οὖν ὁ Δαβίδ; περὶ τίνος φησὶν
ὅτι Κύριος ποιμαίνει με, καὶ Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσ-
σχες; ἆρά τι διαφέρει ποιμένα εἰπεῖν ἢ ποιμαίνοντα καὶ
Παρὰ σοὶ πηγὴ ζωῆς; ἆρα δέχεται τὸ πηγὴν εἰρῆσθαι τὸν
κύριον καὶ Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες; ὁ δὲ
Ἰωάννης τὴν ἀναιρετικὴν τῆς κακίας δύναμιν τοῦ κυρίου
τῷ τῆς ἀξίνης διασημαίνων ὀνόματι ἐν οἷς φησιν Ἤδη ἡ
ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται, οὐκ ἀξιόπιστος
349 τούτῳ μάρτυς τῶν εἰρημένων δοκεῖ; ὁ δὲ Μωϋσῆς ἐν φωτὶ
τὸν θεὸν βλέπων καὶ ὁ Ἰωάννης φῶς ἀληθινὸν ὀνομάζων,
τὸ δὲ αὐτὸ τοῦτο καὶ Παῦλος ἐν τῇ πρώτῃ θεοφανείᾳ περι-
λαμφθεὶς τῷ φωτὶ καὶ μετὰ ταῦτα τὰς παρὰ τοῦ φωτὸς
ἀκούων φωνὰς ὅτι Ἐγὼ Ἰησοῦς ὃν σὺ διώκεις, οὐχ ἱκανὸς
ἄρα πρὸς μαρτυρίαν ἐστί; περὶ δὲ τοῦ ἄρτου ἀναγνώτω τὸ

17 Ps 22,1 Ps 79,2 19 Ps 35,10 20 Matth 21,42 22 re vera Matth 3,10 Luc 3,9 24 Exod 3,2 25 Joh 1,9 28 Act 9,5

MCT 3 post εὐθύνοιεν iterat ἄν v 4 ἀποδοίη M 7 ἐκείνην ante μὴ collocat v 16 Δαβὶδ καὶ περὶ M v 25 ὁ om v 26 τῷ δὲ αὐτῷ τούτῳ v 27 παρὰ om v post παρὰ τοῦ lacuna circiter duodecim litt T

εὐαγγέλιον, ὅτι ἡ παρὰ τοῦ Μωϋσέως τροφὴ ἡ οὐρανόθεν τῷ Ἰσραὴλ χορηγουμένη εἰς τὸν τοῦ κυρίου τύπον ὑπ'
350 αὐτοῦ τοῦ κυρίου μετείληπται. Οὐ γὰρ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον, ἀλλ' ὁ πατήρ μου δίδωσι τὸν ἄρτον τὸν ἀληθινόν, ἑαυτὸν λέγων τὸν ἐκ τοῦ οὐρανοῦ καταβάντα καὶ ζωὴν διδόντα τῷ κόσμῳ. ἀλλ' ὁ γνήσιος ἀκροατὴς τοῦ νόμου μηδένα φησὶ τῶν προφητῶν ἢ τῶν ἀποστόλων ταῦτα ἐπιτεθεικέναι τῷ Χριστῷ τὰ ὀνόματα. τί οὖν τὸ ἐφεξῆς, εἰ αὐτὸς ἑαυτὸν τούτοις ὠνόμασεν ὁ κύριος; ἐπειδή γε τῶν τοῦ σωτῆρος ὀνομάτων οὐκ ἔστι τὸ μὲν πρῶτον τὸ δὲ δεύτερον οὐδὲ λεπτότερον ἕτερον ἑτέρου καὶ ἀκριβέστερον, ὁμοῦ τὰ πάντα καὶ μετὰ τῆς ἴσης ἀκριβείας γινώσκοντος, οὐδὲ τούτων οὐδενὶ δυνατὸν συναρμόσαι τὸν περὶ τῆς ἐπινοίας αὐτῷ ῥηθέντα λόγον.

351 Πολὺν ἐπήντλησα τῷ λόγῳ τὸν ἐκεῖθεν λῆρον· ἀλλὰ παραιτοῦμαι τοὺς ἐντυγχάνοντας συγγνώμην ἔχειν, εἰ μηδὲ τὰ πρόδηλα τῶν ματαίων περιορῶμεν ἀκατανόητα, οὐχ ὡς ἐμφαιδρυνόμενοι τῇ ἀσχημοσύνῃ τοῦ λογογράφου (τί γὰρ φέρει κέρδος ἡμῖν ἐλεγχομένη τῶν ἐναντίων ἡ ἄνοια;) ἀλλ' ὡς ἂν ὁδῷ προΐοι συνιστῶσα διὰ πάντων ἑαυτὴν ἡ ἀλήθεια. ἐπειδή, φησίν, ἑαυτῷ ταύτας ἐπέθηκε τὰς προσηγορίας ὁ κύριος οὔτε τι πρῶτον νοῶν οὔτε δεύτερον οὔτε λεπτότερόν τι ἢ ἀκριβέστερον, οὐκ ἔστιν ἐξ ἐπινοίας εἶναι ταῦτα
352 εἰπεῖν τὰ ὀνόματα. πῶς μέμνηται τοῦ ἰδίου σκοποῦ; πῶς οἶδε τοὺς λόγους καθ' ὧν τὸν πόλεμον ἐνεστήσατο; ἐμνήσθη τινὸς τῶν ὑποτρεχόντων τῇ συνηθείᾳ πρὸς τὴν ἑρμηνείαν τῆς ἐπινοίας ὁ καθηγητὴς ὁ ἡμέ-

3 Joh 6,32   6 Rom 2,13   28 sq Bas c Eun I p 524 B-C

MCT 4 ἡμῖν T v   verba ἀλλ'—τὸν ἄρτον om T   9 ὠνόμασε κύριος v   11 οὐδὲ scripsi: οὔτε   ἕτερον τοῦ ἑτέρου v   12 τὰ ante πάντα om M   γινώσκοντος videlicet τοῦ σωτῆρος (v 10)   16 post μηδὲ rasura duarum litterarum T   20 δι' ἁπάντων v   21 προσέθηκε v   22 ἐννοῶν v   23 τι post λεπτότερον om v   27 ὑποτρεχόντων M: ἐντρεχόντων CT v

τερος καὶ ἐν τοῖς κατωτέροις τῶν ὑποδειγμάτων τὸν νοῦν διασαφήσας οὕτως προσβιβάζει τοῖς ἄνω τὴν θεωρίαν τοῦ λόγου. εἶπεν γὰρ ὅτι καθ' ἑαυτὸν ὁ σῖτος ἕν τι πρᾶγμα κατὰ τὴν ὑπόστασιν φαίνεται, πρὸς δὲ τὰς ἐπιθεωρουμένας αὐτῷ ποικίλας ἰδιότητας ἐξαλλάσσει τὰς κλήσεις καὶ σπόρος γινόμενος καὶ καρπὸς καὶ τροφὴ καὶ
353 ὅσα γίνεται, τοσαῦτα ὀνομαζόμενος. παραπλησίως δέ, φησί,
1029 M. καὶ ὁ κύριος ἐστὶ μὲν καθ' ἑαυτὸν ὅ τι ποτὲ κατὰ τὴν φύσιν ἐστί, ταῖς δὲ τῶν ἐνεργειῶν διαφοραῖς συνονομαζόμενος οὐ μίαν ἐπὶ πάντων ἴσχει προσηγορίαν, ἀλλὰ καθ' ἑκάστην ἔννοιαν τὴν ἐξ ἐνεργείας ἐγγινομένην ἡμῖν μεταλαμβάνει τὸ ὄνομα. τί οὖν ὁ λόγος ἡμῶν διὰ τῶν εἰρημένων ἐλέγχεται ὁ εἰπὼν δυνατὸν εἶναι πολλὰς ἐφαρμόζεσθαι προσηγορίας κατὰ τὰς τῶν ἐνεργειῶν διαφορὰς καὶ τὴν πρὸς τὰ ἐνεργούμενα σχέσιν ἑνὶ κατὰ τὸ ὑποκείμενον ὄντι τῷ υἱῷ τοῦ θεοῦ, ὡς καὶ ὁ σῖτος εἷς ὢν ἐκ τῶν ποικίλων περὶ αὐτοῦ νοημά-
354 των διαφόροις ἐπωνυμίαις ἐπιμερίζεται; πῶς οὖν ἀνατρέπει τὰ εἰρημένα ὁ λέγων περὶ ἑαυτοῦ ταῦτα τὸν Χριστὸν τὰ ὀνόματα λέγειν; οὐ γὰρ ὅστις ὁ κατονομάσας τὸ ζητούμενον ἦν, ἀλλὰ περὶ τῆς τῶν ὀνομάτων ἐννοίας ἡ θεωρία προέκειτο πότερον φύσιν ἐνδείκνυται ἢ ἐπινοητικῶς ἐκ τῶν ἐνεργειῶν ὀνομάζεται. ἀλλ' ὁ δριμὺς οὗτος καὶ ἀμφιλαφὴς τὴν διάνοιαν ἀνατρέπων τὸν ἀποδοθέντα περὶ τῆς ἐπινοίας λόγον τὸν εἰπόντα δυνατὸν εἶναι ἑνὶ τῷ ὑποκειμένῳ πολλὰς ἐξευρίσκειν προσηγορίας κατὰ τῶν ἐνεργειῶν τὰς σημασίας ἰσχυρῶς κέχρηται καθ' ἡμῶν τῇ μάχῃ λέγων μὴ παρ' ἑτέρου τινὸς τεθεῖσθαι τῷ κυρίῳ τὰς τοι-
355 αύτας φωνάς. τί οὖν ταῦτα πρὸς τὴν νῦν προκειμένην σπουδήν; μὴ ἐπειδὴ παρὰ τοῦ κυρίου τὰ ὀνόματα λέγεται, οὐδὲ ὀνόματα δώσει ταῦτα εἶναι οὐδὲ προσηγορίας οὐδὲ

13 πολλὰς προσηγορίας] cf Bas c Eun I p 524 B

MCT 2 προσβιβάζει correxi: προβιβάζει MCT v   9 ὀνομαζόμενος M   10 οὐδεμίαν M   11 καταλαμβάνει M   25 ἐξευρίσκειν MC: ἐξευρεῖν T v   28 νῦν om v   30 οὔτε προσηγορίας v

φωνὰς νοημάτων σημαντικάς; εἰ μὲν γὰρ οὐ δέχεται τὸ εἶναι ταῦτα ὀνόματα, τῇ τῶν προσηγοριῶν ἀναιρέσει καὶ ἡ ἐπίνοια συνανῄρηται· εἰ δὲ οὐκ ἀντιλέγει τὸ τὰς φωνὰς ταύτας ὀνόματα εἶναι, τί βλάπτει τὸν κατ' ἐπίνοιαν λόγον διὰ τοῦ δεῖξαι μὴ παρ' ἑτέρου τινός, ἀλλὰ παρ' αὐτοῦ
356 τοῦ κυρίου τὰς τοιαύτας τεθεῖσθαι κλήσεις; τὸ γὰρ λεγόμενον ἦν, ὅτι παραπλησίως τῷ κατὰ τὸν σῖτον ὑποδείγματι ἓν κατὰ τὸ ὑποκείμενον ὁ κύριος ὢν πρόσφορα ταῖς ἐνεργείαις ἔχει καὶ τὰ ὀνόματα. τοῦ δὲ σίτου κατὰ τὴν τῶν περὶ αὐτὸν θεωρουμένων ἐπίνοιαν τὰς ὀνομασίας ἔχειν ὁμολογουμένου συγκατεσκευάζετο καὶ τὸ μὴ φύσεως εἶναι ταύτας ἐπὶ τοῦ κυρίου σημαντικὰς τὰς φωνάς, ἀλλὰ τῷ λόγῳ τῆς
357 ἐπινοίας ἐν τοῖς περὶ αὐτὸν νοουμένοις συνίστασθαι. ὁ δὲ ἀντιλέγων ὑπὸ πολλῆς προσοχῆς οὐ πρὸς τὰ τεθέντα ποιεῖται τὴν μάχην, ἀλλά φησιν αὐτὸν ὑφ' ἑαυτοῦ ταῦτα κατονομάζεσθαι, ὅμοιον ὥσπερ ἂν εἴ τις τοῦ κατὰ τὸν Ἰσαὰκ ὀνόματος τὴν ἑρμηνείαν ζητῶν, πότερον γέλως ὥς φασί τινες ἑρμηνεύεται ἢ ἄλλο τι σημαίνει τὸ ὄνομα, ὁ δέ τις τῶν κατὰ Εὐνόμιον ἐπιστατικῶς ἀποκρίνοιτο παρὰ τῆς μητρὸς τεθεῖσθαι τῷ παιδὶ τὴν κλῆσιν· ἀλλ' οὐ τοῦτο, φαίη τις ἄν, τὸ ζητούμενον ἦν, παρὰ τίνος ἡ ἐπωνυμία πεπόρισται, ἀλλὰ τί σημαίνει μεταληφθεῖσα πρὸς τὴν ἡμετέραν
358 γλῶσσαν ἡ τοῦ ὀνόματος ἔννοια. καὶ ἐνταῦθα τοίνυν τῆς ζητήσεως οὔσης, εἰ τὰ ποικίλως ἐπιλεγόμενα τῷ κυρίῳ κατ' ἐπίνοιαν λέγεται καὶ οὐχὶ τῆς φύσεως τὴν ἔνδειξιν ἔχει, ὁ τοιαύτην ἐπαγαγὼν τὴν ἀπόδειξιν τοῦ μὴ ἐν ἐπινοίᾳ θεωρεῖσθαι τὰς προσηγορίας, τὸ παρ' αὐτοῦ τοῦ κυρίου
1032 M. λέγεσθαι ταύτας, πῶς μετὰ τῶν σωφρονούντων ἀριθμηθήσεται ὁ καὶ πολεμῶν τῇ ἀληθείᾳ καὶ τοιαύταις πρὸς τὸν

17 cf Gen 21,6

MCT 1 τὸ v: τοῦ MCT 12 τοῦ ante κυρίου om M 15 καὶ ante ταῦτα add CT 22-23 πρὸς τὴν ἡμετέραν γλῶσσαν om CT 24 ἐπιλεγόμενα: λεγόμενα CT 25 τὴν ante ἔνδειξιν om CT 26 ἐπάγων v ἐν om v 27 τό: τῷ v

πόλεμον συμμαχίαις χρώμενος, δι' ὧν ἰσχυρότερον ἀποφαίνει τὸν πολεμούμενον;
359 Εἶτα προϊὼν ὡς δὴ κατὰ σκοπὸν αὐτῷ συμπερανθέντος τοῦ λόγου ἕτερα προχειρίζεται καθ' ἡμῶν χαλεπώτερα τῶν εἰρημένων ὥς φησι τὰ ἐγκλήματα καὶ πολλὰ προσχετλιάσας καὶ προδιαβαλὼν τὸν λόγον καὶ σφοδρῶς τὸν ἀκροατὴν ἐπὶ τοῖς μέλλουσι ῥηθήσεσθαι παροξύνας, ἐν οἷς δυσσεβέστερά τινα παρ' ἡμῶν αἰτιᾶται κατασκευάζεσθαι, ὡς μὴ μόνον τὰς ἀποκληρωθείσας παρὰ τοῦ θεοῦ προσηγορίας ταῖς ἐπινοίαις ἡμῶν προσαπτόντων, οὐκ εἰπὼν τίς ἡ τῶν προσηγοριῶν ἀποκλήρωσις καὶ πότε καὶ πῶς γεγενημένη, <ἀλλὰ> καὶ ὡς πάντα φυρόντων τὰ πράγματα καὶ εἰς ταὐτὸν ἀγόντων τοῦ μονογενοῦς τήν τε οὐσίαν καὶ τὴν ἐνέργειαν, οὐδὲν περὶ αὐτοῦ τούτου διαλεχθεὶς οὐδὲ ἀποδείξας, πῶς ταὐτὸν εἶναι τῇ οὐσίᾳ κατασκευάζεται παρ' ἡμῶν ἡ ἐνέργεια, τέλος ἐπάγει καὶ αὐτὸν τὸν κολοφῶνα τῶν ἐγκλημάτων, οὑτωσὶ
360 λέγων τοῖς ῥήμασιν. ἤδη δέ, φησί, μεταβαίνων ἀπὸ τούτων καὶ τὸν ἐπὶ πάντων θεὸν ταῖς ἐσχάταις περιβάλλει βλασφημίαις καὶ λόγοις ἀπερρωγόσι καὶ παραδείγμασι παντελῶς ἀποστατοῦσι χρώμενος. ἐγὼ δὲ καὶ τοῦτο πρὸ τῶν ἐξητασμένων ἠξίουν μαθεῖν, τίνων ἀπερρώγασιν οἱ ἡμέτεροι λόγοι καὶ τίνος ἀποστατεῖ τὰ παρ' ἡμῶν παραδείγματα, οὐ πάντως τοῦ μαθεῖν ταῦτα δεόμενος ἀλλ' ἢ δεῖξαι τὸ συρφετῶδες τῶν ῥημάτων τοῦ λογογράφου καὶ ἀκριτόμυθον, οἷς περικτυπῶν τὰ ἐν ἀνδράσι γραΐδια καὶ τῷ στόμφῳ τῶν λεξειδίων ἐν ταῖς ἀκοαῖς τῶν ταῦτα θαυμαζόντων καλλωπιζόμενος στήλην καθ' ἑαυτοῦ τὸν λόγον
361 τοῦτον τοῖς πεπαιδευμένοις προτιθεὶς οὐ συνίησιν. ἀλλ' οὐδὲν

MCT 3 συμπερασθέντος CT v 5 τὰ del Wilamowitz σχετλιάσας M 11 γεγενημένη v: γινομένη CT γενομένη M ἀλλά suppl Hoerner 15 κατασκευάζεται τῇ οὐσίᾳ v 16 τὸν αὐτὸν v αὐτὸν om M 17 καὶ ante μεταβαίνων add C 19-20 verba ἀπερρωγόσι usque ad 22 τίνων om v 23 τίνος MCT: τινας v 24 τοῦ om T 29 τοῦτον om v

τοῦτο πρὸς τὸν σκοπὸν τὸν ἡμέτερον. εἴθε γὰρ μέχρι τούτων ἦν κατ' αὐτοῦ τὰ ἐγκλήματα καὶ μηδὲν περὶ τὴν πίστιν ἐξαμαρτάνων περὶ μόνην τὴν τοῦ λόγου προφορὰν πλημμελεῖν ἐνομίζετο, ὡς ἀντ' οὐδενὸς ἂν ἦν αὐτῷ πρὸς ἔπαινον
362 ἢ διαβολὴν τὸ οὕτως ἢ ὡς ἑτέρως τὴν λέξιν ἔχειν. ἡ δ' οὖν ἀκολουθία τῶν παρ' αὐτοῦ καθ' ἡμῶν εἰρημένων καὶ τοῦτο προστίθησιν. ἐπὶ τοῦ σίτου, φησί, καὶ τοῦ κυρίου διαφόρως γυμνάσας τὰς ἐπινοίας παραπλησίως καὶ τὴν ἁγιωτάτην οὐσίαν τοῦ θεοῦ διαφόρως δέχεσθαι τὰς ἐπινοίας φησί. τοῦτό ἐστι τὸ χαλεπώτατον τῶν ἐγκλημάτων καὶ ἐπὶ τούτῳ τὰ βαρέα καθ' ἡμῶν ἐκεῖνα προετραγῴδησε, δυσσέβειαν καὶ ἀτοπίαν καὶ πάντα τὰ τοιαῦτα τοῖς εἰρημένοις ἐπικαλῶν. τίς οὖν ἡ
363 τῆς ἀσεβείας ἀπόδειξις; εἶπεν ὁ Εὐνόμιός τινα περὶ τοῦ σίτου, τὰ κοινὰ ταῦτα καὶ πᾶσιν ἐκ τοῦ προχείρου γνώριμα διευκρινούμενος, ὅπως τε γίνεται καὶ ὅπως τελειωθεὶς διὰ τοῦ καρποῦ τρέφει, φυσικαῖς τισι δυνάμεσι φυόμενός τε καὶ αὔξων καὶ διοικούμενος· καὶ ταῦτα εἰπὼν καὶ τὸν μονογενῆ θεὸν οὐδὲν ἀπεικὸς εἶναί φησι διαφόρους
1033 M. δέχεσθαι τὰς ἐπινοίας διά τε τὰς ἑτερότητας τῶν ἐνεργειῶν καὶ ἀναλογίας τινὰς καὶ σχέσεις. ταῦτα γὰρ κατακόρως ἐπ' αὐτοῦ διαθρυλεῖ τὰ ὀνόματα. ἀλλὰ πῶς, φησίν, οὐκ ἄτοπον, ἀθέμιτον δὲ μᾶλλον, τούτοις παραβάλλειν τὸν ἀγέννητον;
364 τίσι τούτοις; τῷ σίτῳ, φησί, καὶ τῷ μονογενεῖ θεῷ. ὁρᾷς τὴν εὐλάβειαν; ἴσον ἀπέχειν τῆς ἀξίας τοῦ ἀγεννήτου θεοῦ κατασκευάζει τὸν βραχὺν σῖτον καὶ τὸν μονογενῆ θεόν. καὶ ὅτι οὐ συκοφαντοῦμεν τὸν λόγον, παρ' αὐτῶν ἔστι τῶν γεγραμμένων μαθεῖν αὐτοῦ τὴν διάνοιαν. πῶς γάρ, φησίν, οὐκ ἄτοπον, ἀθέμιτον δὲ μᾶλλον, τούτοις πα-

MCT 3 τοῦ λόγου τὴν προφορὰν v 6 εἰρημένων om v 14 verba a τινα usque ad 18 διοικούμενος falso Oehler Eunomio tamquam orationem rectam dedit 19 οὐδὲν om T 20 τὰς ante ἐπινοίας om v ἐπινοίας διά τε τὰς ἐννοίας διά τε τὰς ἑτερότητας v 23 φησὶν om M 24 τὸν: τὸ T 26 εὐλάβειαν: εὐσέβειαν expectes cf 12 sed εὐλάβεια idem valet θεοῦ om T

ραβάλλειν τὸν ἀγέννητον; καὶ ταῦτα εἰπὼν ἐπάγει κατὰ τὸ ὁμότιμον τὸν περὶ τοῦ σίτου καὶ τοῦ κυρίου λόγον, ἴσον εἰς ἀτοπίαν κρίνων ἑνὶ τούτων παραβάλλειν τὸν θεόν.
365 παντὶ δὲ γνώριμον πάντως τὸ τοιοῦτόν ἐστιν, ὅτι τὰ ἴσῳ τῷ μέτρῳ τινὸς ἀφεστηκότα καὶ αὐτὰ πρὸς ἄλληλα τὸ ἴσον ἔχει· ὥστε κατὰ τὸν σοφὸν θεολόγον ὁ τῶν αἰώνων ποιητὴς καὶ πάσης περιδεδραγμένος τῶν ὄντων <τῆς> φύσεως ἰσοστάσιος ἀνεδείχθη τῷ βραχυτάτῳ σπέρματι, εἴπερ ἐπίσης ἀπολείπεται τῆς πρὸς τὸν θεὸν συγκρίσεως καὶ αὐτὸς καὶ ὁ σῖτος.
366 Ἀλλ' ἡ μὲν ἀσέβεια τοῦ λόγου τοσαύτη. καιρὸς δ' ἂν εἴη καὶ αὐτὴν ἐξετάσαι τὴν εἰς τὴν βλασφημίαν κατασκευήν, ἐν τίνι πρὸς ἑαυτὴν τῷ λόγῳ δι' ἀκολουθίας συνήρτηται. εἰπὼν γὰρ ἄτοπον εἶναι τῷ σίτῳ καὶ τῷ Χριστῷ τὸν θεὸν παραβάλλειν περὶ τοῦ σίτου φησὶν ὅτι οὐκ ἔστιν ὁ θεὸς καθ' ὁμοιότητα τούτων πρὸς μεταβολὴν ἐπιτήδειος, περὶ δὲ τοῦ μονογενοῦς τὸ μὴ εἶναι αὐτὸν πρὸς μεταβολὴν ἐπιτήδειον σιωπήσας καὶ διὰ τούτου σαφῶς ἐνδειξάμενος τὸ ταπεινὸν τῆς ἀξίας, ἐν τῷ μὴ δεῖν αὐτὸν ὡς καὶ τὸν σῖτον τῷ θεῷ συγκρίνειν ἀφῆκε τὸν λόγον μετέωρον, οὐδενὶ ἄλλῳ λογισμῷ κατασκευάσας ἐν τῷ μέρει τούτῳ τὸ πρὸς τὸν πατέρα τοῦ υἱοῦ ἀπαράθετον, ὡς ἱκανῶν ὄντων τῶν περὶ τὸν κόκκον θεωρηθέντων καὶ τοῦ υἱοῦ τὴν πρὸς τὸν πατέρα
367 κατὰ τὸ ταπεινότερον παραλλαγὴν συνενδείξασθαι. ἀλλὰ περὶ τῆς ἀφθαρσίας τοῦ πατρὸς διαλέγεται ὡς οὐκ ἐξ ἐνεργείας προσούσης αὐτῷ. ἐγὼ δὲ εἰ μὲν ἐνέργειά τίς ἐστιν ἡ ὄντως ζωὴ ἑαυτὴν ἐνεργοῦσα καὶ εἰ ταὐτόν ἐστι τῷ σημαινομένῳ τό τε ἀεὶ ζῆν καὶ τὸ μηδέποτε εἰς φθορὰν διαλύεσθαι οὔπω τῷ λόγῳ προστίθημι,
368 ἀλλὰ τοῖς ἰδίοις ταμιεύσομαι τόποις. ὅτι μέντοι μία <ἡ> τῆς ἀφθαρσίας ἐστὶ διάνοια ὡσαύτως ἐπί τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ νοουμένη καὶ κατ' οὐδὲν τὸ τοῦ πατρὸς ἄφθαρτον

MCT 3 ἀτοπίαν: ἀπίσας (sic) M 5 τῷ om v 7 τῆς supplevi 19 ὡς om M 20 μονογενεῖ ante θεῷ add M 30 ἡ addidi cf p 37, 20,

τῆς ἀφθαρσίας τοῦ υἱοῦ παραλλάσσει, οὔτε ὑφέσει τινὶ καὶ
ἐπιτάσει οὔτε τινὶ ἄλλῳ διαφορᾶς τρόπῳ τῆς κατὰ τὴν
ἀφθαρσίαν παραλλαγῆς εὑρισκομένης, τοῦτο καὶ νῦν φημι
εὔκαιρον εἶναι καὶ ἀεὶ λέγειν, ὡς ἂν μηδεμίαν ἔχοι διὰ
τούτου χώραν ὁ λόγος αὐτῷ τῇ κατὰ τὴν ἀφθαρσίαν ἐννοίᾳ
τῷ πατρὶ προσμαρτυρῶν τὸ πρὸς τὸν υἱὸν ἀκοινώνητον.
369 ὡς γὰρ περὶ τὸν πατέρα ἡ ἀφθαρσία καταλαμβάνεται,
οὕτως καὶ ἐπὶ τοῦ μονογενοῦς εἶναι οὐκ ἀμφιβάλλεται. τὸ
γὰρ τῆς φθορᾶς ἀπαράδεκτον, ὅπερ ἀφθαρσία καὶ ἔστι καὶ
λέγεται, ἴσον μᾶλλον δὲ τὸν αὐτὸν ἔχει λόγον ἐφ' οὗπερ
1036 M. ἂν λέγηται. τί οὖν μαθὼν μόνῳ προσμαρτυρεῖ τῷ ἀγεν-
νήτῳ θεῷ τὸ μὴ ἐξ ἐνεργείας εἶναι τὴν ἀφθαρσίαν αὐτῷ,
ὡς διὰ τούτου τὴν κατὰ τοῦ μονογενοῦς παραλλαγὴν τοῦ
370 πατρὸς δεικνύων; εἰ μὲν γὰρ φθαρτὸν ὑποτίθεται τὸν
κτιστὸν ἑαυτοῦ θεόν, καλῶς τῇ τοῦ φθαρτοῦ πρὸς τὸ
ἄφθαρτον διαφορᾷ τὴν κατὰ φύσιν παραλλαγὴν ἀποδείκνυσιν·
εἰ δὲ ἀνεπίδεκτος φθορᾶς ὡσαύτως ἑκάτερος καὶ οὔτε τὸ
μᾶλλον οὔτε τὸ ἧττον ἐν τῇ κατὰ φύσιν ἀφθαρσίᾳ κατα-
λαμβάνεται, πῶς δείκνυσι τοῦ πατρὸς πρὸς τὸν μονογενῆ
υἱὸν τὸ ἀσύγκριτον; ἢ τί βούλεται τὸ μὴ ἐξ ἐνεργείας
προσμαρτυρεῖσθαι τῷ πατρὶ τὸ ἄφθαρτον;
371 Ἀλλ' ἐκκαλύπτει τὸν σκοπὸν τῷ μετὰ ταῦτα λόγῳ.
οὐκ ἐξ ἐνεργειῶν, φησίν, ἄφθαρτός ἐστιν καὶ
ἀγέννητος ὡς πατήρ τε καὶ δημιουργός. τούτῳ
μοι προσέχειν μάλιστα τὸν ἀκροατὴν ἀξιῶ. πῶς ταὐτὸν
οἴεται τῶν δύο τούτων ὀνομάτων τὸ σημαινόμενον, τῆς
δημιουργίας λέγω καὶ τῆς πατρότητος; ἐνέργειαν γὰρ εἶναι
τούτων ἑκάτερον ἐπίσης ὁρίζεται σαφῶς οὕτω διαγορεύων
τῷ λόγῳ, ὅτι ἄφθαρτος μὲν οὐκ ἐνεργείᾳ ἐστί, πατὴρ δὲ
372 καὶ δημιουργὸς ἐξ ἐνεργειῶν ὀνομάζεται. εἰ τοίνυν ταὐτόν
ἐστι πατέρα τε καὶ δημιουργὸν αὐτὸν λέγεσθαι, τῷ τὴν

11 μαθὼν] cf Plat Apol 36B, Prot 353 D, Ar Ach 826, Plut 908

MCT 2 διαφορᾶς correxi: διαφθορᾶς 4 ἔχοι sed χοι in ras T 8 ἐπὶ: ἔστι v 9 ὅπερ καὶ ἀφθαρσία ἐστὶ M 11 μαθὼν CT v: παθὼν M 12 αὐτῷ: αὐτοῦ v 13-14 τοῦ ante πατρὸς om v 16 κατὰ τὴν φύσιν v 24 πατὴρ δὲ καὶ v 29 ἐνέργειά ἐστι CT

ἐνέργειαν ἀμφοτέρων αὐτῷ γίνεσθαι τῶν ὀνομάτων αἰτίαν,
ἀνάγκη πᾶσα καὶ τὰ τῶν ἐνεργειῶν ἀποτελέσματα ὁμογενῶς
ἔχειν ἀλλήλοις κατ' αὐτὸ τὸ ἐξ ἐνεργείας ὁμοίως εἶναι.
τοῦτο δὲ πρὸς ποῖον βλασφημίας πέρας διὰ τῆς ἀκολου-
θίας ἐκφέρεται, παντὶ δῆλόν ἐστι τῷ ἐπισταμένῳ βλέπειν
πρὸς τὸ ἀκόλουθον. ἐγὼ δ' ὅσα περὶ τούτων λογίζομαι,
βούλομαι προσθεῖναι τῇ συνεξετάσει τῶν λόγων. οὐκ ἔστιν
ἐνέργειαν ἀπεργαστικήν τινος πράγματος αὐτὴν ἐφ' ἑαυτῆς
συστῆναι, μή τινος ὑποδεχομένου τῆς ἐνεργείας τὴν κίνη-
σιν, οἷον ἐνεργεῖν τί φαμεν τὸν χαλκεύοντα, ἐνεργεῖσθαι δὲ
373 τὴν ἐκκειμένην ὕλην τῇ τέχνῃ. οὐκοῦν ἀναγκαίως ἔχει
σχέσιν τινὰ ταῦτα πρὸς ἄλληλα, ἡ ἐνεργητικὴ καὶ ἡ παθη-
τικὴ δύναμις, ὧν εἰ χωρισθείη τῷ λόγῳ τὸ ἕτερον, οὐκ
ἂν ἐφ' ἑαυτοῦ συσταίη καὶ τὸ λειπόμενον. εἰ γὰρ μὴ τὸ
πάσχον εἴη, τὸ ἐνεργοῦν οὐκ ἔσται. τί οὖν ἐκ τούτου κατα-
σκευάζεται; εἰ οὐ συνίσταται καθ' ἑαυτὴν ἡ ἐνέργεια ἡ
ἀποτελεστική τινος πράγματος, μὴ ὑποκειμένου τοῦ πάσχον-
τος, ὁ πατὴρ δέ, καθὼς οὗτοί φασιν, οὐδὲν ἕτερόν ἐστιν ἢ
ἐνέργεια, παθητὸς ἄρα διὰ τούτων ὁ μονογενὴς υἱὸς ἀπο-
δείκνυται πρὸς τὴν κίνησιν τῆς ὑφιστώσης αὐτὸν ἐνεργείας
374 τυπούμενος. ὡς γὰρ τὸν τοῦ παντὸς δημιουργόν φαμεν
παθητικήν τινα καὶ εὔεικτον ὕλην ὑποβαλόμενον ἐνεργὸν
ἑαυτοῦ τὴν δημιουργικὴν οὐσίαν ποιῆσαι, ἐπὶ μὲν τῶν αἰσθη-
τῶν τὰς ποικίλας τε καὶ πολυειδεῖς τῷ ὑποκειμένῳ ποι-
ότητας πρὸς τὴν ἑκάστου τῶν γινομένων ἀπεργασίαν τεχνι-
κῶς ἐπιβάλλοντα, ἐπὶ δὲ τῶν νοητῶν ἕτερον τρόπον οὐχὶ
ποιότησιν, ἀλλὰ προαιρετικαῖς ὁρμαῖς διαμορφοῦντα τὸ ὑπο-

MCT 3 ἀλλήλοις ἔχειν M 8 αὐτὴν: ἑαυτὴν M 10 τί om M 11 ἐκκειμένην CT: ἐγκειμένην M v ἐκκ. scil πρὸς ἐργασίαν 12 σχέσιν τινὰ M: τινὰ σχέσιν v τινὰ om CT 14-15 τὸ μὴ πάσχον M 16 ἡ ante ἐνέργεια om sed sscr T 22 παθητικήν plene scriptum codices praebent, recte ut videtur cf 12-13 παθητικὴ δύναμις, 336, 3 παθητικὴν . . . ὕλην, sed παθητὸς ὁ μονογενής, παθητὴ ἡ οὐσία τοῦ μονογενοῦς cf 19; 336, 6-7; 12-13; 17; 19 (παθητικός opp ἐνεργητικός vel ποιητικός, παθητός opp ἀπαθής) ὑποβαλλό-μενον M v 24 τῶν ὑποκειμένων M 26-27 οὐχὶ ποιότησιν om CT

κείμενον, οὕτως ἐξ ἀνάγκης εἰ ἐνέργειάν τις ὁρίζοιτο τὴν
πατρότητα, οὐκ ἄλλως ἀποδείξει τοῦ υἱοῦ τὴν ὑπόστασιν,
375 μὴ κατά τινα παθητικὴν πάντως ἀπεργασθεῖσαν ὕλην. εἰ
γὰρ ἀπαθὴς νομισθείη, ἀντίτυπος πάντως ἡ ἀπάθεια τῷ
1037 M. ἐνεργοῦντι γενήσεται, κωλυομένης δὲ τῆς ἐνεργείας οὐκ
ἔσται πάντως τὸ ἐνεργούμενον. ὡς δυοῖν θάτερον, ἢ παθη-
τὴν διὰ τούτων τοῦ μονογενοῦς τὴν οὐσίαν ποιήσουσιν, ἵνα
τὴν ἐνέργειαν δέξηται, ἢ τοῦτο διὰ τὸ προφανὲς τῆς ἀσε-
βείας ὀκνοῦντες τὸ μηδὲ ὅλως αὐτὴν εἶναι κατασκευάσουσιν.
376 ὃ γὰρ παθεῖν ἀποπέφυκεν, οὐδὲ τὴν ποιητικὴν ἐνέργειαν
ὑφ' ἑαυτοῦ πάντως προσίεται. ὁ τοίνυν ἐνεργείας τινὸς
ἀποτέλεσμα τὸν υἱὸν ὀνομάζων ἕν τι καὶ τοῦτον τῶν παθη-
τῶν διορίζεται ὅσα δι' ἐνεργείας ἔσχε τὴν πρόοδον, ἢ εἴπερ
ἀρνοῖτο τὸ πάθος, καὶ τὴν ὑπόστασιν αὐτοῦ μετὰ τοῦ
πάθους ἀρνήσεται. ἀλλ' ἐπειδὴ καθ' ἑκάτερον τῶν κατὰ
τὸ διλήμματον προφαινομένων σαφὴς ἡ ἀσέβεια καὶ τὸ μὴ
εἶναι λέγειν καὶ τὸ παθητὸν αὐτὸν οἴεσθαι, πρόδηλος ἡ
377 ἀλήθεια διὰ τῆς τῶν ἀτόπων ἀναιρέσεως ἀναφαινομένη. εἰ
γὰρ καὶ ἀληθῶς ἔστι καὶ παθητὸς οὐκ ἔστι, δῆλον ὅτι
οὐκ ἐξ ἐνεργείας ἐστίν, ἀλλ' ὡς εἰκὸς ἀληθινὸν εἶναι θεὸν
ἐκ τοῦ ἀληθινοῦ θεοῦ τοῦ πατρὸς ἀπαθῶς ἐξ ἀϊδίου ἀπαυ-
γασθέντα τε καὶ ἐκλάμψαντα. ἀλλὰ κατ' αὐτὴν τὴν
οὐσίαν, φησίν, ἄφθαρτός ἐστιν ὁ θεός. τί δὲ ἄλλο
τῶν θεοπρεπῶν νοημάτων οὐκ αὐτῆς ἔχεται τοῦ υἱοῦ τῆς
οὐσίας, τὸ δίκαιον, τὸ ἀγαθόν, τὸ ἀΐδιον, τὸ τοῦ κακοῦ
παντὸς ἀνεπίδεκτον, τὸ ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν νοου-
378 μένῳ ἀπεριόριστον; ἆρά τίς ἐστιν ὁ λέγων ἐπίκτητόν τι
τῶν καλῶν εἶναι τῇ θείᾳ φύσει καὶ οὐ πᾶν ὅτιπέρ ἐστι
καλὸν ἐκεῖθέν τε ἀφορμᾶσθαι καὶ ἐν αὐτῇ θεωρεῖσθαι,
οὕτω τοῦ προφήτου λέγοντος Ὅτι εἴ τι καλόν, αὐτοῦ, καὶ

30 Zach 9, 17

MCT 2 οὐκ ἄλλως: οὐ καλῶς C 3 εἰ ante μὴ add v παθητὴν v 9 κατασκευάζουσιν v 12 ὀνομάζων: διορίζων v 16 σαφὴς om v 25-26 τοῦ παντὸς κακοῦ T

εἴ τι ἀγαθόν, παρ' αὐτοῦ ἐστι; συνάπτει δὲ τούτῳ τὸ καὶ
379 ἀγέννητον κατ' οὐσίαν εἶναι. ἐγὼ δέ, εἰ μὲν οὕτω
νοῶν τοῦτο λέγει, ὅτι ἀγεννήτως ἔστι τοῦ πατρὸς ἡ οὐσία,
συντίθεμαι τῷ λεγομένῳ καὶ οὐκ ἀντιβαίνω τῷ δόγματι·
οὐδὲ γάρ τις ὅλως τῶν εὐσεβούντων γεννητὸν εἶναι τὸν
πατέρα τοῦ μονογενοῦς ὑποτίθεται· εἰ δὲ τοῦτο μὲν ἐνδεί-
κνυται κατὰ τὸ σχῆμα τοῦ λόγου, κατασκευάζει δὲ τὸ
αὐτὴν τὴν ἀγεννησίαν οὐσίαν εἶναι, τοῦτό φημι δεῖν
μὴ παραδραμεῖν ἀνεξέταστον, ὡς ἂν μὴ λάθοι τοὺς εὐεξα-
πατήτους πρὸς τὴν συγκατάθεσιν τῆς βλασφημίας ὑποποιού-
380 μενος. ὅτι τοίνυν ἄλλο τι τῆς ἀγεννησίας ἐστὶ τὸ νόημα
καὶ ἄλλος τῆς θείας οὐσίας ὁ λόγος, ἐξ αὐτῶν τῶν παρ'
αὐτοῦ λεγομένων ἐστὶν ὁ ἔλεγχος.

Κατ' αὐτήν, φησί, τὴν οὐσίαν ἄφθαρτός ἐστι
καὶ ἀγέννητος ἀμιγῆ καὶ καθαρὰν οὖσαν πάσης
ἑτερότητος καὶ διαφορᾶς. περὶ θεοῦ ταῦτα λέγει,
οὗ τὴν οὐσίαν ἀφθαρσίαν τε καὶ ἀγεννησίαν εἶναί φησι.
τρία τοίνυν ἐπὶ θεοῦ εἶπεν ὀνόματα, τὴν οὐσίαν, τὸ ἄ-
381 φθαρτον, τὸ ἀγέννητον. εἰ μία τῶν τριῶν τούτων ὀνομά-
των ἐπὶ τοῦ θεοῦ ἐστιν ἡ ἔννοια, ἡ θεότης ταῦτα τὰ τρία
πάντως ἐστίν· ὡς εἴ τις λέγοι τὸν ἄνθρωπον χαρακτηρίσαι
βουλόμενος λογικὸν αὐτὸν εἶναι γελαστικόν τε καὶ πλατυώ-
νυχον· ἐφ' ὧν, διὰ τὸ μηδεμίαν κατὰ τὴν φύσιν ἐν ἑκάστῳ
διαφορὰν εἶναι, ἰσοδυναμεῖν τε ἀλλήλοις τὰ ὀνόματα λέγομεν
καὶ ἓν εἶναι τῷ ὑποκειμένῳ τὰ τρία, τὴν ἀνθρωπότητα τὴν
382 διὰ τῶν ὀνομάτων τούτων ὑπογραφεῖσαν. εἰ τοίνυν τοῦτό
ἐστιν ἡ θεότης, ἡ ἀγεννησία τε καὶ ἡ ἀφθαρσία καὶ ἡ
οὐσία, κατὰ πᾶσαν ἀνάγκην ἐν τῇ τοῦ ἑνὸς τούτων ἀφαι-
1040 M. ρέσει † συναναιρεῖσθαι καὶ τὴν θεότητα. ὡς γὰρ τὸν
μὴ λογικὸν οὐδὲ γελαστικὸν προσείποι τις ἂν οὐδὲ ἄν-

MCT 3 ἀγέννητός ἐστι v 11 verba a τὸ νόημα usque ad 14 ἐστι om v νόημα: ὄνομα T 16 τοῦ ante θεοῦ add v fortasse recte 20 τοῦ ante θεοῦ om v 23 ἐφ' ὧν: ἐφ' ᾧ v (cf 338, 1) 26 τούτων om v 29 συναναιρεῖ v proclivi coniectura, malim 28 πᾶσα ἀνάγκη restituere quod nescio an Gregorius scribere voluerit 30 εἴποι v

θρωπον, οὕτως καὶ ἐπὶ τούτων τῶν τριῶν ὀνομάτων, τοῦ
τε ἀγεννήτου φημὶ καὶ τοῦ ἀφθάρτου καὶ τῆς οὐσίας, εἰ
διὰ τούτων ἡ θεότης χαρακτηρίζεται, ὅταν ἕν τι τῶν τριῶν
μὴ ὑπάρχῃ, διεγράφη πάντως τῷ λείποντι καὶ ὁ τῆς θεό-
383 τητος λόγος. οὐκοῦν ἀποκρινάσθω τίνα περὶ τοῦ μονο-
γενοῦς θεοῦ ἔχει τὴν δόξαν. γεννητὸν αὐτὸν ἢ ἀγέννητον
οἴεται; γεννητὸν ἐρεῖ πάντως, εἴπερ τοῖς ἰδίοις μὴ μάχοιτο.
εἰ οὖν ταὐτόν ἐστι τῷ ἀγεννήτῳ ἡ οὐσία τε καὶ τὸ ἄφθαρ-
τον, δι' ὧν ἡ θεότης γνωρίζεται, ᾧ μὴ πρόσεστι τὸ ἀγέν-
νητον, συναφῄρηται τούτου πάντως ἡ οὐσία τε καὶ τὸ ἄφθαρ-
τον, ὧν μὴ παρόντων καὶ ἡ θεότης κατὰ πᾶσαν ἀνάγκην
ἐξαιρεθήσεται. οὐκοῦν εἰς διπλοῦν πέρας τῆς κατὰ τὸ
384 βλάσφημον αὐτῶν ἀκολουθίας ὁ λόγος κατήντησεν. εἰ γὰρ
κατὰ τὸ αὐτὸ σημαινόμενον λέγεται ἐπὶ τοῦ θεοῦ ἡ οὐσία
τε καὶ ἡ ἀφθαρσία καὶ τὸ ἀγέννητον, σαφῶς ἀποδείκνυται
ὁ καινὸς οὗτος θεοποιὸς τὸν παρ' αὐτοῦ κτισθέντα υἱὸν
φθαρτόν τε γινώσκων διὰ τὸ μὴ γινώσκειν ἀγέννητον, καὶ
οὐ τοῦτο μόνον, ἀλλὰ καὶ παντελῶς ἀνυπόστατον διὰ τὸ μὴ
δύνασθαι αὐτὸν ἐν θεότητι βλέπειν, ᾧ οὐκ ἐνθεωρεῖται τὸ
ἀγέννητόν τε καὶ ἄφθαρτον, εἴπερ ταὐτὸν τὸ ἀγέννητόν τε
385 καὶ ἄφθαρτον τῇ οὐσίᾳ οἴεται. ἀλλ' ἐπειδὴ πρόδηλος ἐν
τούτοις ἐστὶν ἡ ἀπώλεια, συμβουλευσάτω τις τοῖς δειλαίοις
ἐπὶ τὸ λειπόμενον τραπῆναι τῷ λόγῳ καὶ μὴ ζυγομαχεῖν
ἐκ τοῦ προδήλου πρὸς τὴν ἀλήθειαν, ἀλλὰ συντίθεσθαι
ἴδιον ἑκάστου τούτων εἶναι τῶν ὀνομάτων τὸ σημαινόμενον,
ὅπερ μᾶλλον ἄν τις διὰ τῶν ἀντιδιαστελλομένων νοήσειε.
386 τό τε γὰρ ἀγέννητον τῇ πρὸς τὸ γεννητὸν ἀντιδιαστολῇ
ἐξευρίσκομεν καὶ τὸ ἄφθαρτον τῇ πρὸς τὸ φθαρτὸν παρα-
θέσει γνωρίζεται καὶ ἡ οὐσία τῇ πρὸς τὸ ἀνυπόστατον
παραλλαγῇ θεωρεῖται. ὡς γὰρ ὃ μὴ ἐγεννήθη ἀγέννητον
λέγεται καὶ ὃ μὴ φθείρεται ἄφθαρτον, οὕτως καὶ τὸ μὴ
ἀνύπαρκτον οὐσίαν κατονομάζομεν, καὶ τὸ ἔμπαλιν ὡς τὸ

MCT 14 κατὰ τοῦ αὐτοῦ σημαινομένου v 15 τε καὶ ἡ ἀφθαρσία om T ἀποδέδεικται v 20 τε καὶ ἄφθαρτον om v τε ante alt ἀγέννητον om T 21 ἀλλ' ἐπειδὴ: ἐπεὶ δὲ v

γεννητὸν οὐκ ἀγέννητον λέγομεν καὶ τὸ φθαρτὸν οὐκ
ἄφθαρτον ὀνομάζομεν, οὕτω καὶ τὴν οὐσίαν ἀνύπαρκτον
εἶναι οὐ λέγομεν. οὐκοῦν οὐσία μὲν ἐν τῷ εἶναί τι κατα-
νοεῖται, τὸ δὲ φθαρτὸν ἢ τὸ ἄφθαρτον ἐν τῷ ποδαπὸν εἶναι,
τὸ δὲ γεννητὸν ἢ ἀγέννητον ἐν τῷ πῶς εἶναι. ἄλλος οὖν
ὁ τοῦ εἶναι λόγος καὶ ἕτερος ὁ τὸ πῶς ἢ τὸ ποῖον δι' ἑαυτοῦ
σαφηνίζων.

387 Καί μοι δοκεῖ καλῶς ἔχειν ὑπερβάντι τὴν διὰ μέσου
ναυτίαν (οὕτω γὰρ οἶμαι χρῆναι τὰς ἀνοήτους αὐτοῦ κατὰ
τῆς ἐπινοίας ἐπιχειρήσεις κατονομάζειν) τῷ προκειμένῳ
ἡμῖν ἐμφιλοχωρῆσαι νοήματι. τὰ γὰρ ὅσα πρὸς ἀνατροπὴν
τῶν περὶ τῆς ἐπινοίας τῷ διδασκάλῳ τεθεωρημένων ὑπὸ
τοῦ λογογράφου καθάπερ τις χυμὸς φλεγματώδης ἐξήμεσται,
τοιαῦτά ἐστιν ὡς μηδένα κίνδυνον παρέχειν τοῖς ἐντυγχά-
νουσι, κἂν σφόδρα τις ἠλίθιος ὢν καὶ εὐπαράγωγος τύχῃ.
388 τίς γὰρ οὕτως ἔξω διανοίας ἐστὶν ὥστε τὰ ὑποδειγματικῶς
περὶ τοῦ σίτου παρὰ τοῦ διδασκάλου τεθέντα, δι' ὧν οἱονεὶ
τέχνην τινὰ καὶ ἔφοδον πρὸς τὴν τῶν ὑψηλῶν θεωρίαν τῷ
ἀκροατῇ ὑπετίθετο, ταῦτα ψιλῶς τοῦ Εὐνομίου τοῖς περὶ
τῆς οὐσίας τοῦ θεοῦ τῶν ὅλων ἐφαρμόζοντος λόγοις οἰηθῆναί
τι λέγειν αὐτὸν καὶ μετά τινος ἀγχινοίας κατὰ τῆς ἀλη-
389 θείας τεχνάζεσθαι; τὸ γὰρ φάσκειν αὐτὸν πρεπωδεστάτην
1041 M. αἰτίαν ἐπὶ τοῦ θεοῦ τοῦ γεννῆσαι τὸν υἱὸν εἶναι τὴν ἀδέσποτον
ἐξουσίαν καὶ τὴν ἀνυπέρβλητον δύναμιν, ὅπερ οὐ περὶ τοῦ
κόσμου μόνον καὶ τῶν ἐν αὐτῷ στοιχείων, ἀλλὰ καὶ περὶ
τῶν ἑρπετῶν καὶ θηρίων ἔστιν εἰπεῖν, καὶ τοῦτο ὡς πρέπον
ἐπὶ τῆς τοῦ μονογενοῦς θεοῦ ὑπολήψεως τὸν σεμνὸν θεο-
λόγον ἐκτίθεσθαι, ἢ τὸ λέγειν καὶ πρὸ τῆς τῶν ὀνομαζόν-
των γενέσεως ἀγέννητον ἢ πατέρα ἢ τὰ λοιπὰ τῶν ὀνομά-
των προσαγορεύεσθαι τὸν θεόν, καθάπερ δεδιότα μὴ τοῦ

MCT 2 verba ab οὕτω usque ad 3 λέγομεν om v 3 οὖν in οὐκοῦν sscr M 4 φθαρτὸν Diekamp: ἀγαθὸν libri v ἄφθαρτον: φθαρτὸν T v 5 τὸ δὲ γεννητὸν — εἶναι om v γεννητὸν καὶ ἀγέννητον M οὖν om T 26 πρέπον in marg add T alt man 28-29 καὶ πρὸ τῆς τῶν ὀνομάτων γεννήσεως v

ὀνόματος παρὰ τοῖς μήπω γεγονόσι σιωπηθέντος ἑαυτὸν
ἀγνοήσειεν ἢ εἰς λήθην ἑαυτοῦ πέσοι τῇ σιωπῇ τοῦ ὀνό-
ματος ὅ ἐστιν ἀγνοήσας, ἥ τε χλευαστικὴ τῶν ἡμετέρων
λόγων καταδρομή, ὅσον τὸ δριμύ τε καὶ ἀγχίνουν ἔχει· δι'
ὧν κατασκευάζει τὸ ἄτοπον, ὅτι ὁ πρὸ πάντων αἰώνων καὶ
χρόνων καὶ πάσης αἰσθητῆς τε καὶ νοητῆς φύσεως γεγονὼς
πατήρ πως περιμένει τοὺς ἀνθρώπους, ἵνα διὰ τῆς τούτων
ὀνομασθῇ ἐπινοίας.
390 Οὐκ ὀνομαζόμενος, ὥς φησιν ἐκεῖνος, οὔτε ὑπὸ
τοῦ υἱοῦ οὔτε ὑπὸ τῶν δι' ἐκείνου γενομένων νοη-
τῶν οὐσιῶν. οὐδένα γὰρ οὕτως οἶμαι κορύζης εἶναι
βαθείας μεστὸν ὡς ἀγνοεῖν ὅτι ὁ μονογενὴς υἱὸς ὁ ἐν τῷ
πατρὶ ὢν καὶ ἐν ἑαυτῷ τὸν πατέρα βλέπων ὀνόματος ἢ
ῥήματος πρὸς τὴν τοῦ ὑποκειμένου γνῶσιν οὐκ ἐπιδέεται,
οὔτε τὸ πνεῦμα τὸ ἅγιον τὸ τὰ τοῦ θεοῦ βάθη διερευνώ-
μενον διὰ τῆς ὀνομαστικῆς προσηγορίας πρὸς τὴν τοῦ ζητου-
μένου γνῶσιν ἐνάγεται, οὔτε ἡ ἀσώματος τῶν ὑπερκοσμίων
δυνάμεων φύσις φωνῇ καὶ γλώττῃ κατονομάζει τὸ θεῖον.
391 ἐπὶ γὰρ τῆς ἀΰλου καὶ νοερᾶς φύσεως ἡ κατὰ τὸν νοῦν
ἐνέργεια λόγος ἐστὶν οὐδὲν τῇ ὑλικῇ τῶν ὀργάνων ὑπηρεσίᾳ
συγχρώμενος. καὶ γὰρ ἐπὶ τῆς ἀνθρωπίνης φύσεως οὐδὲν
ἂν ἐδέησεν ἡμῖν τῆς τῶν ῥημάτων καὶ ὀνομάτων χρήσεως,
εἰ δυνατὸν ἦν γυμνὰ προδεικνύειν ἀλλήλοις τὰ τῆς διανοίας
κινήματα· νυνὶ δὲ τῶν ἐγγενομένων ἡμῖν νοημάτων διὰ τὸ
τῇ σαρκίνῃ περιβολῇ τὴν φύσιν ἡμῶν περιείργεσθαι φανε-
ρωθῆναι μὴ δυναμένων, ἀναγκαίως καθάπερ σημεῖα τοῖς
πράγμασι τὰς ποιὰς τῶν ὀνομάτων θέσεις ἐπιβάλλοντες δι'
392 ἐκείνων τὰς τοῦ νοῦ κινήσεις ἀλλήλοις δημοσιεύομεν. εἰ
δέ πως ἦν ἀπογυμνοῦν ἑτέρως τὰ τῆς διανοίας κινήματα,

12 Joh 14,20 et 16,15 15 I Cor 2,10

MCT 2 πέσῃ T 3 τε: δὲ v 9 ab οὐκ ὀνομαζόμενος novam sententiam incipere Eunomii verba continentem novi capitis initio significavi 10 γινομένων CT 12 μον. θεὸς v τῷ om v 13 αὐτῷ v 16 ὀνοματικῆς M 18 γλώσσῃ M 21 χρώμενος CT 22 ῥημάτων τε καὶ v 24 ἐγγινομένων v 27 ἐπιβαλόντες v

χαίρειν τὴν περιοδικὴν τῶν ῥημάτων ὑπηρεσίαν ἐάσαντες
τηλαυγέστερον ἂν καὶ καθαρώτερον ἀλλήλοις συνεγινόμεθα,
αὐτὴν τῶν πραγμάτων τὴν φύσιν περὶ ἣν ὁ νοῦς καταγίνεται
ταῖς τῆς διανοίας ὁρμαῖς ἐκκαλύπτοντες· νυνὶ δὲ τούτου
χάριν τῷ μέν τινι τῶν ὄντων ὄνομα οὐρανὸν ἐθέμεθα ἑτέρῳ
δὲ γῆν καὶ ἄλλῳ ἄλλο τι καὶ τὸ πρός τί πως ἔχειν ἢ τὸ
ἐνεργεῖν ἢ τὸ πάσχειν, πάντα ἰδιαζούσαις ἐπισημαινόμεθα
ταῖς φωναῖς, ὡς ἂν μὴ ἀκοινώνητός τε καὶ ἄγνωστος ἡ
393 τοῦ νοῦ κίνησις ἐν ἡμῖν μένοι. ἡ δὲ ὑπερκόσμιος ἐκείνη
καὶ ἄϋλος φύσις τῆς σωματικῆς περιοχῆς ἐλευθέρα οὖσα
καὶ ἄνετος οὔτε ἐφ' ἑαυτῆς οὔτε ἐπὶ τῆς ὑπερκειμένης
φύσεως ὀνομάτων δέεται ἢ ῥημάτων, ἀλλ' εἴ που καὶ μνη-
μονεύεται παρὰ τῆς νοερᾶς φύσεως λόγος τις ἐν ἱεραῖς
βίβλοις ἀνάγραπτος, ἡμῶν ἕνεκεν τῶν ἀκουόντων τὸ τοιοῦτον
1044 M. λέγεται τῶν ἀδυνατούντων ἄλλῳ τρόπῳ μαθεῖν τὸ δηλού-
394 μενον, μὴ διὰ φωνῶν καὶ ῥημάτων ἐξαγγελλόμενον. κἂν ὁ
Δαβὶδ ἐν πνεύματι λέγῃ τῷ κυρίῳ παρὰ τοῦ κυρίου τι
λέγεσθαι, Δαβὶδ ὁ λέγων ἐστὶν ὁ μὴ δυνάμενος ἑτέρως
ἡμῖν τὴν τοῦ νοηθέντος διδασκαλίαν ποιήσασθαι, εἰ μὴ διὰ
φωνῶν καὶ ῥημάτων τὴν ἐγγενομένην αὐτῷ θεόθεν τῶν
μυστηρίων κατανόησιν ἑρμηνεύσειε.
395 Πάντα τοίνυν τὰ κατὰ τῆς ἐπινοίας αὐτῷ φιλοσοφη-
θέντα ῥήματα παραδραμεῖν οἶμαι καλῶς ἔχειν, κἂν μανίαν
ἐπικαλῇ τοῖς τὸ τῆς θεότητος ὄνομα πρὸς δήλωσιν τῆς
ὑπερεχούσης φύσεως παρὰ ἀνθρώπων οἰομένοις δι' ἐπινοίας
λέγεσθαι. τί μὲν γὰρ οὗτος νοῶν διασύρειν οἴεται δεῖν τὴν
ἐπίνοιαν, ἐκ τῶν ἐκείνου πάρεστι λόγων τοὺς βουλομένους
διδάσκεσθαι· ἃ δὲ ἡμεῖς ὑπολαμβάνομεν περὶ τῆς τῶν ὀνο-
μάτων χρήσεως, ἐν τοῖς κατόπιν εἰρήκαμεν, ὅτι τῶν πραγ-

17 Ps 109,1

MCT 1 ῥημάτων: ὀνομάτων v 2 συνεγενόμ.θα v 3 τὴν τῶν πραγμάτων φύσιν v 11 οὔτε ἐφ' ἑαυτῆς om v 15 post ἀδυνατούντων add τούτων v 17 λέγει v 20 ἐγγινομένην M 24 ἐπικαλῇ η ex ει corr vid in rasura T 25 φύσεως: δυνάμεως v 28 ἃ: οἷα v

μάτων ἐχόντων ὡς ἔχει φύσεως τὰς ἑρμηνευτικὰς τῶν ὄν-
των φωνὰς ἡ <ἐν>τεθεῖσα παρὰ τοῦ θεοῦ τῇ φύσει ἡμῶν
396 λογικὴ δύναμις εὕρατο. ὧν εἰ μέν τις τὴν αἰτίαν εἰς τὸν
δεδωκότα τὴν δύναμιν ἀναφέροι, οὐδὲ ἡμεῖς ἀντιλέγομεν,
ὥσπερ καὶ τὸ κινεῖσθαι καὶ τὸ ὁρᾶν καὶ τὰ λοιπὰ διὰ
τῶν αἰσθήσεων ἐνεργεῖν παρ' ἐκείνου λέγομεν γίνεσθαι,
παρ' οὗ τὴν τοιαύτην ἐσχήκαμεν δύναμιν. οὕτως οὖν καὶ
τοῦ ὀνομάζειν τὸν θεὸν τὸν ὄντα κατὰ τὴν φύσιν ὅπερ ἐστὶν
ἡ μὲν αἰτία κατὰ τὸν κοινὸν λόγον εἰς αὐτὸν ἐκεῖνον τὴν
ἀναφορὰν ἔχει, ἡ δὲ ἐξουσία τοῦ τὰ νοηθέντα πάντα τοι-
ῶσδε ἢ ὡς ἑτέρως κατονομάζειν ἐν τῇ φύσει κεῖται· ἣν
εἴτε τις ἐπίνοιαν εἴτε ἄλλο τι βούλοιτο λέγειν, οὐ διοισόμεθα.
397 τεκμήριον δὲ τοῦ λόγου τοῦτο ποιούμεθα, τὸ μὴ παρὰ πᾶσιν
ὁμοίως τὸ θεῖον κατονομάζεσθαι, ἀλλὰ κατὰ τὸ δοκοῦν
ἑκάστοις τὸ νοηθὲν ἑρμηνεύεσθαι. οὐκοῦν πᾶσαν τὴν συρ-
φετώδη περὶ τῆς ἐπινοίας αὐτοῦ φλυαρίαν σιγήσαντες τῶν
δογμάτων ἑξόμεθα, τοσοῦτον μόνον παρασημηνάμενοι ἔκ
τινων τῶν κατὰ τὸ μέσον αὐτῷ τῆς κενοφωνίας παρεντε-
θέντων, ὅπου οἴεται τὸν θεὸν τοῖς πρωτοπλάστοις καθάπερ
τινὰ παιδαγωγὸν ἢ γραμματιστὴν παρακαθήμενον ῥημάτων
398 τε καὶ ὀνομάτων ὑφηγεῖσθαι διδασκαλίαν· ἐν οἷς φησιν
αὐτοὺς τοὺς πρώτους ὑπὸ τοῦ θεοῦ πλασθέν-
τας ἢ τοὺς προσεχῶς ἐξ ἐκείνων φύντας, εἰ μὴ
ἐδιδάχθησαν ὡς ἕκαστα τῶν πραγμάτων λέ-
γεταί τε καὶ ὀνομάζεται, ἀλογίᾳ καὶ ἀφωνίᾳ
συζῆν, καὶ οὐδὲν ἄν, φησίν, τῶν βιωφελῶν κατε-
πράξαντο, ἀδήλου τῆς ἑκάστου διανοίας ὑπαρ-
χούσης δι' ἀπορίαν τῶν σημαινόντων, ῥημά-
399 των δηλαδὴ καὶ ὀνομάτων. τοσαύτη <ἡ> παρα-
φροσύνη τοῦ λογογράφου, ὡς μὴ ἐξαρκεῖν ἡγεῖσθαι τὴν

MCT 2 τεθεῖσα libri v, correxi cf 343, 1 et 10 4 ἀναφέρει v οὐδὲ: οὔτε v 6 γίνεσθαι v, om MCT 8 τὸν ante θεὸν om M v 10 πάντα om M 11 ἢ: ἣν C ἔχει post ὡς ἑτέρως iterat M 17 μόνον: ἡμῖν v 20 προκαθήμενον CT v 25 ἀφ. κ. ἀλογίᾳ v 27 τῆς om v 29 ἡ addidi

ἐντεθεῖσαν τῇ φύσει παρὰ τοῦ θεοῦ δύναμιν πρὸς πᾶσαν
μέθοδον λογικῆς ἐνεργείας, ἀλλ' εἰ μὴ τὰ καθ' ἕκαστον
μάθοιεν, καθάπερ οἱ τὴν Ἑβραίων ἢ τὴν Ῥωμαίων φωνὴν
διὰ λέξεων διδασκόμενοι, ἀγνοεῖν τὰ πράγματα ὅ τι ἐστί,
μὴ τὸ πῦρ, μὴ τὸ ὕδωρ, μὴ τὸν ἀέρα, μὴ τὰ λοιπὰ τῶν
ὄντων ἐπιγινώσκοντας, εἰ μὴ διὰ τῶν ἐπικειμένων αὐτοῖς
400 ὀνομάτων τὴν περὶ τούτων γνῶσιν ἐκτήσαντο. ἡμεῖς δέ
φαμεν ὅτι ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας καὶ τὸ λογικὸν
1045 M. τοῦτο πλάσμα ζωοπλαστήσας μόνῳ τῷ ἐφεῖναι τῇ φύσει
401 τὸν λόγον πᾶσαν τὴν δύναμιν τὴν λογικὴν ἐναπέθετο. καὶ
ὥσπερ τὴν ἐν τοῖς αἰσθητηρίοις δύναμιν παρὰ τοῦ πλά-
σαντος τὸν ὀφθαλμὸν καὶ φυτεύσαντος τὴν ἀκοὴν ἐν τῇ
φύσει ἔχοντες ἀφ' ἑαυτῶν πρὸς ὃ πέφυκε τῶν αἰσθητηρίων
ἓν ἕκαστον, πρὸς τοῦτο κεχρήμεθα καὶ οὐ δεόμεθα οὔτε τοῦ
τὰ χρώματα κατονομάσαντος, ὧν ἡ ὅρασις τὴν ἀντίληψιν ἔχει
(ἀρκεῖ γὰρ ὁ ὀφθαλμὸς ἑαυτῷ γενέσθαι τῶν τοιούτων διδά-
σκαλος) οὔτε ὧν διὰ τῆς ἀκοῆς ἢ διὰ τῆς γεύσεως ἢ διὰ τῆς
ἁφῆς αἰσθανόμεθα ἀλλοτρίων πρὸς τὴν γνῶσιν διδασκάλων
δεόμεθα, οἴκοθεν ἔχοντες ἑκάστου τῶν κατ' αἴσθησιν ἐγγινο-
μένων ἡμῖν τὸ κριτήριον· οὕτω φαμὲν καὶ τὴν διανοητικὴν
τῆς ψυχῆς δύναμιν τοιαύτην παρὰ τοῦ θεοῦ γενομένην ἀφ'
ἑαυτῆς τὸ λοιπὸν κινεῖσθαι καὶ πρὸς τὰ πράγματα βλέπειν,
καὶ ὡς ἂν μηδεμίαν σύγχυσιν ἡ γνῶσις πάθοι, καθάπερ
σήμαντρά τινα τὰς διὰ τῶν φωνῶν ἐπισημειώσεις ἑκάστῳ
402 τῶν πραγμάτων ἐπιβάλλειν. πιστοῦται δὲ τὸ τοιοῦτον δόγμα
καὶ ὁ μέγας Μωϋσῆς εἰπὼν παρὰ τοῦ Ἀδὰμ ἐπιτεθεῖσθαι
τοῖς ἀλόγοις τῶν ζῴων τὰς ἐπωνυμίας, οὑτωσὶ γράψας τῷ
ῥήματι· Καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ
θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ
ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά· καὶ

28 Gen 2,19-20

MCT 2 τὰ om M 3 μάθοιεν correxi: μάθοι libri v τὴν τῶν Ἑβραίων v τὴν post ἢ CT: τῶν M v 7 τούτων: τούτου v 8 ὁ om T 13 παρ' αὐτῶν v 19 αἰσθησόμεθα v 26 εἶπον M

πᾶν ὃ ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ· καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ.

403 Ἀλλ' ἔοικε καθάπερ τις γλοιώδης πηλὸς καὶ ἐχέκολλος ὁ κατὰ τῆς ἐπινοίας αὐτῷ συντεθεὶς λῆρος παρακατέχειν ἡμᾶς καὶ μὴ ἐᾶν τῶν χρησιμωτέρων προσάψασθαι. πῶς γὰρ ἄν τις παραδράμοι τὴν σπουδαίαν ἐκείνην καὶ πεφροντισμένην φιλοσοφίαν, ἐν οἷς φησι μὴ μόνον τοῖς ποιήμασιν ἐμφαίνεσθαι τὴν τοῦ δημιουργοῦ μεγαλοπρέπειαν, ἀλλὰ καὶ τοῖς ὀνόμασι διαδείκνυσθαι τὴν τοῦ θεοῦ σοφίαν οἰκείως καὶ προσφυῶς ἑκάστῳ τῶν γενομένων τὰς προση-
404 γορίας ἁρμόσαντος; ταῦτα Κρατύλῳ τάχα τῷ Πλατωνικῷ διαλόγῳ ἢ αὐτὸς ἐντυχὼν ἤ τινος τῶν ἐντετυχηκότων ἀκούσας διὰ τὴν πολλήν, οἶμαι, πτωχείαν τῶν νοημάτων ἐρράπτει τοῖς ἰδίοις λήροις τὰς ἐκεῖ φλυαρίας, ὅμοιόν τι ποιῶν
405 τοῖς τὴν τροφὴν ἐκ προσαιτήσεως ἑαυτοῖς συναγείρουσιν. ὡς γὰρ ἐκεῖνοι βραχύ τι παρ' ἑκάστου τῶν ὀρεγόντων δεχόμενοι ἐκ ποικίλων τε καὶ πολυειδῶν τὴν τροφὴν ἑαυτοῖς ἐρανίζουσιν, οὕτω καὶ ὁ τοῦ Εὐνομίου λόγος διὰ τὴν τοῦ ἀληθινοῦ ἄρτου πενίαν τὰς πανταχόθεν ψίχας ῥημάτων τε καὶ ὀνομάτων τῷ ἰδίῳ συνερανίζει πόνῳ καὶ τούτου χάριν περικτυπηθεὶς τῇ καλλιφωνίᾳ τῆς Πλατωνικῆς λέξεως πρέπειν οἴεται δόγμα τῆς ἐκκλησίας τὴν ἐκείνου φιλοσοφίαν ποι-
406 ήσασθαι. πόσαις γάρ, εἰπέ μοι, φωναῖς κατὰ τὰς τῶν ἐθνῶν διαφορὰς ἡ τοῦ στερεώματος κατονομάζεται κτίσις; ἡμεῖς οὐρανὸν τοῦτο λέγομεν, σαμαεὶμ ὁ Ἑβραῖος, ὁ Ῥωμαῖος καίλουμ καὶ ἄλλως ὁ Σύρος ὁ Μῆδος ὁ Καππαδόκης
1048 M. ὁ Μαυρούσιος ὁ Θρᾷξ ὁ Αἰγύπτιος, οὐδὲ ἀριθμῆσαι ῥᾴδιον

13 de loco Cratyli Platonici Gregorius cogitare videtur velut Crat 390 D-E

MCT 2 θηρίοις τῆς γῆς καὶ post τοῖς add v 4 γελοιώδης C 9 θεοῦ v 10 κἀν M v 16 τι om CT v 22 νοημάτων v 23 πρέπον v 27 σαμαεὶμ CT: μαμαεὶμ M σαμαὶμ v 28 καίλουμ scripsi: κέλουμ vel κελούμ libri v

τὰς τῶν ὀνομάτων διαφοράς, ὅσαι κατὰ ἔθνος περί τε τοῦ οὐρανοῦ καὶ τῶν λοιπῶν πραγμάτων οὖσαι τυγχάνουσιν.
407 ποῖον οὖν, εἰπέ, τούτων τὸ προσφυές ἐστιν ὄνομα, ᾧ ἡ μεγαλοπρεπὴς σοφία τοῦ θεοῦ διαδείκνυται; ἂν τὸ Ἑλληνικὸν τῶν λοιπῶν προτιμήσῃς, ἀντιστήσεταί σοι τυχὸν ὁ Αἰγύπτιος τὸ ἑαυτοῦ προβαλλόμενος· κἂν τῷ Ἑβραϊκῷ τὰ πρωτεῖα νείμῃς, ἀντιπαρεξάγει ὁ Σύρος τὴν ἰδίαν φωνήν· οὐδὲ ὁ Ῥωμαῖος τούτοις τῶν πρωτείων ὑφήσεται καὶ ὁ Μῆδος οὐ δέξεται μὴ τὰ ἑαυτοῦ προτερεύειν καὶ ἐκ τῶν λοιπῶν ἐθνῶν ἕκαστος τὰ ἑαυτοῦ πρὸ τῶν ἄλλων ἀξιώσει
408 πρωτεύειν. τί οὖν οὐ πείσεται τὸ δόγμα πρὸς τοσαύτας φωνῶν διαφορὰς ὑπὸ τῶν ἀμφισβητούντων διασχιζόμενον; ἀλλ' ἐκ τούτων, φησί, καθάπερ νόμων ἐμφανῶς κειμένων δηλοῦται τὸ τὸν θεὸν ταῖς φύσεσι πρεπούσας καὶ καταλλήλους ποιεῖσθαι τὰς κλή-
409 σεις. ὢ τῆς μεγαλοφυΐας τοῦ δόγματος. οἵας ὑπολήψεις ταῖς θείαις διδασκαλίαις ὁ θεολόγος χαρίζεται, ὧν οὐδὲ τοῖς βαλανεῦσι φθονοῦσιν οἱ ἄνθρωποι. καὶ γὰρ ἐκείνοις συγχωροῦμεν ὀνοματοποιεῖν τὰς ἐνεργείας περὶ ἃς πονοῦντες τυγχάνουσι, καὶ οὐδεὶς αὐτοὺς ταῖς ἰσοθέοις τιμαῖς ἀπεσέμνυνεν, ὅτε ποδάνιπτρα καὶ ψιλέθειρα καὶ χειρόμακτρα καὶ τοιαῦτα πολλὰ τοῖς γινομένοις παρ' αὐτῶν ὀνόματα τίθενται, προσφυῶς δηλοῦντα τῇ ἐμφάσει τῶν ῥημάτων τὸ ὑποκείμενον.

410 Ἀλλὰ παραδραμοῦμαι καὶ ταῦτα καὶ τὴν Ἐπικούρειον αὐτῶν φυσιολογίαν <τὴν> ἐφεξῆς κειμένην, ἣν ἰσοδυναμεῖν τῇ ἐπινοίᾳ φήσει ὁ τὸ κενὸν καὶ ἄτομον καὶ τὰς τυχαίας τῶν ὄντων γενέσεις συγγενῶς ἔχειν λέγων πρὸς τὸ διὰ τῆς ἐπινοίας δηλούμενον. ὢ πῶς ἐνόησε τὸν Ἐπίκουρον. εἰ τὰς σημαντικὰς τῶν πραγμάτων φωνὰς τῇ λογικῇ δυνάμει

MCT 1 τοῦ om C v 3 εἰπέ μοι v τὸ ante προσφυές om v 10 ἕκαστος MT: ἕκαστον C v πρὸ τῶν ἄλλων MT: om C v 15 καὶ om v 19 τὰς om v 20 ταῖς om v 21 ῥόμακτρα M 22 ὀνόματα om v 26 τὴν addidi 27 φησὶν v 29-30 εἰ τὰς σημαντικὰς—346, 3 Ἐπίκουρον om v 30 πραγμάτων: ὄντων M

τῆς φύσεως ἡμῶν ἀνατίθεμεν, διὰ τοῦτο τὰ ἀμερῆ σώματα καὶ τὰς τῶν ἀτόμων ἀντεμπλοκὰς καὶ συγκρούσεις καὶ ἀποπάλσεις καὶ τὰ τοιαῦτα κατ' Ἐπίκουρον λέγοντες ἐλεγχό-
411 μεθα. σιγάσθω καὶ ὁ προστάτης αὐτοῦ καὶ σύμμαχος τῶν δογμάτων Ἀριστοτέλης, οὗ τὴν δόξαν ἐν τοῖς ἐφεξῆς φησι τοῖς τῆς ἐπινοίας λόγοις συμφέρεσθαι. ἐκείνου γάρ φησιν εἶναι τὸ δόγμα τὸ μὴ διὰ πάντων τῶν ὄντων διήκειν τὴν πρόνοιαν μηδὲ μέχρι τῶν περιγείων διαβαίνειν πραγμάτων, ὅπερ οὗτος σύμφωνον τοῖς κατὰ τὴν ἐπίνοιαν ἐξητασμένοις εἶναι διϊσχυρίζεται. οὕτως ἐστὶ κρίνειν ἐπεσκεμμένος δι' ἀκριβείας τὰ δόγματα. ἀλλὰ προϊὼν χρῆναί φησιν ἢ μηδὲ τὴν γένεσιν τῶν ὄντων τῷ θεῷ συγχωρεῖν ἢ δόντας ταύτην μὴ παραιρεῖσθαι
412 τὴν τῶν ὀνομάτων θέσιν. καὶ μὴν καὶ περὶ τῶν ἀλόγων, καθὼς φθάσαντες εἰρήκαμεν, τὸ ἐναντίον παρὰ τῆς γραφῆς διδασκόμεθα, ὅτι οὔτε ἐποίησεν ὁ Ἀδὰμ τὰ ζῷα οὔτε ὠνόμασεν ὁ θεός, ἀλλὰ παρὰ τοῦ θεοῦ μὲν ἡ γένεσις, παρὰ δὲ τοῦ ἀνθρώπου τῶν γεγονότων ἡ κλῆσις,
413 ὡς ὑπὸ τοῦ Μωϋσέως ἱστόρηται. εἶτα λόγων ἡμῖν ἐγκώμιον τῷ ἰδίῳ διέξεισι λόγῳ, ὥσπερ ἀτιμάζοντός τινος τοῦ λόγου τὴν δύναμιν, καί φησι μετὰ τὴν ἀσύφηλον ἐκείνην καὶ στομφώδη τῶν ῥημάτων συνθήκην προνοίας νόμῳ καὶ μέτρῳ τελείῳ συνάψαι τῇ γνώσει καὶ τῇ χρήσει τῶν ἀναγκαίων τὴν μετάδοσιν τῶν ὀνο-

1-3 cf Epicuri Epistula ad Herodotum § 43-44 ubi commemorat τὰς ἀτόμους, τὴν περιπλοκήν, τὴν σύγκρουσιν, τὸν ἀποπαλμόν, de ἀντεμπλοκῇ cf Marc Antonin VII 50 5-9 haec doctrina in Aristotelis pragmatiis non occurrit, sed cf traditionem doxographicam H. Diels, Doxographi graeci p 130 et praecipue locos collectos p 131,2 quibus hic noster addendus est. Aristoteles in dialogis perditis hoc docuisse videtur, qui Platonis senescentis vestigia non semel premebant

MCT 11-12 ἐπεσκεμμένος MC: ἐπεσκεμμένως v utrumque exhibet T 22 ἀσύφηλον MC: ἀσύμφυλον T ἀσύφυλον v 24 τελείῳ MC, om T sed sscr man alt: τελείως v

μάτων· καὶ πολλὰ τοιαῦτα ἐν βαθεῖ τῷ ὕπνῳ ληρήσας ἐπὶ τὴν ἄμαχόν τε καὶ ἀνανταγώνιστον ἀνάγκην μεταβαίνει
414 τῷ λόγῳ. λέξω δὲ οὐκ ἐπὶ ῥημάτων, ἀλλ' ἐπὶ μόνης τῆς διανοίας τὸν παρ' ἐκείνου λόγον ἐκθέμενος. οὐ ποιηταῖς, φησίν, ἀναθετέον τὴν τῶν ῥημάτων εὕρεσιν τοῖς
1049 M. διαψευσθεῖσιν ἐν ταῖς περὶ θεοῦ ὑπολήψεσιν. οἷα χαρίζεται τῷ θεῷ ὁ γεννάδας τὰ τῆς ποιητικῆς ἐξουσίας εὑρήματα τῷ θεῷ προσάπτων, ὥστε διὰ τούτου σεμνότερον τοῖς ἀνθρώποις καὶ ὑψηλότερον τὸν θεὸν δοκεῖν εἶναι, ὅταν πιστεύωσιν οἱ Εὐνομίῳ μαθητευόμενοι τὸ λικριφὶς καὶ τὸ κάρκαιρε καὶ τὸ εὐρὰξ καὶ τὸ κέραιρε καὶ τὸ φῦ χειρὶ καὶ σίζε καὶ δούπησε καὶ ἀράβησε καὶ κανάχιζε καὶ σμερδαλέον κονάβιζε καὶ λίγξε καὶ ἴαχε καὶ μερμήριξε καὶ πάντα τὰ τοιαῦτα ὅτι οὐ κατ' ἐξουσίαν τινὰ πρὸς τὸ δοκοῦν οἱ ποιηταὶ διεξέρχονται, ἀλλὰ παρ' αὐτοῦ τοῦ θεοῦ τὰ ῥήματα ταῦτα μυσταγωγούμενοι τοῖς
415 μέτροις ἐνείρουσι. παρείσθω καὶ ταῦτα καὶ τὸ σοφὸν ἐκεῖνο καὶ ἄμαχον ἐπιχείρημα τὸ τοὺς ἁγίους τῶν ἀνδρῶν μὴ ἔχειν ἡμᾶς ἐπιδεικνύναι κατὰ τὴν γραφικὴν ἱστορίαν καινὰς ἐπεξευρόντας φωνάς. εἰ μὲν γὰρ ἀτελὴς ἦν μέχρι τῆς ἀναδείξεως τῶν ἀνδρῶν ἐκείνων ἡ ἀνθρωπίνη φύσις καὶ οὔπω τῇ χάριτι τῇ λογικῇ συμπεπλήρωτο, καλῶς ἔδει παρ' αὐτῶν ἐπιζητεῖσθαι
416 τὴν τοῦ λείποντος πλήρωσιν· εἰ δὲ εὐθὺς παρὰ τὴν πρώτην ἀπροσδεὴς καὶ τελεία κατὰ τὴν λογικήν τε καὶ διανοητικὴν ἐνέργειαν ἡ φύσις ὑπέστη, πῶς ἄν τις ἔτι κατὰ τὸ εὔκολον

10-11 λικριφὶς] Hom Il E 463 Od τ 451 κάρκαιρε] Hom Il Y 157 εὐρὰξ] Il Λ 251 O 541 κέραιρε] Il I 203 12 φῦ χειρὶ] saepe ap Homerum σίζε] Od ι 394 δούπησε] saepe Hom ἀράβησε] saepe Hom 13 κανάχιζε] Il M 36 σμερδαλέον κονάβιζε] Il B 433, Φ 593 al ἴαχε et 14 μερμήριξε] saepe in Hom

MCT 2 καὶ τὴν ἀνανταγώνιστον v 6 περὶ om T 11 κέραιρε: κέκαδε v 12 φῦ χειρὶ: φοχειρὶ v σίζε sed rasura ut videtur post σ T καὶ ἀράβησε MCT (ἀράβισε M), om v 13 καὶ σμερδαλέον κονάβιζε v, om MCT 14 μερμήριξε C v: μερμήριζε MT 19 κατὰ om v 25 διανοητικὴν καὶ λογικὴν T (om τε)

ἐπιζητοίη πρὸς σύστασιν τοῦ κατὰ τὴν ἐπίνοιαν λόγου τὸ τοὺς ἁγίους κατάρξαι φωνῶν ἢ ῥημάτων, ἢ εἰ μὴ τοῦτο ἔχοιμεν ἀποδεῖξαι, ἱκανὴν ἑαυτῷ κρίνειν ἀπόδειξιν τοῦ τὸν θεὸν ἡμῖν νενομοθετηκέναι τὰς τοιάσδε συλλαβὰς καὶ τὰ ῥήματα;

417 Ἀλλ' ἐπειδή, φησίν, οὐκ ἀναίνεται ὁ θεὸς τὴν πρὸς τοὺς ἑαυτοῦ θεράποντας ὁμιλίαν, ἀκόλουθόν ἐστιν οἴεσθαι αὐτὸν ἐξ ἀρχῆς τὰς προσφυεῖς τῷ πράγματι τεθεῖσθαι προσηγορίας. τί οὖν καὶ πρὸς τοῦτο ἡμεῖς; τοῦ μὲν καταδέχεσθαι τὸν θεὸν τὴν πρὸς ἄνθρωπον ὁμιλίαν αἰτίαν εἶναι
418 τὴν φιλανθρωπίαν διοριζόμεθα. ἐπεὶ δὲ οὐκ ἐνδέχεται τὸ τῇ φύσει βραχὺ τῶν ἰδίων μέτρων ὑπεραρθῆναι καὶ τῆς ὑπερεχούσης φύσεως τοῦ ὕψους ἐφάψασθαι, τούτου χάριν αὐτὸς πρὸς τὸ ἡμέτερον ἀσθενὲς κατάγων τὴν φιλάνθρωπον δύναμιν, ὡς ἡμῖν δυνατὸν ἦν δέξασθαι, οὕτω τὴν παρ'
419 ἑαυτοῦ χάριν καὶ ὠφέλειαν νέμει. καθάπερ γὰρ κατὰ τὴν θείαν οἰκονομίαν ὁ ἥλιος τὸ σφοδρὸν τῶν ἀκτίνων καὶ ἄκρατον τῷ διὰ μέσου κατακεράσας ἀέρι σύμμετρον ἐπάγει τοῖς δεχομένοις τὴν αὐγήν τε καὶ τὴν θερμότητα, καθ' ἑαυτὸν ὢν τῇ ἀσθενείᾳ τῆς φύσεως ἡμῶν ἀπροσπέλαστος, οὕτω καὶ ἡ θεία δύναμις καθ' ὁμοιότητα τοῦ ῥηθέντος ἡμῖν ὑποδείγματος ἀπειροπλασίως ὑπεραίρουσα τὴν φύσιν ἡμῶν καὶ ἀπρόσιτος εἰς μετουσίαν οὖσα οἱόν τις μήτηρ εὔσπλαγχνος τοῖς ἀσήμοις τῶν νηπίων κνυζήμασι συνδιαψελλιζομένη τοῦτο νέμει τῇ ἀνθρωπίνῃ φύσει ὃ λαβεῖν δυνατῶς ἔχει, καὶ διὰ τοῦτο ἐν ταῖς ποικίλαις πρὸς τοὺς ἀνθρώπους θεοφανείαις καὶ κατὰ ἄνθρωπον σχηματίζεται καὶ ἀνθρωπικῶς φθέγγεται καὶ ὀργὴν καὶ ἔλεον καὶ τὰ τοιαῦτα ὑποδύεται πάθη, ὡς ἂν διὰ πάντων τῶν καταλλήλων ἡμῖν χειραγωγοῖτο ἡ νηπιώδης ἡμῶν ζωή, διὰ τῶν τῆς

MCT 3 ἔχομεν v 4 καὶ: ἢ T 6 ἀπαναίνεται v ὁ θεὸς post ἀναίνεται MCT: ante 7 ὁμιλίαν v 14 τοῦ ὕψους: τοῦ ὑψίστου v 17 τὴν om MCT

420 προνοίας λόγων τῆς θείας φύσεως ἐφαπτομένη. ὅτι γὰρ
1052 M. οὐδενὶ πάθει τῶν καθ' ἡδονὴν ἢ κατ' ἔλεον ἢ ὀργὴν συμβαινόντων εὐαγές ἐστιν ὑποκεῖσθαι τὸ θεῖον οἴεσθαι, οὐδεὶς <ἂν> ἀντείποι τῶν καὶ μετρίως ἐπεσκεμμένων τὴν περὶ τῶν ὄντων ἀλήθειαν· ἀλλ' ὅμως καὶ εὐφραίνεσθαι κύριος λέγεται ἐπὶ τοῖς δούλοις αὐτοῦ καὶ ὀργίζεσθαι θυμῷ ἐπὶ τὸν ἐπταικότα λαὸν καὶ ἐλεεῖν πάλιν ὃν ἂν ἐλεήσῃ καὶ οἰκτείρειν ὡσαύτως, δι' ἑκάστου οἶμαι τῶν τοιούτων ῥημάτων τοῦτο τοῦ λόγου ἡμᾶς παιδεύοντος, ὅτι διὰ τῶν ἡμετέρων ἰδιωμάτων ἡ τοῦ θεοῦ πρόνοια τῇ ἀσθενείᾳ ἡμῶν ἐπιμίγνυται, ὡς ἂν οἵ τε πρὸς ἁμαρτίαν ῥέποντες φόβῳ τῆς τιμωρίας ἑαυτοὺς τῶν κακῶν ἀνέχοιεν οἵ τε προειλημμένοι μὴ ἀπογινώσκοιεν τὴν ἐκ μεταμελείας ἐπάνοδον πρὸς τὸν ἔλεον βλέποντες, καὶ οἱ δι' ἀκριβοῦς πολιτείας κατορθοῦντες τὸν βίον μᾶλλον ταῖς ἀρεταῖς ἐπαγάλλοιντο, ὡς εὐφραίνοντες τῷ ἰδίῳ βίῳ τὸν τῶν ἀγαθῶν γινόμενον ἔφορον.
421 ὥσπερ δὲ οὐκ ἔστι κωφὸν ὀνομάσαι τὸν διὰ σχημάτων τῷ κωφῷ καθὼς ἐπαΐειν πέφυκεν ὁμιλοῦντα, οὕτως οὐδὲ ἀνθρώπινον λόγον περὶ τὸν θεὸν οἰηθῆναι, ἐπειδὴ πρὸς ἀνθρώπους αὐτῷ κατ' οἰκονομίαν ἐχρήσατο. καὶ γὰρ ἡμεῖς κλωγμῷ καὶ ποππυσμῷ καὶ συρίγματι τὰ ἄλογα διευθύνειν εἰώθαμεν, ἀλλ' οὐ τοῦτο ἡμῖν ὁ λόγος ἐστὶν ᾧ τῆς τῶν ἀλόγων ἀκοῆς καθικνούμεθα, ἀλλὰ πρὸς μὲν ἡμᾶς αὐτοὺς τῇ φύσει κεχρήμεθα, τοῖς δὲ ἀλόγοις ὁ κατάλληλος ψόφος καὶ ὁ ποιὸς διὰ τοῦ σχήματος ἦχος πρὸς τὴν χρείαν ἐξήρκεσεν.
422 Ἀλλ' οὐ βούλεται τοῖς ἡμετέροις ὁ εὐλαβὴς οὗτος τὸν θεὸν κεχρῆσθαι διὰ τὴν πρὸς κακίαν ἡμῶν ῥοπήν, ἀγνοῶν ὁ φίλτατος ὅτι δι' ἡμᾶς οὐδὲ κατάρα καὶ ἁμαρτία γενέσθαι ἀπέσχετο.

29 Gal 3, 13

MCT 4 ἂν supplevi 5 εὐφραίνεται C 9 τοῦτο τοῦ: τοῦ κροτοῦ v 13 μεταμελείας: μετανοίας v 21 κλωγμῷ correxi: κλυωγμῷ libri v καὶ συρίγματι καὶ ποππυσμῷ T 22 τῶν om T 24 ὅ τε κατάλληλος v 28 τὴν πρὸς τὴν κακίαν M 29 ἀπέσχετο γενέσθαι v

τοσοῦτον αὐτῷ περίεστι τῆς φιλανθρωπίας ὡς οὐχὶ τῶν
ἀγαθῶν μόνον, ἀλλὰ καὶ τῶν κακῶν τῶν ἡμετέρων ἑκουσίως
εἰς πεῖραν ἐλθεῖν. ὁ δὲ τῶν κακῶν τὴν κοινωνίαν καταδεξά-
μενος πῶς ἂν τοῦ καλλίστου τῶν ἡμετέρων, φημὶ δὲ τοῦ
423 λόγου, τὴν μετουσίαν ὤκνησεν; ἀλλὰ τὸν Δαβὶδ εἰς συνηγορίαν
προβάλλεται καί φησιν ἐκεῖνον λέγειν παρὰ τοῦ θεοῦ
τοῖς πράγμασι τὰ ὀνόματα τεθεῖσθαι διὰ τὸ
γεγράφθαι τοῦτον τὸν τρόπον· Ὁ ἀριθμῶν πλήθη
ἄστρων καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. ἐγὼ δὲ
πρόδηλον μὲν ἡγοῦμαι παντὶ τῷ νοῦν ἔχοντι τὸν περὶ τούτων
λόγον ὡς οὐδεμίαν ἔχει κοινωνίαν πρὸς τὸ προκείμενον.
ἐπειδὴ δέ τινας εἰκὸς ἀνεπισκέπτως τῷ λόγῳ προστίθεσθαι,
424 βραχέα περὶ τούτων διαληψόμεθα. οἶδε πολλάκις ἡ θεία
γραφὴ τοιαύτας τῷ θεῷ περιτιθέναι φωνάς, ὡς μηδὲν
ἀπᾴδειν αὐτὰς τῶν ἡμετέρων δοκεῖν οἷον τὸ Ὠργίσθη
θυμῷ κύριος καὶ Μετενόησεν ἐπὶ τῇ κακίᾳ αὐτῶν καὶ
Μετεμελήθη χρίσας τὸν Σαοὺλ εἰς βασιλέα καὶ Ἐξη-
γέρθη ὡς ὁ ὑπνῶν κύριος, καὶ ἔτι πρὸς τούτοις καθέδραν
καὶ στάσιν καὶ κίνησιν καὶ πολλὰ τοιοῦτα διέξεισιν, ἃ φύσει
μὲν περὶ τὸν θεὸν οὐκ ἔστι, πρὸς δὲ τὴν οἰκονομίαν τῶν
425 παιδευομένων οὐκ ἀχρήστως ἔχει. τούς τε γὰρ ἐκλυτω-
1053 M. τέρους ἡ τῆς ὀργῆς ἔνδειξις συστέλλει τῷ φόβῳ καὶ τοῖς
δεομένοις τοῦ τῆς μετανοίας φαρμάκου συμμετανοεῖν ἐπὶ τῇ
κακίᾳ λέγει τὸν κύριον, τοῖς δ' αὖ ἐν εὐπραγίαις τισὶ πρὸς
ὕβριν ἐκφερομένοις τὸ μὴ παραμένειν αὐτοῖς τὴν εὐημερίαν,
κἂν ἐκ θεοῦ τὸ τοιοῦτον εἶναι δοκῇ, διὰ τῆς ἐπὶ τοῦ Σαοὺλ
μεταμελείας προδείκνυσι, τοῖς τε μὴ ἐμβαθύνουσι τῷ πτώ-
ματι τῆς ἁμαρτίας, ἀλλὰ καθάπερ ἐξ ὕπνου τινὸς τοῦ μα-
ταίου βίου διαναστᾶσι συνανίστασθαι τὸν θεὸν καὶ συναφ-
υπνίζεσθαι λέγει, ἑστάναι δὲ τοῖς ἀκλινῶς ἐπὶ τοῦ καλοῦ
βεβηκόσι, καὶ καθέζεσθαι τοῖς ἐν τῷ καλῷ καθιδρυμένοις,

9 Ps 146, 4 15 Ps 105,40 16 Jon 3,10 17 I Reg 15,35 17-18 Ps 77,65

MCT 3-4 δεξάμενος v 17 χρίσαι v 27 ἐμβαθύνασι T 28 καθάπερ: καθάπαξ M 29 βίου om v συνίστασθαι MT

κινεῖσθαι δ' αὖ πάλιν καὶ περιπατεῖν ἐπὶ τῶν μετακινηθέν-
426 των ἀπὸ τῆς ἐν τῷ καλῷ παγιότητος· ὡς ἐπὶ τοῦ Ἀδὰμ
ἡ ἱστορία διέξεισι περιπατοῦντα τὸ δειλινὸν ἐν τῷ παραδείσῳ
τὸν θεὸν διαγράφουσα, τῷ μὲν δειλινῷ τὴν πρὸς τὰ σκοτεινὰ
τοῦ πρωτοπλάστου ῥοπὴν διασημαίνουσα, τῇ δὲ κινήσει τὸ
ἀπαγὲς τοῦ ἀνθρώπου περὶ τὸ καλὸν καὶ τὸ ἄστατον.
427 Ἀλλὰ ταῦτα μὲν τοῖς πολλοῖς πόρρωθεν ἴσως ὡς
πρὸς τὴν προτεθεῖσαν ἡμῖν θεωρίαν εἶναι δόξει, ἐκεῖνο δὲ
οὐκ ἄν τις ἀπᾴδειν εἴποι τοῦ προκειμένου, ὅτι πολλοὶ τὸ
ἑαυτοῖς ἄληπτον οὐδὲ θεῷ ληπτὸν εἶναι νομίζουσιν, καὶ
ὅπερ ἂν ἐκφύγῃ τὴν ἑαυτῶν κατανόησιν, περισσότερον εἶναι
428 τοῦτο καὶ τῆς θείας δυνάμεως οἴονται. ἐπειδὴ τοίνυν τοῦ
ποσοῦ μέτρον ἡμεῖς τὸν ἀριθμὸν πεποιήμεθα, ὁ δὲ ἀριθμὸς
οὐδὲν ἕτερον ἢ σύνθεσις μονάδων ἐστί, ποικίλως τῆς μο-
νάδος εἰς πλῆθος ἐπαυξομένης (μονὰς γὰρ καὶ ἡ δεκὰς
κατὰ σύνθεσιν μονάδων πρὸς τοῦτο περαινομένη, μονὰς
πάλιν ἡ ἑκατοντὰς ἐκ δεκάδων συντιθεμένη, ὡσαύτως καὶ
ἡ χιλιὰς ἄλλη μονὰς καὶ ἡ μυριὰς ὁμοίως ἀναλόγως ἐκ
πολλαπλασιασμοῦ, ἡ μὲν ἐκ χιλιάδων, ἡ δὲ ἐξ ἑκατοντάδων
πρὸς τοῦτο κεφαλαιουμένη, ἅπερ ἅπαντα τοῖς ὑποκειμένοις
ἐπιμερίζοντες σημεῖα τῆς ποσότητος τῶν ἀριθμουμένων
429 πραγμάτων ποιούμεθα)· ὡς ἂν οὖν παιδευθείημεν παρὰ
τῆς θείας γραφῆς τὸ μηδὲν ἄγνωστον εἶναι τῷ θεῷ, ἐξη-
ριθμῆσθαι παρ' αὐτοῦ λέγει τὸ πλῆθος τῶν ἄστρων, οὐ
τοῦτον τὸν τρόπον γινομένης τῆς ἀριθμήσεως (τίς γὰρ
οὕτως εὐήθης ὡς τῷ περιττῷ καὶ ἀρτίῳ τὸν θεὸν οἴεσθαι
διαλαμβάνειν τὰ ὄντα καὶ διὰ τῆς τῶν μονάδων συνθέσεως
πρὸς τὸ κεφάλαιον τῆς ἀθροιζομένης ποσότητος τὸν ἀριθ-
μὸν συμπεραίνειν;)· ἀλλ' ἐπειδὴ ἐν ἡμῖν ἀκριβὴς τοῦ
ποσοῦ γνῶσις ἐκ τοῦ ἀριθμοῦ γίνεται, ὡς ἂν καὶ περὶ τοῦ

3 Gen 3,8

MCT 4 τὴν om v 7 ὡς om C 12 τοῦ: καὶ v 16 περαινομένη correxi: περαιουμένη cf 29 20 ἅπερ: ὑπὲρ v 21 περιορίζοντες v 23-24 ἐξαριθμεῖσθαι v 24 τοῦ θεοῦ post λέγει add v 25 τὸν τρόπον τοῦτον v 29 ἡ ἀκριβὴς v

θεοῦ παιδευθείημεν ὅτι πάντα τῇ γνώσει τῆς σοφίας αὐτοῦ
περιείληπται καὶ οὐδὲν ἐκφεύγει τὴν ἀκριβῆ κατανόησιν, τού-
του χάριν ἀριθμεῖν τὰ ἄστρα τὸν θεὸν διωρίσατο, τοῦτο
δι' ὧν λέγει νοεῖν συμβουλεύων, μὴ κατὰ τὸ μέτρον τῆς
ἡμετέρας γνώσεως καὶ τὸ θεῖον οἴεσθαι τῶν ὄντων ἐφά-
πτεσθαι, ἀλλὰ τὰ ἡμῖν ἄληπτά τε καὶ ἀνεπινόητα πάντα
430 τῇ γνώσει τῆς θείας σοφίας ἐμπεριείργεσθαι. τῶν γὰρ
ἄστρων διὰ τὸ πλῆθος ἐκφευγόντων τὸν ἀριθμὸν ὡς πρὸς
1056 M. ἀνθρωπίνην ἐπίνοιαν, ἀπὸ μέρους τὸ πᾶν ἐκδιδάσκων ὁ
λόγος ἐκ τοῦ ταῦτα κατηριθμῆσθαι παρὰ τοῦ θεοῦ λέγειν
τὸ μηδὲν τῶν ἡμῖν ἀγνώστων ἐκφεύγειν τοῦ θεοῦ τὴν
γνῶσιν διαμαρτύρεται. διὰ τοῦτό φησιν Ὁ ἀριθμῶν πλήθη
ἄστρων, οὐκ ἀγνοῶν δηλαδὴ πρὶν ἐξαριθμῆσαι τὴν τῶν
ἄστρων ποσότητα. πῶς γὰρ εἰκὸς αὐτὸν ἀγνοεῖν ὃ ἐποίη-
431 σεν; ὁ γὰρ τοῦ παντὸς ἐπιστάτης οὐκ ἂν ἀγνοοίη τὸ ἐμ-
περιειλημμένον τῇ περιεκτικῇ τῶν ὅλων δυνάμει. τί δήποτε
οὖν ἀριθμεῖ ὅπερ ἐπίσταται; τῶν γὰρ ἀγνοούντων ἐστὶ τὸ
τῷ ἀριθμῷ διαμετρεῖν τὴν ποσότητα, ὁ δὲ τὰ πάντα εἰδὼς
πρὸ γενέσεως ἀριθμοῦ διδασκάλου πρὸς τὴν τῶν ὑποκειμένων
γνῶσιν οὐκ ἐπιδέεται. ἀλλὰ μὴν ἀριθμεῖν λέγεται παρὰ
τοῦ Δαβίδ· δηλονότι πρὸς τὴν ἡμετέραν διδασκαλίαν κατὰ
τὸ ἡμῖν χωρητὸν τοῦ λόγου πρὸς σαφήνειαν κατιόντος τὸ
ἀκριβῶς εἰδέναι τὰ ἡμῖν ἄγνωστα διὰ τῆς τοῦ ἀριθμοῦ
432 σημασίας ὁ Δαβὶδ ἐνεδείξατο. ὥσπερ οὖν ἀριθμεῖν λέγεται
οὐδὲν τῆς ἀριθμητικῆς περιόδου πρὸς τὴν τῶν ὄντων γνῶσιν
ἐπιδεόμενος, οὕτως καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλεῖν ἡ
προφητεία λέγει, οὐ ταύτην οἶμαι τὴν διὰ τῆς φωνῆς κλῆ-
σιν ὑποσημαίνουσα. ἢ γὰρ ἂν εἰς ἄτοπόν τι καὶ ἀνάξιον
τῆς περὶ θεοῦ ὑπολήψεως ὁ λόγος προϊὼν καταλήγοι, εἴπερ
ταῦτα λέγοι τὰ ὀνόματα παρὰ τοῦ θεοῦ τεθεῖσθαι τοῖς

5 τῶν ὄντων ἐφάπτεσθαι] cf Plato Resp 484 B 12 Ps 146,4 cf supra § 429

MCT 4 τὸ μέτρον τὸ τῆς v 6 τε om v πάντα om T 10 καταριθμεῖσθαι v cf ad 351, 23-24 19 πρὸ: πρὶν M 30 λέγει ut vid T v

433 ἄστροις τὰ ἐν τῇ συνηθείᾳ ἡμῶν ἀναστρεφόμενα. εἰ γὰρ
ταῦτά τις δοίη θεόθεν ἐπικεκλῆσθαι, ἀνάγκη πᾶσα καὶ
τῶν Ἑλληνικῶν εἰδώλων ἐκεῖθεν οἴεσθαι τὴν κλῆσιν ἐπι-
πεφημίσθαι τοῖς ἄστροις καὶ ὅσα τῆς μυθικῆς ἱστορίας
ἐπιλέγεται τοῖς ἀστρῴοις ὀνόμασιν ἀληθῆ νομίσαι, ὡς τοῦ
θεοῦ τὰς τοιαύτας αὐτοῖς ἐπικυροῦντος φωνάς. οὕτως ἡ
ἑβδομὰς τῶν ἐμπεριεχομένων τῷ παντὶ πόλῳ τοῖς Ἑλληνι-
κοῖς εἰδώλοις ἐπιμερισθεῖσα ἔξω μέμψεως τοὺς πρὸς ταῦτα
πεπλανημένους ποιήσει, εἴπερ ἐκ θεοῦ πιστευθείη τοῦτο
434 διατετάχθαι. οὕτως ὁ κατὰ τὸν Ὠρίωνα καὶ Σκορπίον
μῦθος εἰς πίστιν ἄγεται καὶ τὰ περὶ τῆς Ἀργοῦς διηγήματα
καὶ ὁ Κύκνος καὶ ὁ Ἀετὸς καὶ ὁ Κύων ἥ τε κατὰ τὸν
Στέφανον τῆς Ἀριάδνης μυθοποιΐα, καὶ τοῦ ζῳοφόρου κύ-
κλου τῶν κατά τινα σχηματισμὸν ἐπινοηθέντων τοῖς φαινο-
μένοις ὀνομάτων θεὸν εὑρετὴν ὑπονοεῖσθαι κατασκευάσει,
εἴπερ καλῶς ὁ Εὐνόμιος οἴεται τὸν Δαβὶδ λέγειν ὅτι ταῦτα
αὐτοῖς τὰ ὀνόματα ὁ θεὸς ἐπιτίθησι.
435 Ἐπεὶ οὖν ἄτοπον τῶν τοιούτων ὀνομάτων τὸν θεὸν
εὑρετὴν οἴεσθαι, ὡς ἂν μὴ καὶ τὰ τῶν εἰδώλων ὀνόματα
ἐκεῖθεν τὴν ἀρχὴν ἐσχηκέναι δοκοίη, καλῶς ἂν ἔχοι μὴ
ἀνεξετάστως τὸ ῥηθὲν παραδέξασθαι, ἀλλὰ καθ' ὁμοιότητα
τῶν κατὰ τὸν ἀριθμὸν ἡμῖν νενοημένων καὶ τὸν ἐν τούτῳ
νοῦν κατανοῆσαι. ἐπειδὴ γὰρ ἐν ἡμῖν μαρτύριον τῆς ἀκριβοῦς
ἐστι γνώσεως τὸ ἐξ ὀνόματος παρ' ἡμῶν προσκαλεῖσθαι τὸν
γνώριμον, διδάσκει διὰ τούτων ἡμᾶς ὅτι τῶν ἡμῖν ἀλήπτων
οὐ μόνον τὸ πλήρωμα τῆς ἐν κεφαλαίῳ ἀθροιζομένης πο-

7 stellarum errantium nomina dicit 10 Ὠρίωνα] cf Mythographi graeci III 1 Ps-Eratosthenes Catasterismi ed A. Olivieri p 37 Σκορπίον] ibid p 9 11 Ἀργοῦς] ibid p 41 12 Κύκνος] ibid 30 Ἀετὸς] ibid 36 Κύων] ibid 39 13 Στέφ. τ. Ἀριάδνης] ibid 5

MCT 3-4 ἐπιφημίζεσθαι M 6 ἐπικυροῦντας M 7 περιεχομένων v 13 ζῳηφόρου v 15 παρασκευάσει libri v, correxi 16 καλῶς v, om MCT 23 ἓν ἡμῖν CT 23-24 ἔστι τῆς ἀκριβοῦς γνώσεως M 25 διδάσκει δὲ διὰ CT iidem post 354, 2 ἐπίσταται sententiam usque ad 7 γνωριζόμενον continuant

σότητος διαλαμβάνει τῇ γνώσει ὁ τὸ πᾶν περιέχων, ἀλλὰ
436 καὶ τὰ καθ' ἕκαστον δι' ἀκριβείας ἐπίσταται. τούτου
χάριν οὐ μόνον ἐξηριθμηκέναι τὰ πλήθη τῶν ἄστρων αὐτὸν
ὁ λόγος φησίν, ἀλλὰ καὶ ἐξ ὀνόματος ἕκαστον προσκαλεῖσθαι,
1057 M. ὅπερ σημαίνει τὸ μέχρι τῶν λεπτοτέρων διήκειν αὐτοῦ τὴν
ἀκρίβειαν καὶ οὕτως ἀκριβῶς ἐπιγινώσκειν τὰ καθ' ἕκαστον,
ὡς ὁ ἄνθρωπος τὸν δι' ὀνόματος αὐτῷ γνωριζόμενον. εἰ
δέ τις λέγοι ἄλλας εἶναι τὰς παρὰ τοῦ θεοῦ τοῖς ἄστροις
ἐπικειμένας φωνάς, ἃς ἀγνοεῖν οἴεται τὴν ἀνθρωπίνην
χρῆσιν, περὶ ὧν ὑπολαμβάνει τὸν Δαβὶδ εἰρηκέναι, πόρρω
437 τῆς ἀληθείας ὁ τοιοῦτος ἀποπλανᾶται. εἰ γὰρ ἦν ἕτερα
ἐπὶ τῶν ἄστρων ὀνόματα, οὐκ ἂν ἡ θεία γραφὴ τούτων
ἐποιεῖτο μνήμην τῶν ὀνομάτων, ἃ ἐν τῇ καταχρήσει τῆς
Ἑλληνικῆς συνηθείας ἐστίν, Ἠσαΐου μὲν λέγοντος Ὁ ποιῶν
Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον καὶ ταμεῖα Νότου,
τοῦ δὲ Ἰὼβ τὸν Ὠρίωνα καὶ τὴν Ἀσηρὼθ ὀνομάζοντος,
ὡς ἐκ τούτου δῆλον εἶναι, ὅτι τοῖς ἐν τῷ βίῳ τετριμμένοις
ὀνόμασι πρὸς διδασκαλίαν ἡμῶν συγκέχρηται ἡ θεία γραφή.
οὕτω καὶ Ἀμαλθείας κέρας ἐν τῷ Ἰὼβ ἀκηκόαμεν καὶ
παρὰ τῷ Ἠσαΐᾳ Σειρῆνας, τοῦ μὲν τὸ πάμφορον τῶν ἀγα-
θῶν ἐκ τῆς Ἑλληνικῆς ὑπονοίας οὕτω κατονομάζοντος,
Ἠσαΐου δὲ τὴν ἐξ ἀκοῆς ἡδονὴν τῷ τῶν Σειρήνων παρα-
438 δηλοῦντος ὀνόματι. ὥσπερ οὖν ἐνταῦθα τοῖς ἐκ τῶν μυθι-
κῶν διηγημάτων ὀνόμασιν ὁ θεόπνευστος συνεχρήσατο λόγος,
πρὸς τὸ τῶν ἀκουόντων χρήσιμον βλέπων, οὕτω κἀκεῖ τὰς
ἐκ τῆς ἀνθρωπίνης ἐπινοίας τοῖς ἄστροις ἐπικληθείσας
φωνὰς εἶπεν ἀνεπαισχύντως ὁ λόγος, διδάσκων ὅτι πᾶν

14 Ἠσαΐου] falso citat Jesaiam, nam Job 9,9 haec legimus 16 Job 38,31-32 19 Job 42,14 20 Jes 13,21

MCT 3 ἐξαριθμεῖσθαι v αὐτὸν M τὸν C initio lineae (in fine lineae antecedentis spatium duarum litt vacat, fort rasura): αὐτὸς T αὐτοῦ v 4 προσκαλεῖσθαι πρ in ras T ἀποκαλεῖσθαι v 5 λεπτομερεστέρων M v 7 ὁ om T 10 χρῆσιν: φύσιν v 15 πλειάδας v (cf 355, 3) 18 συγκεχώρηται C sed supra ω duo puncta 20 παμφόρον T 27 ἀνεπαισχύντως T v: ἀναισχύντως MC

πρᾶγμα τὸ ὁπωσοῦν παρὰ τοῖς ἀνθρώποις ὀνομαζόμενον ἐκ
439 θεοῦ τὴν ὕπαρξιν ἔχει, τὸ πρᾶγμα, οὐχὶ τὸ ὄνομα. οὐ γὰρ
ὁ ὀνομάζων, ἀλλ' ὁ ποιῶν, φησί, Πλειάδα καὶ Ἕσπερον καὶ
Ἀρκτοῦρον. οὐκοῦν ἱκανῶς οἶμαι διὰ τῶν εἰρημένων καὶ
τὸν Δαβὶδ τῆς ἡμετέρας ὑπολήψεως σύμμαχον ἀποδεδεῖχθαι,
οὐ τὸ κατονομάζειν τὸν θεὸν τὰ ἄστρα διὰ τῆς προφητείας
διδάσκοντα, ἀλλὰ τὸ ἀκριβῶς γινώσκειν κατὰ τὴν τῶν ἀν-
θρώπων συνήθειαν τῶν ἐκείνους μάλιστα δι' ἀκριβείας
ἐπισταμένων, οὓς καὶ ὀνομαστὶ προσκαλεῖσθαι διὰ πολλὴν
συνήθειαν δύνανται.

440 Εἰ δὲ χρὴ καὶ τὴν παρὰ τῶν πολλῶν ἐπὶ τοῖς ῥητοῖς
τούτοις τῆς ψαλμῳδίας ἐκθέσθαι διάνοιαν, πολὺ μᾶλλον
ἀπελεγχθήσεται τὸ μάταιον τῆς Εὐνομίου περὶ τούτων οἰή-
σεως. λέγουσι γὰρ οἱ ἐπιμελέστερον ἐξητακότες τὸν νοῦν
τῆς θεοπνεύστου γραφῆς ὅτι οὐ πάντα τὰ ὄντα τῆς θείας
ἐστὶν ἐξαριθμήσεως ἄξια· ἔν τε γὰρ τοῖς εὐαγγελικοῖς
συσσιτίοις τοῖς γεγονόσι κατὰ τὴν ἔρημον οὔτε τὸ νηπιῶδες
οὔτε τὸ γυναικεῖον ἀριθμοῦ ἄξιον ἐνομίσθη, καὶ ἐν τῇ
ἐξόδῳ τοῦ Ἰσραηλίτου λαοῦ μόνοι τῷ ἀριθμῷ κατελέγησαν
οἱ ἤδη κατὰ τῶν ἐχθρῶν ὅπλα φέρειν καὶ ἀριστεύειν δυνά-
441 μενοι. οὔτε γὰρ πάντων τὰ ὀνόματα τοιαῦτά ἐστιν ὡς διὰ
τοῦ θείου στόματος φέρεσθαι, ἀλλ' ἀριθμεῖται μὲν εἴ τι
καθαρὸν καὶ οὐράνιον, ὃ διὰ τὸ ὕψος τῆς πολιτείας ἀμιγὲς
μένον τῆς πρὸς τὸν ζόφον ἐπιμιξίας ἄστρον λέγεται, ὀνο-
μάζεται δὲ εἴ τι κατὰ τὸν αὐτὸν λόγον τοῦ ἐγγραφῆναι
ταῖς θείαις δέλτοις ἄξιον γίνεται. περὶ γὰρ τῶν ὑπεναν-
τίων φησὶν ὅτι Οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ
442 χειλέων μου. ὀνόματα δέ, οἷα τοῖς τοιούτοις ἄστροις ἐπι-
1060 M. βάλλει ὁ κύριος, σαφῶς παρὰ τῆς Ἠσαΐου προφητείας

16-19 Matth 14,21 Exod 12,37 quae hic scribit inde a verbis 14 οἱ ἐπιμελέστερον ἐξητακότες τὸν νοῦν ad Origenem spectant cf In Matthaeum Tom XI 3 (vol X 1 p 37,21 sq Klostermann) 27 Ps 15,4

MCT 1 τὸ ὁπωσοῦν om v 5 ὑμετέρας v 17 συσσιτίοις: σιτίοις v 19 μόνοι M v: μόνῳ CT 23 καθαρὸν: καλὸν v τε ante καὶ add v 25 κατ' αὐτὸν τὸν λόγον v 28-29 ἐπιβάλλει ἄστροις v

ἐμάθομεν ἤ φησιν Ἐκάλεσά σε τὸ ὄνομά σου, ἐμὸς εἶ σύ·
ὥστε εἴ τις ἑαυτὸν κτῆμα ποιεῖ τοῦ θεοῦ, ὄνομα τούτῳ τὸ
ἔργον γίνεται. ἀλλὰ ταῦτα μὲν ἐχέτω, ὅπως ἂν ἔχειν δόξῃ
443 τοῖς ἐντυγχάνουσιν. ὃ δὲ προστίθησι τοῖς εἰρημένοις, τὰ
πρῶτα τῆς κοσμογενείας εἰς μαρτυρίαν τοῦ παρὰ τοῦ θεοῦ
τοῖς οὖσι τὰς φωνὰς κεῖσθαι, ὧνπερ ἐν τοῖς κατόπιν ἱκανῶς
ἐξητασμένων περιττὴν κρίνω τὴν ἐπανάληψιν, καὶ τὴν τοῦ
Ἀδὰμ φωνήν, ἣν προφητικῶς εἰς Χριστὸν καὶ τὴν ἐκκλη-
σίαν γεγενῆσθαί φησιν ὁ ἀπόστολος, ἑρμηνευέτω κατ' ἐξου-
444 σίαν οὗτος ὡς βούλεται. οὐδεὶς γὰρ οὕτως ἠλίθιος ὡς
Παύλου τὰ κεκρυμμένα τῶν μυστηρίων ἐν τῇ δυνάμει τοῦ
πνεύματος ἡμῖν ἐκκαλύπτοντος ἀξιοπιστότερον ἑρμηνέα τῶν
θείων ποιήσασθαι τὸν Εὐνόμιον τὸν φανερῶς ταῖς φωναῖς
τῆς θεοπνεύστου μαρτυρίας ἀντιμαχόμενον καὶ τὸ μὴ κατω-
νομάσθαι παρὰ τοῦ Ἀδὰμ τῶν ἀλόγων τὰ εἴδη διὰ τῆς
παρεξηγήσεως τοῦ ῥητοῦ τούτου κατασκευάζειν ἐκβιαζόμενον.
445 παρείσθω καὶ τὰ τῆς ὕβρεως αὐτοῦ ῥήματα καὶ ἡ ἄχαρις
ἀμουσία ἐκείνη καὶ ἡ κοπρώδης αὐτοῦ καὶ βεβολβιτωμένη
φωνὴ διεξιοῦσα μετὰ τῆς συνήθους εὐστομίας ταῦτα κατὰ
τοῦ διδασκάλου ἡμῶν· τὸν σπορέα τῶν ζιζανίων
καὶ τὴν τοῦ καρποῦ † πρόσοψιν καὶ Οὐαλεν-
τίνου παραφθορὰν καὶ τὸν παρ' ἐκείνου καρ-
πόν, ὃν ἐν τῇ ψυχῇ λέγει σεσωρεῦσθαι τοῦ δι-
δασκάλου, καὶ ἡ λοιπὴ τῶν εἰρημένων ἀηδία συγκαλυ-
φθήτω τῇ σιωπῇ, καθάπερ καὶ τὰ μεμυδηκότα τῶν σωμά-
των τῇ γῇ κατακρύπτομεν, ὡς μὴ πολλοῖς δι' ὄχλου τὴν
δυσωδίαν γίνεσθαι.
446 Πρὸς δὲ τὴν ἀκολουθίαν τῶν εἰρημένων μετενεκτέον
τὸν λόγον. πάλιν γὰρ ἐκτίθεταί τινα ῥῆσιν τοῦ διδασκάλου
ἔχουσαν οὕτως· ,,ἄφθαρτον γὰρ καὶ ἀγέννητον τὸν θεὸν

1 Jes 43,1 8 I Cor 15,45 30 sqq Basilius c Eun I p 525 B-C

MCT 3 ἐχέτω om M 6-7 ἐξητασμένων ἱκανῶς v 13 τὸν Εὐνόμιον om M 18 βεβολβητομένη M 21 πρόσοψιν: πρόσσηψιν Migne, locus corruptus videtur 26 κατακρυπτόμενα v

τῶν ὅλων λέγομεν, κατὰ διαφόρους ἐπιβολὰς τοῖς ὀνόμασι
τούτοις χρώμενοι· ὅταν μὲν γὰρ εἰς τοὺς κατόπιν αἰῶνας
ἀποβλέψωμεν, ὑπερεκπίπτουσαν πάσης περιγραφῆς εὑρίσκον-
τες τὴν ζωὴν τοῦ θεοῦ ἀγέννητον αὐτὸν λέγομεν· ὅταν δὲ
τοῖς ἐπερχομένοις αἰῶσι τὸν νοῦν ἐπιβάλωμεν, τὸ ἀόριστον
καὶ ἄπειρον καὶ οὐδενὶ τέλει καταληπτὸν προσηγορεύσαμεν
447 ἄφθαρτον. ὡς οὖν τὸ ἀτελεύτητον τῆς ζωῆς ἄφθαρτον,
οὕτω τὸ ἄναρχον αὐτῆς ἀγέννητον ὠνομάσθη, τῇ ἐπινοίᾳ
ἡμῶν ἐπιθεωρούντων ταῦτα.'' τὴν μὲν οὖν λοιδορίαν, ἣν
προοίμιον τῆς τῶν εἰρημένων θεωρίας πεποίηται, πάλιν
παρήσομεν, σπέρματός τινος ὑπαλλαγὴν καὶ
σπορᾶς καθηγητὴν καὶ τὸ τῆς μέμψεως ἀσυλ-
λόγιστον καὶ ὅσα ἄλλα τῇ ἀκορήτῳ γλώσσῃ κενεμβατῶν
διεξέρχεται· ἐφ' ᾧ δὲ διαβάλλειν ἐπιχειρεῖ συκοφαντῶν τὸν
448 λόγον, πρὸς τοῦτο καὶ ἡμεῖς τραπησόμεθα. ἐλέγχειν
ἡμᾶς ἐπαγγέλλεται ὡς μὴ φύσει λέγοντας ἄφθαρτον εἶναι
τὸ θεῖον. ἡμεῖς δὲ μόνα τῆς φύσεως ἀλλοτριοῦμεν ἐκεῖνα
ὅσα ἐπίκτητα γίνεταί τισι καὶ ἀπόκτητα· ὧν δὲ ἄνευ τὸ
ὑποκείμενον νοηθῆναι φύσιν οὐκ ἔχει, πῶς ἄν τις ἐν αἰτίᾳ
γένοιτο ὡς αὐτὴν ἑαυτῆς διαχωρίζων τὴν φύσιν; εἰ μὲν
1061 M. οὖν ἐπιγεννηματικὴν τῷ θεῷ τὴν ἀφθαρσίαν ὁ ἡμέτερος
λόγος ἐπρέσβευεν ὥς ποτε περὶ αὐτὸν μὴ οὖσαν ἢ ὡς οὐκ
ἐσομένην ποτέ, καιρὸν ἂν εἶχε ταῦτα ἐπὶ διαβολῇ καθ'
449 ἡμῶν λέγειν. εἰ δὲ ἀεὶ ὡσαύτως ἔχειν καὶ ὃ νῦν ἐστι πάν-
τοτε εἶναι τὸ θεῖον ὁ ἡμέτερος διορίζεται λόγος καὶ οὐδὲν
ἐκ παραυξήσεως αὐτῷ τινος καὶ προσθήκης τῶν μὴ προσ-
όντων προσγίνεσθαι, ἀλλ' ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν
νοουμένῳ καὶ λεγομένῳ πάντοτε εἶναι, πῶς μὴ κατὰ φύσιν
αὐτῷ προσμαρτυρεῖν τὴν ἀφθαρσίαν διαβαλλόμεθα;
450 Ἀλλ' ἐκ τῆς ὑπαναγνωσθείσης τῷ διδασκάλῳ ῥή-
σεως τῆς τοιαύτης τοῦ λόγου διαβολῆς εἰληφέναι τὰς

MCT 4 ante τοῦ θεοῦ spatium vel rasura quinque vel sex litterarum C 5 ἐπιβάλλωμεν v 8 ὠνομάσθη ἀγέννητον v 9 ἐνθεωρούντων M 14 ἐφ' ο (sic) C 21 ἐπιγενηματικὴν CT 24 ἔχειν T: ἔχει C v ἴσχει M

ἀφορμὰς σχηματίζεται, ὡς ἐκ τῆς παραθέσεως τῶν αἰώνων
τῷ θεῷ τὴν ἀφθαρσίαν ἡμῶν ποριζόντων. εἰ μὲν οὖν παρ'
ἡμῶν τὸ ἡμέτερον ῥητὸν προεφέρετο, ὕποπτος ἂν ἦν ἴσως
εἰς ἀπολογίαν ὁ λόγος, ὡς νῦν ἡμῶν ἐπιδιορθουμένων καὶ
πρὸς τὸ ἀνεύθυνον μετατιθέντων τὰς ὑπαιτίους φωνάς·
ἐπεὶ δὲ παρὰ τοῦ ἐχθροῦ τὰ ἡμέτερα λέγεται, τίς ἂν
ἰσχυροτέρα γένοιτο τῆς ἀληθείας ἀπόδειξις αὐτῆς τῆς τῶν
451 ἀντιδικούντων ἡμῖν μαρτυρίας; πῶς τοίνυν ὁ παρ' ἡμῶν
ἔχει λόγος ὃν ἐπὶ διαβολῇ προχειρίζεται καθ' ἡμῶν ὁ
Εὐνόμιος; ,,ὅταν, φησί, τοῖς ἐπερχομένοις αἰῶσι τὸν νοῦν
ἐπιβάλωμεν, τὸ ἀόριστον καὶ ἄπειρον καὶ οὐδενὶ τέλει κατα-
ληπτὸν προσηγορεύσαμεν ἄφθαρτον.'' ἆρα τῷ πορίσαι τὸ
προσαγορεῦσαι ταὐτὸν ὁ Εὐνόμιος οἴεται; καὶ τίς οὕτως
ἔξω τοῦ καθεστηκότος ἐστίν, ὡς τὰς ἰδιαζούσας τῶν ῥη-
452 μάτων τούτων ἀγνοεῖν ἐμφάσεις; πορίζει μὲν γὰρ ὁ τὸ μὴ
προσὸν αὐτῷ κτησάμενος, προσαγορεύει δὲ ὁ τὸ ὂν σημαν-
τικῶς ὀνομάζων. πῶς οὖν ἐπὶ τούτοις ὁ τῆς ἀληθείας
φροντιστὴς οὐκ αἰσχύνεται ἐν προδήλῳ τῇ συκοφαντίᾳ τὴν
διαβολὴν συμπεραίνων; καὶ καθάπερ οἱ ἔκ τινος πάθους
μὴ βλέποντες ἐν ὄψεσι τῶν βλεπόντων ἀσχημονοῦσι τὸ παρ'
αὐτῶν μὴ ὁρώμενον καὶ παρὰ τῶν ὑγιαινόντων ἀγνοεῖσθαι
νομίζοντες, τοιοῦτόν τι πέπονθεν ὁ ὀξυδερκὴς οὗτος καὶ
ταχὺς τὴν διάνοιαν τὴν ἰδίαν πρὸς τὴν ἀλήθειαν πήρωσιν
453 καὶ ἐν τοῖς ἀκούουσιν οἴεται. καὶ τίς οὕτως ἠλίθιος ὡς μὴ
παραθεῖναι τῇ διαβολῇ τὰ συκοφαντούμενα ῥήματα καὶ ἐκ
τῆς ἑκατέρων ἀναγνώσεως τὴν κακουργίαν τοῦ λογο-
γράφου φωρᾶσαι; ὁ ἡμέτερος λόγος προσαγορεύει τὸ ἄφθαρ-
τον, ἐκεῖνος κατηγορεῖ τοῦ τὴν ἀφθαρσίαν πορίζοντος. τί

10 φησί] Basilius videlicet loco citato   26 sq Basilius c. Eun I p 525 C

MCT 3 ἦν ante ἴσως v: post 4 ὁ λόγος collocant MCT minus apte propter clausulam   11 ἐπιβάλλωμεν v ἐπιάλωμεν M (sic) sed alt λ sscr   14-15 τούτων τῶν ῥημάτων v   18 φροντιστής: φωτιστὴς v   22 τοιοῦτόν τε M   26 ἀναγνώσεως MCT: ἀνταναγνώσεως v   27 φωρᾶσθαι v

κοινὸν ἔχει τὸ πορίζειν τῷ λέγειν; ἀπὸ τῶν ἰδίων ἕκαστος
εὐθύνεσθαι δίκαιος, οὐκ ἐκ τῶν ἀλλοτρίων ὑπέχειν τὰς
μέμψεις. νυνὶ δὲ κατηγορεῖ μὲν ἡμῶν καὶ ἡ πικρία πρὸς
ἡμᾶς βλέπει, κατακρίνει δὲ οὐδένα κατά γε τὸν ἀληθῆ
454 λόγον ἢ ἑαυτόν. εἰ γὰρ τὸ πορίζειν τῷ θεῷ τὴν ἀφθαρ-
σίαν ὑπαίτιον, τοῦτο δὲ παρ' οὐδενὸς ἄλλου πλὴν παρ'
αὐτοῦ λέγεται μόνου, ἄρα αὐτὸς ἑαυτοῦ γίνεται ὁ συκο-
φάντης κατήγορος, τὸ ἑαυτοῦ διαβάλλων, οὐ τὸ ἡμέτερον.
καὶ περὶ τοῦ κατὰ τὴν ἀγεννησίαν ὀνόματος ἡμεῖς μέν
φαμεν, ὅτι ὥσπερ τὸ ἀτελεύτητον τῆς ζωῆς ἄφθαρτον,
οὕτως τὸ ἄναρχον αὐτῆς ἀγέννητον ὠνομάσθη· οὑτοσὶ δὲ
παρὰ τῶν αἰώνων ἡμᾶς λέγει κατὰ πάντων τῶν γεννητῶν
προξενεῖν αὐτῷ τὰ πρεσβεῖα.
455 Σιωπῶ τὸ βλάσφημον ὅτι κοινοποιεῖ πρὸς πᾶν γεννητὸν
1064 M. τὸν μονογενῆ θεόν, τῇ περιληπτικῇ φωνῇ πρὸς ὁμοτίμους
ὑπολήψεις παντὶ τῷ διὰ γενέσεως ὑφεστῶτι τὸν υἱὸν τοῦ
θεοῦ κατάγων· ἀλλὰ τὴν ἀδιανόητον αὐτοῦ κακουργίαν
τοῖς συνετωτέροις τῶν ἀκροατῶν προθήσω τῷ λόγῳ.
π α ρ ὰ τ ῶ ν α ἰ ώ ν ω ν π ρ ο ξ ε ν ε ῖ Β α σ ί λ ε ι ο ς κ α τ ὰ
π ά ν τ ω ν τ ῶ ν γ ε ν ν η τ ῶ ν τ ῷ θ ε ῷ τ ὰ π ρ ε σ β ε ῖ α. τίς
ἡ ἀδιανόητος αὕτη κενοφωνία; πρόξενος θεοῦ ἄνθρωπος
γίνεται καὶ προξενεῖ διὰ τῶν αἰώνων αὐτῷ τὰ πρεσβεῖα; τίς
456 ἡ ματαία τῶν ἀνυποστάτων τούτων ῥημάτων κενεμβασία,
εἰ τὸ ὑπερεκπῖπτον τὴν διαστηματικὴν τῶν αἰώνων παρά-
τασιν ἐφ' ἑκάτερα τῆς θείας οὐσίας ἐμφαντικοῖς τισιν ὀνό-
μασιν ὁ διδάσκαλος εἶπεν σημαίνεσθαι ἐπὶ τοῦ, καθὼς
εἶπεν ὁ ἀπόστολος, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς ἔχοντος
τέλος, ὡς διαφόροις τοῖς ῥήμασι τὸ διάφορον σημανθῆναι
τῆς ὑπολήψεως, καὶ διὰ τοῦτο τὸ μὲν πάσης ἀρχῆς ἀνώ-
τερον ἄναρχον λέγεσθαι καὶ ἀγέννητον, τὸ δὲ μηδενὶ τέλει

27 Hebr 7,3

MCT 1 ἔχειν (sic) τῷ λέγειν (om τὸ πορίζειν) v   ἕκαστον v   2 δίκαιον v   7 μόνον v   14 γενητὸν M   18 προσθήσω v   20 γενητῶν MC   23 τούτων om T   κενεμβασία M v: κενεμεσία CT

περιγραφόμενον ἀθάνατον ὀνομάσαι καὶ ἄφθαρτον; ταῦτα
πορισμὸν καὶ προξένησιν καὶ τὰ τοιαῦτα οὐκ
457 αἰσχύνεται γράφων. ἀλλὰ καὶ διχοτομεῖσθαι παρ'
ἡμῶν φησι τοὺς αἰῶνας, ὥσπερ οὐκ ἀνεγνωκὼς ἃ
παρέθετο ἢ ὡς ἐν ἐπιλήσμοσι τῶν λεγομένων τὸν ἑαυτοῦ
λόγον διατιθείς. τί φησιν ὁ διδάσκαλος; ἐὰν τὰ πρὸ τῆς
κτίσεως ἐννοήσωμεν καὶ τοὺς αἰῶνας τῷ λογισμῷ διαβάντες
τὸ ἀπερίγραπτον τῆς ἀϊδίου ζωῆς λογισώμεθα, τῇ τοῦ
ἀγεννήτου προσηγορίᾳ τὸ τοιοῦτον διασημαίνομεν νόημα,
κἂν εἰς τὸ ἐφεξῆς τὴν διάνοιαν τρέψωμεν καὶ περισσοτέραν
τῶν αἰώνων τὴν ζωὴν τοῦ θεοῦ καταλάβωμεν, διὰ τῆς
ἀτελευτήτου καὶ ἀφθάρτου φωνῆς τὴν διάνοιαν ταύτην
458 διερμηνεύομεν. ποῦ τέμνει τοὺς αἰῶνας ἐν τοῖς εἰρημένοις
ὁ λόγος, εἰ τὴν ἀϊδιότητα τοῦ θεοῦ κατὰ πᾶσαν ἐπιβολὴν
ἐπίσης προφαινομένην καὶ πανταχόθεν ὡσαύτως ἔχουσαν
καὶ μηδενὶ διαστήματι μετρουμένην τοῖς κατὰ δύναμιν
459 ἐξαγγέλλομεν ῥήμασί τε καὶ ὀνόμασιν; ἐπειδὴ γὰρ ἡ ἀν-
θρωπίνη ζωὴ διαστηματικῶς κινουμένη ἀπό τινος ἀρχῆς
εἴς τι τέλος προϊοῦσα διέξεισι καὶ μεμέρισται πρὸς τὸ
παρῳχηκός τε καὶ προσδοκώμενον ὁ τῇδε βίος, ὡς τὸ μὲν
ἐλπίζεσθαι τὸ δὲ μνημονεύεσθαι, τούτου χάριν ὡς πρὸς
τὴν ἡμετέραν σχέσιν τό τε παρῳχηκὸς καὶ τὸ προσδοκώ-
μενον τῆς διαστηματικῆς παρατάσεως ἐννοοῦντες, οὕτως καὶ
ἐπὶ τῆς ὑπερκειμένης φύσεως ἐκ καταχρήσεως λέγομεν,
οὐχ ὡς τοῦ θεοῦ διὰ τῆς ἰδίας ζωῆς κατόπιν ἑαυτοῦ τι
καταλιπόντος διάστημα καὶ πρὸς τὸ προκείμενον πάλιν ἐν
τῷ ζῆν διοδεύοντος, ἀλλ' ὡς τῆς ἡμετέρας κατανοήσεως
ὡς πρὸς τὴν ἰδίαν ἡμῶν φύσιν περινοούσης τὰ πράγματα
καὶ τὸ ἀΐδιον ἐν τῷ παρῳχηκότι καὶ μέλλοντι διαμετρούσης,

6 sq Basilius c Eun I p 525 C quem locum suis verbis Gregorius enarrat

MCT 2 ληρήματα post τοιαῦτα add v 5 ἐν om T 9 προσηγορίᾳ post ο unius litterae lac in rasura M 23 οὕτως om C 25 τι om CT 26 καταλιπόντες C 28 ὡς ante πρὸς om T v 29 παρ-ῳχηκότι v: παρόντι MCT (cf 20 et 22)

ὅταν μήτε τὸ κατόπιν περικόπτῃ προϊοῦσαν εἰς τὸ ἄπειρον
τοῦ ἀορίστου τὴν ἔννοιαν, μήτε τὸ ἔμπροσθεν σύστασίν τινα
460 καὶ ὅρον τῆς ἀπείρου ζωῆς ἐπαγγέλληται. εἰ ταῦτα καὶ
1065 M. νοοῦμεν καὶ λέγομεν, πῶς ἡμῖν ἡ τῶν αἰώνων ἐπιθρυλεῖται
τομή, εἰ μὴ καὶ τὴν ἁγίαν γραφὴν διχοτομεῖν τοὺς αἰῶνας
ὁ Εὐνόμιος λέγοι τῇ αὐτῇ διανοίᾳ τῆς θείας ζωῆς τὴν
ἀπειρίαν διασημαίνουσαν, τοῦ μὲν Δαβὶδ τὴν πρὸ τῶν
αἰώνων βασιλείαν ὑμνήσαντος, τοῦ δὲ Μωϋσέως τὴν ὑπὲρ
τοὺς αἰῶνας ἐκτεινομένην τοῦ θεοῦ βασιλείαν δείξαντος·
ὡς ἐξ ἀμφοτέρων ἡμᾶς διδαχθῆναι ὅτι πᾶν διαστηματικὸν
νόημα ἐντὸς τῆς θείας φύσεως περιείληπται, τῇ ἀπειρίᾳ
461 τοῦ τὸ πᾶν περιέχοντος ἁπανταχόθεν ἐμπερατούμενον. ὁ
μὲν γὰρ Μωϋσῆς εἰς τὸ ἐφεξῆς βλέπων βασιλεύειν αὐτόν
φησι τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι· ὁ δὲ μέγας Δαβὶδ
πρὸς τὸ κατόπιν ἀγαγὼν τὴν διάνοιαν εἶπεν Ὁ δὲ θεὸς
βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, καὶ πάλιν Εἰσακούσεται ὁ θεὸς
462 ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. ἀλλ' ὁ σοφὸς Εὐνόμιος ἐρ-
ρῶσθαι φράσας τοῖς τηλικούτοις καθηγηταῖς ἄλλην φησὶν
ἡμᾶς λέγειν ἄναρχον ζωήν, ἑτέραν δὲ τὴν ἀτελεύτητον
πάλιν καὶ αἰώνων τινῶν ἑτερότητας καὶ διαφορὰς συν-
διασχιζούσας τῇ ἑτερότητι ἑαυτῶν καὶ τὴν περὶ θεοῦ
φαντασίαν.
463 Ἀλλ' ὡς ἂν μὴ διὰ μακροῦ γένοιτο ἡμῖν ἡ πρὸς τὰ
εἰρημένα μάχη, αὐτὴν προθήσομεν ἀβασάνιστόν τε καὶ
ἀνεξέταστον τὴν ἐν τούτοις τοῦ Εὐνομίου φιλοπονίαν ἱκανὴν
οὖσαν δι' ὧν σπουδάζει περὶ τὸ ψεῦδος ἐκδηλοτέραν ποιῆσαι
τοῖς συνετοῖς τὴν ἀλήθειαν. ἐρωτᾷ γὰρ ἡμᾶς προϊὼν
τῷ λόγῳ, τί ποτε τοὺς αἰῶνας οἰόμεθα· καίτοι γε
δικαιότερον ἦν παρ' ἡμῶν αὐτῷ τὰ τοιαῦτα προτείνεσθαι
τῶν ἐρωτημάτων· τίς γάρ ἐστιν ὁ τοῦ θεοῦ τὴν οὐσίαν

13 Exod 15,18   15 Ps 73,12   16 Ps 54,20

MCT 4-5 τομὴ ἐπιθρυλλεῖται T 8 ὑμνήσαντος correxi: ὑπομνή-σαντος libri v 11 διανόημα v 12 τὸ ante πᾶν om v 13 ἐξῆς v 16 πρὸ αἰῶνος MCT: προαιώνιος v 24 προσθήσομεν T v τε om v 30 τίς γάρ MCT: αὐτὸς γάρ v

ἐπεγνωκέναι λέγων ὁ τὰ ἡμῖν ἀνέφικτα καταληπτὰ τῇ ἰδίᾳ
συνέσει διοριζόμενος; οὐκοῦν αὐτὸς ἡμῖν φυσιολογείτω τὴν
τῶν αἰώνων οὐσίαν ὁ τὰ ὑπερέκεινα κατειληφέναι κομπάζων,
καὶ τὸ ἀμφίκρημνον τοῦτο καὶ διλήμματον τῆς ἀποκρίσεως
μὴ λίαν φοβερῶς ἐπισειέτω τοῖς ἰδιώταις ἡμῖν, ὡς εἰ τόδε
τοὺς αἰῶνας εἶναι νομίσομεν, τῆσδε τῆς ἀτοπίας ὑπαπαν-
464 τώσης, καὶ εἰ τὸ ἕτερον, τῆς ἑτέρας. εἰ μὲν γὰρ
ἀϊδίους, φησί, λέγοιτε, Ἕλληνες ἔσεσθε καὶ
Οὐαλεντῖνοι καὶ βάρβαροι· εἰ δὲ γεννητούς,
οὐκέτι, φησίν, ὁμολογήσετε τῷ θεῷ τὸ ἀγέν-
νητον. ὢ τῆς ἀμάχου ταύτης καὶ ἀνανταγωνίστου ἐπι-
χειρήσεως· ἐάν τι γεννητὸν ὁμολογηθῇ, ὦ Εὐνόμιε, ἡ τοῦ
ἀγεννήτου ὁμολογία παραγραφήσεται. καὶ ποῦ σοι διερρυή-
κασιν αἱ τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον τεχνολογίαι, δι'
ὧν τὸ ἀνόμοιον τῆς τοῦ υἱοῦ πρὸς τὸν γεγεννηκότα οὐσίας
465 κατεσκευάζετο; ἔοικεν γὰρ ἀφ' ὧν νῦν διδασκόμεθα μὴ
ἀνομοίως ἔχειν ὁ πατὴρ κατὰ τὴν οὐσίαν ὡς πρὸς τὸ γεν-
νητὸν θεωρούμενος, ἀλλὰ καθόλου τῇ τοῦ ἀγεννήτου ὁμο-
λογίᾳ εἰς τὸ μὴ ὂν ἀναλύεσθαι, εἴπερ ἐὰν γεννητοὺς
εἴπωμεν τοὺς αἰῶνας, εἰς τὸ μηκέτι τὸν ἀγέννητον ὁμολο-
γεῖν ἐναγόμεθα. ἀλλ' ἴδωμεν τὴν ἀνάγκην δι' ἣν ἡμᾶς
πρὸς τὴν συγκατάθεσιν τῆς ἀτοπίας ταύτης συναναγκάζει.
466 ὧν γὰρ τῇ παραθέσει, φησί, προσγίνεται τῷ
θεῷ τὸ ἄναρχον, τούτων οὐκ ὄντων οὐκ ἔσται
τὸ προστιθέμενον. ὢ τῆς ἰσχυρᾶς ταύτης καὶ ἀφύκτου
λαβῆς· ὡς ἐκ τῶν μέσων ἡμᾶς τοῖς ἀλύτοις ἅμμασιν
1068 M. ἀθλητικῶς διασφίγξας ἔχει. τῇ παραθέσει τῶν αἰώνων
προσγίνεσθαι λέγει τῷ θεῷ τὸ ἀγέννητον. παρὰ τίνος
προσγίνεσθαι; τίς τοῦτό φησιν, ὅτι τῷ ἀνάρχως ὄντι ἐξ
ἐπικτήσεως διὰ παραθέσεώς τινων προσγίνεται τὸ ἀγέν-
νητον; οὔτε ἡ λέξις οὔτε ἡ διάνοια τῆς ἀτοπίας ταύτης
467 ἐν τοῖς ἡμετέροις ἐλέγχεται λόγοις. ἡ μὲν γὰρ λέξις ἑαυτῆς

MCT 3 τοῦ αἰῶνος T ἐπέκεινα v 6 νομίσαιμεν v 6-7 ὑπαν-τώσης T 9 γενητοὺς C 12 γενητὸν C 16 κατασκευάζετε v fort recte 19 ἐάν: ἂν v 21 δι' ἣν: δι' ἧς v

ἐστι συνήγορος οὐδὲν ἔχουσα τοιοῦτον οἷον καθ' ἡμῶν προ-
ενήνεκται· τῆς δὲ τῶν εἰρημένων ἐμφάσεως τίς ἂν ἐξηγητὴς
ἀξιοπιστότερος νομισθείη αὐτῶν τῶν πατέρων τοῦ λόγου;
οὐκοῦν ἡμεῖς δικαιότεροι λέγειν τί νοοῦμεν, ὅταν ἐπέκεινα
τῶν αἰώνων τὴν ζωὴν τοῦ θεοῦ εἶναι διοριζώμεθα· λέγομεν
468 δὲ ταῦτα ἅπερ ἐν τοῖς φθάσασιν εἴρηται. ἀλλά φησι τῆς
παραθέσεως τῶν αἰώνων οὐκ οὔσης ἀδύνατον εἶναι τὸ ἐκ
ταύτης τῷ θεῷ προστιθέμενον, προστεθεῖσθαι δὲ τὴν ἀγεν-
νησίαν λέγει. λεγέτω καὶ παρ' ὅτου τῷ θεῷ τὸ τοιοῦτον
προστέθειται. εἰ μὲν οὖν παρ' ἑαυτοῦ, γελοῖος ἂν εἴη τὴν
ἰδίαν ἄνοιαν ἐπικαλῶν τοῖς ἡμετέροις λόγοις· εἰ δὲ παρ'
ἡμῶν, ὑπαναγνώτω τὴν λέξιν, καὶ τὴν κατηγορίαν δεξόμεθα.
469 Ἀλλὰ παραδραμεῖν οἶμαι χρῆναι καὶ ταῦτα καὶ ὅσα
τούτων κατὰ τὸ ἀκόλουθον ἔχεται. παιδίων γὰρ ἄντικρύς
ἐστιν ἀθύρματα κατασκευάς τινας οἰκοδομημάτων ἐν ψάμμῳ
διατιθέντων. συνθεὶς γάρ τινα κώλου περίοδον καὶ μόλις
ἐπὶ τὸ πέρας διεξελθὼν τὴν αὐτὴν ζωὴν ἀποδεί-
κνυσιν ἄναρχόν τε εἶναι καὶ ἀτελεύτητον, ἡμε-
τέραν πληρῶν εὐχὴν ἐν τῇ τοιαύτῃ σπουδῇ. οὐδὲ γὰρ παρ'
ἡμῶν ἄλλο τι λέγεται ἢ ὅτι μία ἐστὶ καὶ συνεχὴς αὐτὴ
πρὸς ἑαυτὴν ἡ θεία ζωή, ἄπειρός τε καὶ ἀΐδιος καὶ οὐδα-
470 μόθεν οὐδενὶ πέρατι κωλυομένη πρὸς τὸ ἀόριστον. μέχρι
τούτων ὁ λογογράφος τοὺς ἑαυτοῦ πόνους καὶ τοὺς ἱδρῶτας
τῇ ἀληθείᾳ χαρίζεται, δεικνὺς τὴν αὐτὴν ζωὴν κατ' οὐδέ-
τερον μέρος περατουμένην, οὔτε εἰ τὸ πρὸ αἰώνων τις ἐξε-
τάζοι οὔτε εἰ τὸ μετὰ τοῦτο λογίζοιτο. ἀλλ' ἐν τοῖς ἐφεξῆς
πάλιν πρὸς τὴν ἰδίαν ἐπανέρχεται σύγχυσιν. εἰπὼν γὰρ
τὴν αὐτὴν εἶναι ζωὴν ἄναρχόν τε καὶ ἀτελεύτητον, ἀφεὶς
τὸν περὶ τῆς ζωῆς λόγον καὶ τὰς ἐπιθεωρουμένας ὑπο-
λήψεις τῇ θείᾳ ζωῇ εἰς μίαν τὰς πάσας ἔννοιαν συντάξας

MCT 1 ἐστι: ἔσται v 5 διοριζώμεθα T: διοριζόμεθα MC v 11 ἄνοιαν v: ἔννοιαν CT διάνοιαν M ἐγκαλῶν v 13 καὶ ante ταῦτα om M 15 τινας om M 16 διατεθέντων M 19 εὐχὴν πληρῶν v 23 τοὺς ante ἱδρῶτας om M 24 τῇ καθ' ἡμᾶς ἀληθείᾳ v 25-26 ἐξετάζει v 29 καὶ om M v

471 ἓν τὰ πάντα ἐποίησεν. εἰ γὰρ ἡ ζωή, φησίν, ἄναρχός τε καὶ ἀτελεύτητος καὶ ἄφθαρτός ἐστι καὶ ἀγέννητος, ταὐτὸν ἂν εἴη τῷ ἀγεννήτῳ ἡ ἀφθαρσία καὶ τῷ ἀτελευτήτῳ τὸ ἄναρχον. καὶ προστίθησι τούτοις τὴν ἐκ τῶν λογισμῶν συμμαχίαν· οὐ γὰρ δυνατόν, φησί, τὴν μὲν ζωὴν εἶναι μίαν, τὸν δὲ τοῦ ἀφθάρτου λόγον μὴ τὸν αὐτὸν εἶναι τῷ τοῦ ἀγεννήτου λόγῳ. καλῶς ὁ γενναῖος προστίθησι.
472 δοκεῖ δὲ μηδὲ τὸν τῆς δικαιοσύνης λόγον ἕτερον παρὰ τὰ εἰρημένα τυγχάνειν μηδὲ τὸν τῆς σοφίας καὶ τὸν τῆς δυνάμεως καὶ τὸν τῆς ἀγαθότητος καὶ ἑκάστου τῶν θεοπρεπῶν ὀνομάτων, καὶ μηδεὶς ἔστω λόγος κατὰ τὸ ἰδιάζον νοούμενος, ἀλλ' ἐπὶ παντὶ τῷ καταλόγῳ τῶν ὀνομάτων ἓν ὑποκείσθω τὸ σημαινόμενον, καὶ εἷς ὑπογραφῆς λόγος τὸν περὶ ἑκάστου τῶν λεγομένων ὅρον ἀποπληρούτω· κἂν ἐρωτηθῇς τὸ τοῦ κριτοῦ σημαινόμενον, τὴν τῆς ἀγεννησίας ἑρμηνείαν ἀπόκριναι, κἂν τῆς δικαιοσύνης δέῃ τὸν ὁρισμὸν
1069 M. ἀποδοῦναι, τὸ ἀσώματόν σοι πρόχειρον εἰς τὴν ἀπόκρισιν ἔστω· τί δὲ σημαίνει ἡ ἀφθαρσία, ὅπερ ἡ τοῦ ἐλέου πάν-
473 τως ἐρεῖς ἢ ἡ τῆς κρίσεως σημασία παρίστησιν. οὕτω καὶ τὰ καθ' ἕκαστα πάντα πρὸς ἄλληλα μεταχωρείτω, μηδεμιᾶς ἰδιαζούσης ἐμφάσεως τὸ ἕτερον τοῦ ἑτέρου διαστελλούσης. καὶ εἰ ταῦτα νομοθετεῖ ὁ Εὐνόμιος, τί μάτην αἱ γραφαὶ πολυωνύμως τὴν θείαν φύσιν ἀνακαλοῦσιν, θεὸν κριτὴν δίκαιον ἰσχυρὸν μακρόθυμον ἀληθινὸν ἐλεήμονα καὶ
474 ἄλλα πολλὰ τοιαῦτα κατονομάζουσαι; εἰ γὰρ οὐδὲν τῶν ὀνομάτων ἐπί τινος ἰδιαζούσης ἐννοίας καταλαμβάνεται, πάντα δὲ ἀλλήλοις διὰ τῆς κατὰ τὸ σημαινόμενον συγχύσεως ἀναπέφυρται, μάταιον ἂν εἴη πολλαῖς ἐπὶ τοῦ αὐτοῦ ταῖς ἐπωνυμίαις κεχρῆσθαι, μηδεμιᾶς τῆς κατὰ τὸ σημαινόμενον διαφορᾶς ἀπ' ἀλλήλων τὰ ὀνόματα διαστελλούσης.
475 ἀλλὰ τίς οὕτως ἀπόπληκτος ὡς ἀγνοεῖν ὅτι ἡ μὲν θεία

MCT 3 ἂν om M 9 δὲ post δοκεῖ om M μηδὲ om CT 21 καθ' ἕκαστα MCT: καθέκαστον v 26 τοιαῦτα πολλὰ C πολλὰ om M 28 σημαῖνον MCT 29 πολλοῖς T 32 ἀλλὰ om v ἀπόπληκτος οὕτως v

φύσις, ὅ τι ποτὲ κατ' οὐσίαν ἐστί, μία ἐστὶν ἁπλῆ τις καὶ μονοειδὴς καὶ ἀσύνθετος καὶ κατ' οὐδένα τρόπον ἐν ποικίλῃ τινὶ συνθέσει θεωρουμένη, ἡ δὲ ἀνθρωπίνη ψυχὴ χαμαὶ κειμένη καὶ ἐν τῷ γηΐνῳ τούτῳ βίῳ κατορωρυγμένη διὰ τὸ μὴ δύνασθαι τηλαυγῶς κατιδεῖν τὸ ζητούμενον πολλαῖς ἐννοίαις τῆς ἀφράστου φύσεως πολυτρόπως καὶ πολυμερῶς ἐπορέγεται, οὐ κατὰ μίαν τινὰ διάνοιαν τὸ κεκρυμμένον
476 θηρεύουσα; ἦ γὰρ ἂν εὔκολος ἦν ἡ κατάληψις, εἰ μία τις ἡμῖν ἔφοδος πρὸς τὴν θείαν ἀποκέκριτο γνῶσιν· νυνὶ δὲ διὰ μὲν τῆς ἐμφαινομένης τῷ παντὶ σοφίας σοφὸν εἶναι τὸ τοῦ παντὸς ἐπιστατοῦν ἐνοήσαμεν, διὰ δὲ τῆς τῶν θαυμάτων μεγαλουργίας δυνάμεως ἔμφασιν ἐδεξάμεθα, τὸ δὲ ἐξ ἐκείνου πᾶν ἐξῆφθαι πιστεύειν τοῦ μηδεμίαν αὐτοῦ τῆς ὑπάρξεως αἰτίαν εἶναι τεκμήριον γίνεται.
477 Πάλιν τὸ βδελυκτὸν τῆς κακίας νοήσαντες τὸ ἀναλλοίωτον αὐτοῦ καὶ ἀμιγὲς πρὸς κακίαν καταλαμβάνομεν τήν τε τοῦ θανάτου διαφθορὰν κακῶν ἔσχατον εἶναι νομίσαντες ἀθάνατόν τε καὶ ἄφθαρτον τὸν ἀλλότριον παντὸς τοιούτου νοήματος ὠνομάσαμεν, οὐ τὸ ὑποκείμενον ταῖς ἐννοίαις ταύταις συνδιασχίζοντες, ἀλλ' ὅ τι ποτὲ κατ' οὐσίαν ἐστίν, ἓν εἶναι πεπιστευκότες πρὸς πάσας τὰς τοιαύτας
478 ὑπολήψεις οἰκείως ἔχειν τὸ νοηθὲν ὑπειλήφαμεν. οὐ γὰρ μάχεται πρὸς ἄλληλα τὰ ὀνόματα κατὰ τὴν τῶν ἀντιθέτων φύσιν, ὡς εἰ τὸ ἓν ὑπάρχοι, μὴ ἂν αὐτῷ συνθεωρηθῆναι τὸ ἕτερον, ὡς οὐκ ἐνδέχεται ζωὴν ἅμα καὶ θάνατον περὶ τὸν αὐτὸν νοηθῆναι, ἀλλὰ τοιαύτη ἐστὶν ἑκάστου τῶν ἐπὶ τῆς θείας φύσεως λεγομένων ἡ ἔμφασις, ὥστε κἂν ἰδιάζῃ τῷ σημαινομένῳ, μηδεμίαν ἴσχειν πρὸς τὸ συνονομαζόμενον
479 ἐναντίωσιν. τί γὰρ ἐναντιοῦται τῷ ἀσωμάτῳ τὸ δίκαιον, κἂν μὴ συμβαίνῃ κατὰ τὴν ἔννοιαν ἀλλήλοις τὰ ῥήματα;

MCT 4-5 τῷ μὴ, om διὰ v 7 κατὰ τὴν μίαν v 9 ἀπεκέκριτο v 10-11 τὸν τοῦ παντὸς ἐπιστατοῦντα v 17 κακὸν CT 22 τὸ νοηθὲν post ὑπολήψεις collocant v 24 ὑπάρχει v τῷ ante αὐτῷ add M v 26 ἑκάστου v: ἑκάστη MCT

ποίαν δὲ μάχην ἡ ἀγαθότης ἔχει πρὸς τὸ ἀόρατον; οὕτως
οὐδὲ τὸ ἀΐδιον τῆς θείας ζωῆς διπλοῖς ὀνόμασί τε καὶ
νοήμασι γνωριζόμενον, τῷ ἀτελευτήτῳ καὶ τῷ ἀνάρχῳ, τῇ
διαφορᾷ τῶν ὀνομάτων συνδιατέμνεται· καὶ οὔτε ταὐτόν
ἐστι τῷ ἑτέρῳ κατὰ τὴν σημασίαν τὸ ἕτερον (τὸ μὲν γὰρ
τὴν τῆς ἀρχῆς τὸ δὲ τὴν τοῦ τέλους ἀλλοτρίωσιν ἔδειξεν)
1072 M. οὔτε μερισμόν τινα τοῦ ὑποκειμένου ἡ τῶν ἐπιθεωρουμένων
αὐτῷ νοημάτων διαφορὰ παρεσκεύασε.

480 Τὰ μὲν δὴ παρ' ἡμῶν ταῦτα, τὰ δὲ παρὰ τοῦ πολε-
μοῦντος ἡμῖν κατ' αὐτὴν μὲν τὴν τῆς λέξεως σύμφρασιν
τοιαῦτά ἐστιν, ὡς μηδεμίαν τὴν ἐκ τῶν λογισμῶν συμμα-
χίαν ἔχειν, ἀλλοκότως αὐτοῦ τὰς τοιαύτας στομφώδεις καὶ
ἀδιανοήτους φωνὰς ἐν κώλων καὶ περιόδων σχήματι πρὸς
τὸ συμβὰν ἀποπτύοντος. ὁ δὲ σκοπὸς τῶν λεγομένων οὗτός
ἐστι, τὸ μηδεμίαν εἶναι τῶν ποικίλων ὀνομάτων κατὰ τὰς
481 ἐμφάσεις διαφοράν. ἀνάγκη δὲ πᾶσα, ὡς ἔοικεν, αὐτὴν
ἐπὶ λέξεως παραθέσθαι τὴν ῥῆσιν, ὡς ἂν μὴ συκοφαντικῶς
ἐπιφέρειν αὐτῷ τι τῶν οὐ προσόντων δοκοίημεν. τῶν γὰρ
ἀληθῶν φησι λόγων ἐκ τῶν ὑποκειμένων καὶ
δηλουμένων πραγμάτων λαμβανόντων τὴν ἐπί-
κρισιν καὶ τῶν ἑτέρων ἑτέροις πράγμασι συν-
αρμοζομένων ὥσπερ αὖ καὶ τῶν αὐτῶν τοῖς
αὐτοῖς, ἐξ ἀνάγκης δεῖν δυοῖν εἶναι θάτερον, ἢ
καὶ τὸ πρᾶγμα τὸ δηλούμενον πάντως ἕτερον
482 ἢ μηδὲ τὸν δηλοῦντα λόγον ἕτερον. ταῦτα καὶ
πολλὰ ἐπὶ τούτοις ἄλλα τοιαῦτα πρὸς τὴν τοῦ προτεθέντος
αὐτῷ σκοποῦ κατασκευὴν διεξέρχεται, ἐκβαλὼν τοῦ λόγου
σχέσεις τινὰς καὶ παραθέσεις καὶ εἶδος καὶ μέτρον καὶ
μέρος καὶ χρόνον καὶ τόπον, ὡς διὰ τῆς τούτων ὑπεξαι-
ρέσεως τῆς οὐσίας ἐνδεικτικὴν τὴν ἀγεννησίαν γενέσθαι. ἡ

MCT 1 δὲ om CT   ἔχῃ M   4 οὔτε scripsi et verba a 5 τὸ μὲν usque ad 6 ἔδειξεν parenthesin esse significavi: οὐδὲ libri v   5 τὸ ἕτερον ὄνομα v   8 νοημάτων: ὀνομάτων v   16 verba ab ἀνάγκη δὲ πᾶσα usque ad 18 ἐπιφέρειν αὐ ... om v   23 δεῖ v   24 καὶ om M   29 τρόπον v

δὲ κατασκευὴ τοῦτον ἔχει τὸν τρόπον, λέξω δὲ τῇ ἐμαυτοῦ
483 λέξει τὸ νόημα. οὐκ ἄλλη τις, φησίν, ἡ ζωὴ παρὰ
τὴν οὐσίαν ἐστίν, ὡς ἂν μή τις σύνθεσις περὶ
τὴν ἁπλῆν νοοῖτο φύσιν, πρὸς τὸ μετέχον καὶ
μετεχόμενον τῆς ἐννοίας μεριζομένης· ἀλλ'
αὐτό, φησίν, ὅπερ ἐστὶν ἡ ζωή, οὐσία ἐστί, κα-
λῶς τὰ τοιαῦτα φιλοσοφῶν. οὐ γὰρ ἄν τις ἀντείποι τῶν νοῦν
ἐχόντων μὴ ταῦτα οὕτως ἔχειν.

484 Ἀλλὰ πῶς τὸν λόγον ἐπὶ τὸν σκοπὸν συνεπέρανεν; εἰ
τὸ ἄναρχον σημαίνοντες, φησί, τὴν ζωὴν ἐση-
μήναμεν, ταύτην δὲ τὴν ζωὴν οὐσίαν λέγειν ὁ
τῆς ἀληθείας ἀναγκάζει λόγος, αὐτῆς εἶναι
τῆς θείας οὐσίας φησὶ σημαντικὸν τὸ ἀγέννη-
τον. ἡμεῖς δὲ τὸ μὲν μὴ γεγεννῆσθαι παρ' ἑτέρου τὴν
θείαν ζωήν, ὅπερ σημαίνει ἡ τοῦ ἀνάρχου διάνοια, καὶ
αὐτοὶ συντιθέμεθα, αὐτὸ δὲ τὸ διὰ τῆς τοῦ μὴ γεγεννῆσθαι
λέξεως σημαινόμενον οὐσίαν νομίζειν μόνων τῶν ἐκ μανίας
485 παραφερομένων οἰόμεθα. τίς γὰρ οὕτως ἐξέστηκεν ὡς
ὁρισμὸν οὐσίας τὴν μὴ γέννησιν ἀποφήνασθαι; ὡς γὰρ
οἰκείως ἔχει πρὸς τὸ γεννητὸν ἡ γέννησις, οὕτω δηλαδὴ
καὶ τῷ ἀγεννήτῳ ἐφαρμοσθήσεται ἡ μὴ γέννησις. ὃ οὖν
οὐκ ἔστι περὶ τὸν πατέρα τῆς ἀγεννησίας ἐνδεικνυμένης,
πῶς ἡμεῖς εἰς οὐσίαν τὴν τοῦ μὴ προσόντος ἔνδειξιν συντι-
θέμεθα; ἀλλ' ἑαυτῷ δοὺς τὸ μήτε παρ' ἡμῶν μήτε ἐκ
τῆς τῶν τεθέντων ἀκολουθίας αὐτῷ συγχωρούμενον, τὸ
σημαντικὸν τῆς θείας ζωῆς τὴν ἀγεννησίαν εἶναι τοῦ θεοῦ
486 συνεπέρανεν. ὡς δ' ἂν μάλιστα καταφανὴς ὁ περὶ τὸν

MCT 2 ἄλλη τις: ἄλλο τι v   9 post συνεπέρανεν leviter, 12 post λόγος graviter interpungunt v   21-22 ὃ οὖν ... ἀγεννησίας ἐνδεικνυμένης libri v: verba 23 τὴν τοῦ μὴ προσόντος ἔνδειξιν ad ὅ referri non posse existimabat Wilamowitz, qui sic fere restitui haec volebat: πῶς ἡμεῖς εἰς οὐσίαν <τιθέμεθα; πῶς τῷ ποιοῦντι οὐσίαν> τὴν ... ἔνδειξιν συντιθέμεθα. ego ita interpretor: wenn nun die ἀγεννησία das bezeichnet, was nicht am Vater vorhanden ist, wie dürfen wir dann die blosse Bezeichnung dieses nicht an ihm Vorhandenen für seine Substanz ausgeben?   23-24 τιθέμεθα fortasse   26 θείας om CT

τόπον τοῦτον αὐτοῦ γένοιτο λῆρος, οὑτωσὶ τὸν λόγον διασκοπήσωμεν. δι' ὧν γὰρ ἐπὶ τοῦ πατρὸς εἰς τὴν ἀγεννησίαν τὸν τῆς οὐσίας περιήγαγε λόγον, ἐξετάσωμεν εἰ μὴ κατὰ τὸ ἴσον διὰ τῶν αὐτῶν ἐπιχειρημάτων καὶ τοῦ υἱοῦ τὴν οὐσίαν εἰς τὴν ἀγεννησίαν ἀνάξομεν.

487 Δεῖ, φησί, τῆς αὐτῆς ζωῆς καὶ τῆς εἰλικρι-
1073 M. νῶς μιᾶς ἕνα καὶ τὸν αὐτὸν εἶναι λόγον, κἂν τοῖς ὀνόμασι καὶ τῷ τρόπῳ καὶ τῇ τάξει φαίνηται διάφορος· τῶν γὰρ ἀληθῶν λόγων ἐκ τῶν ὑποκειμένων καὶ δηλουμένων πραγμάτων λαμβανόντων τὴν ἐπίκρισιν καὶ τῶν ἑτέρων ἑτέροις πράγμασι συναρμοζομένων, ὥσπερ αὖ καὶ τῶν αὐτῶν τοῖς αὐτοῖς, ἐξ ἀνάγκης δεῖν δυοῖν εἶναι θάτερον, ἢ καὶ τὸ πρᾶγμα τὸ δηλούμενον πάντως ἕτερον ἢ μηδὲ τὸν δηλοῦντα λόγον ἕτερον, μηδενὸς ὑποκειμένου πράγματος παρὰ τὴν τοῦ υἱοῦ ζωήν, ᾧ τις ἂν ἢ τὴν διάνοιαν
488 ἐπερείσειεν ἢ τὸν ἕτερον λόγον ἐπιρρίψειε. μή τίς ἐστιν ἐν τοῖς εἰρημένοις ἀναρμοστία, ὡς οὐ δέον ἐπὶ τοῦ μονογενοῦς τὰ τοιαῦτα λέγειν ἢ γράφειν; οὐχὶ καὶ ὁ υἱὸς αὐτός ἐστι ζωὴ εἰλικρινῶς μία; οὐχὶ καὶ ἐπ' αὐτοῦ ἕνα καὶ τὸν αὐτὸν εἶναι προσήκει λόγον, κἂν τοῖς ὀνόμασιν ἢ τῷ τρόπῳ καὶ τῇ τάξει φαίνηται διάφορος; οὐχὶ καὶ ἐπ' ἐκείνου τῶν δύο τὸ ἕτερον ἐξ ἀνάγκης στήσεται, ἢ καὶ τὸ πρᾶγμα τὸ δηλούμενον πάντως ἕτερον ἢ μηδὲ τὸν δηλοῦντα λόγον, μηδενὸς ὑποκειμένου πράγματος παρὰ τὴν ζωὴν αὐτοῦ, ᾧ τις ἂν ἢ τὴν διάνοιαν

17 verba τοῦ υἱοῦ Gregorius se inseruisse p 369, 4 fatetur pro Eunomii verbis τοῦ πατρός

MCT 2 πατέρος v 3 τῆς οὐσίας περιήγαγε τὸν λόγον M propter clausulam minus apte 4 αὐτῶν om CT 9 ἀληθῶν MCT: ἀληθῶς v 14 δυεῖν M καὶ post ἢ om M (cf 25) 18-19 a μή τίς ἐστιν usque ad 369, 1 ἐπιρρίψειεν om homoeoteleuto C 21 ἐστιν ἡ ζωὴ C 28 παρὰ M v: περὶ CT (cf 17 et 369, 7)

ἐπερείσειεν ἢ τὸν ἕτερον λόγον ἐπιρρίψειεν;
489 οὐδὲν παρ' ἡμῶν τοῖς περὶ τοῦ πατρὸς εἰρημένοις παρὰ τοῦ Εὐνομίου ἐμμέμικται, ἀλλ' ἐπ' αὐτῆς ἤλθομεν τῆς ὁμολογίας καὶ τῆς ἀκολουθίας, μόνον „τοῦ υἱοῦ" παρενθέντες τὸ ὄνομα. εἰ οὖν καὶ αὐτὸς μία ζωὴ εἰλικρινὴς πάσης συνθέσεως καὶ διπλόης κεχωρισμένη καὶ οὐδὲν ὑπόκειται πρᾶγμα παρὰ τὴν τοῦ υἱοῦ ζωήν (πῶς γὰρ <ἂν> ἐν τῷ ἁπλῷ μίξις ἀλλοτρίου πράγματος ὑποπτεύοιτο; οὐ γὰρ ἂν ἔτι ἁπλοῦν εἴη τὸ μεθ' ἑτέρου νοούμενον), ἁπλῆ δὲ ζωὴ καὶ ἡ τοῦ πατρὸς οὐσία, ἁπλῆς δὲ ζωῆς κατ' αὐτὸν τόν τε τῆς ζωῆς καὶ τὸν τῆς ἁπλότητος λόγον οὐδεμία τίς ἐστι διαφορά, οὔτε ἐπιτάσεως οὔτε ὑφέσεως οὔτε τῆς κατὰ τὸ ποσὸν ἢ ποιὸν ἑτερότητος τὴν παραλλαγὴν ἐμποιούσης, ἀνάγκη πᾶσα τὰ ταῖς αὐταῖς ἐννοίαις συμβαίνοντα καὶ
490 ὑπὸ τῶν αὐτῶν προσηγοριῶν ὀνομάζεσθαι. εἰ οὖν ἓν τὸ πρᾶγμα τὸ κατὰ τὴν ἁπλότητα τῆς ζωῆς ἐν πατρὶ καὶ υἱῷ καταλαμβάνεται, οὐδεμίαν τοῦ τῆς ἁπλότητος λόγου καθὼς εἴρηται παραλλαγὴν δεχομένου, ἀνάγκη πᾶσα τὸ τῷ ἑνὶ ἐφαρμοζόμενον ὄνομα καὶ πρὸς τὸ ἕτερον προσφυῶς ἔχειν· ὥστε εἰ ἡ ἁπλότης τῆς τοῦ πατρὸς ζωῆς τῷ τῆς ἀγεννησίας ὀνόματι διασημαίνεται, μηδὲ πρὸς τὴν τοῦ υἱοῦ ἁπλότητα
491 τὴν φωνὴν ἀνοικείως ἔχειν. ὥσπερ γὰρ τὸ λογικὸν καὶ θνητὸν καὶ νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἄνθρωπος ὀνομάζεται ὁμοίως ἐπί τε τοῦ Ἀδὰμ καὶ τοῦ Ἄβελ καὶ οὐδὲν τὴν τῆς φύσεως ἐπωνυμίαν ὑπήμειψεν, οὔτε ἐπὶ τοῦ Ἄβελ τὸ διὰ γεννήσεως οὔτε ἐπὶ τοῦ Ἀδὰμ τὸ ἄνευ γεννήσεως εἰς ζωὴν παρελθεῖν, οὕτως εἴπερ τὸ ἁπλοῦν καὶ ἀσύνθετον τῆς τοῦ πατρὸς ζωῆς ὄνομα τὴν ἀγεννησίαν ἔχει, ὡσαύτως καὶ ἐπὶ τῆς τοῦ υἱοῦ ζωῆς ἡ αὐτὴ ἔννοια τῇ αὐτῇ φωνῇ κατ' ἀνάγκην ἐφαρμοσθήσεται, εἴπερ δεῖ, καθώς φησιν ὁ Εὐνόμιος, δυοῖν θάτερον, ἢ καὶ τὸ πρᾶγμα τὸ δηλούμενον

MCT 2 τοῦ om CT 4-5 παρενθέντες: παρέντες M 5 καὶ om M μία om CT 6 διπλόης: πλοκῆς v 6-7 ἀπόκειται v 7 ἂν supplevi 27 οὕτως: οὔτε v τὸ om M 30 δεῖ correxi (cf p 368, 13): δὴ libri v 31 δυεῖν M cf p 368, 14

πάντως ἕτερον ἢ μηδὲ τὸν δηλοῦντα λόγον ἕτερον
εἶναι.
492 Ἀλλὰ τί τοῖς ματαίοις ἐμφιλοχωροῦμεν εἰκῇ, δέον
1076 M. αὐτὴν τοῖς φιλοπονωτέροις εἰς ἔλεγχον τῆς ἀνοίας τῶν λό-
γων προτείνειν τοῦ Εὐνομίου τὴν βίβλον καὶ δίχα τῶν εὐθυ-
νόντων αὐτόθεν οὐ μόνον τὸ τοῦ δόγματος βλάσφημον, ἀλλὰ
καὶ τὸ τῆς συνηθείας ἄτονον τοῖς συνετοῖς ἐπιδεικνύναι;
πολυτρόπως γὰρ οὐκ ἐπὶ τῆς ἡμετέρας ἐννοίας, ἀλλὰ κατὰ
τὸ αὐτῷ δοκοῦν τὸ τῆς ἐπινοίας ὄνομα παρερμηνεύων, καθ-
άπερ ἐν νυκτομαχίᾳ μηδενὸς διακρίνοντος τὸ φίλιόν τε καὶ
ἀλλότριον, δι' ὧν ἡμῖν προσπολεμεῖν οἴεται, τὸ ἴδιον δόγμα
493 κατακεντῶν οὐ συνίησιν. ᾧ γὰρ μάλιστα τῆς ἐκκλησίας
τῶν εὐσεβούντων ἑαυτὸν ἀλλοτριοῦν οἴεται δεῖν τοῦτό ἐστι,
τὸ κατασκευάζειν ὀψέ ποτε τὸν θεὸν γεγενῆσθαι
πατέρα καὶ τὸ τῆς πατρότητος ὄνομα νεώτερον
εἶναι τῶν λοιπῶν ὀνομάτων, ὅσα περὶ αὐτὸν
λέγεται. ἐξ ἐκείνου γὰρ αὐτὸν κληθῆναι πα-
τέρα ἀφ' οὗ προέθετο γενέσθαι πατὴρ καὶ
494 ἐγένετο. ἐπειδὴ τοίνυν ἐν τῷ λόγῳ τούτῳ κατα-
σκευάζει πάσας τὰς ἐπιλεγομένας τῇ θείᾳ
φύσει προσηγορίας κατὰ τὸ σημαινόμενον ἀλ-
λήλαις συμφέρεσθαι καὶ μηδεμίαν ἐν αὐταῖς
εἶναι διαφοράν, ἓν δὲ τῶν ἐπιλεγομένων ἐστὶν ὀνομάτων
καὶ ὁ πατήρ (ὡς γὰρ ἄφθαρτός τε καὶ ἀΐδιος, οὕτω καὶ
πατὴρ ὀνομάζεται), ἢ κυρώσει καὶ ἐπὶ τῆς φωνῆς ταύτης
τὴν περὶ τῶν λοιπῶν ὀνομάτων δόξαν καὶ διαφθερεῖ τὴν
πρώτην ὑπόληψιν, εἴπερ πάσαις ταῖς προσηγορίαις καὶ ἡ
495 τῆς πατρότητος ἔννοια συμπεριειλημμένη τύχοι (δῆλον γὰρ
ὅτι εἰ ταὐτὸν εἴη τὸ σημαινόμενον ἀφθάρτου τε καὶ πατρός,
ὡς ἀεὶ ἄφθαρτος, οὕτως ἀεὶ καὶ πατὴρ ὁμολογηθήσεται,
μιᾶς, ὥς φησι, πᾶσι τοῖς ὀνόμασι τῆς σημασίας οὔσης) ἢ

MCT 1 ἕτερον alt: ἕτερος T 6 οὐ μόνον iterat T 7 ἄτοπον Wilamowitz coll 371, 22 at cf 372, 7; 391. 6; 398, 4 et 23 10 φιλόπονόν τε v 12 ᾧ MCT: ὃ v 21-22 ἀλλήλας T 26 καὶ ante τὴν περὶ add T 27-28 καὶ ἡ πατρότης ἔννοια CT

εἰ φοβοῖτο ἐξ ἀϊδίου προσμαρτυρεῖν τῷ θεῷ τὴν πατρότητα,
λύσει κατ' ἀνάγκην τὸ ἐπιχείρημα, ἑκάστῳ τῶν ὀνομάτων
ἰδιάζουσαν ἐνυπάρχειν ὁμολογῶν σημασίαν, καὶ οὕτως ὁ
πολὺς αὐτῷ περὶ τῶν ὀνομάτων ὕθλος πομφόλυγος δίκην
496 ἀπορραγεὶς κατασβέννυται. εἰ δὲ ἀπολογοῖτο περὶ τῆς ἐν-
αντιότητος ὡς μόνης τῆς τοῦ πατρὸς καὶ τῆς τοῦ δημιουργοῦ
προσηγορίας ἐπιγεννηματικῶς τῷ θεῷ προσγενομένης, διὰ
τὸ ἐξ ἐνεργείας, ὥς αὐτὸς λέγει, ἑκατέρας ἐπι-
λέγεσθαι τῷ θεῷ τὰς φωνάς, περιγράψει τὴν πολλὴν
ἡμῶν περὶ τὸ προκείμενον ἀσχολίαν, ταῦτα ὁμολογῶν ἃ
πολλοῖς ἔδει πόνοις παρ' ἡμῶν διελέγχεσθαι. εἰ γὰρ μία
τῆς τε τοῦ δημιουργοῦ καὶ τῆς τοῦ πατρὸς φωνῆς ἡ ση-
μασία (ἐξ ἐνεργείας γὰρ ἑκατέρα), ἰσοδυναμεῖ πάντως
ἀλλήλοις καὶ τὰ διὰ τῶν φωνῶν σημαινόμενα· ὧν γὰρ τὸ
σημαινόμενον τὸ αὐτό, τούτων οὐδὲ τὸ ὑποκείμενον πάντως
497 διάφορον. εἰ οὖν ἐξ ἐνεργείας καὶ πατὴρ καὶ δημιουργὸς
ὀνομάζεται, ἔξεστι πάντως καὶ ὑπαλλάξαντι κατὰ τὸ ἀντι-
στρέφον τοῖς ὀνόμασι χρήσασθαι καὶ εἰπεῖν ὅτι καὶ δημιουρ-
γὸς τοῦ υἱοῦ καὶ πατὴρ τοῦ λίθου ἐστὶν ὁ θεός, εἴπερ
ἄμοιρόν ἐστι τὸ τοῦ πατρὸς ὄνομα τῆς κατὰ φύσιν σχετικῆς
σημασίας. τὸ δὲ διὰ τούτου κατασκευαζόμενον οὐκέτ' ἀμ-
498 φίβολον ἔχει τὴν ἀτοπίαν τοῖς γε νοῦν ἔχουσιν. ὡς γὰρ
ἄτοπόν ἐστι λίθον ἡγεῖσθαι θεὸν ἢ ἄλλο τι τῶν διὰ
1077 M. κτίσεως ὑποστάντων, οὕτως ὁμολογηθήσεται μηδὲ τῷ
μονογενεῖ θεῷ δεῖν προσμαρτυρεῖν τὴν θεότητα, μιᾶς
καὶ τῆς αὐτῆς τῆς κατὰ τὴν ἐνέργειαν σημασίας ἀμφοτέρας
τῷ θεῷ τὰς κλήσεις κατὰ τὸν Εὐνομίου λόγον προσμαρτυ-
ρούσης, καθ' ἣν καὶ πατὴρ καὶ δημιουργὸς ὀνομάζεται.
499 Ἀλλὰ τῶν προκειμένων ἐχώμεθα. διαβάλλων γὰρ
τὸν ἡμέτερον λόγον τὸν κατὰ διαφόρους ἐπιβολὰς λέγοντα
τὴν περὶ θεοῦ γνῶσιν ἡμῖν συναγείρεσθαι φησὶ μηκέτ'

MCT 3 ἐνυπάρχειν ἰδιάζουσαν v ἐνυπάρχειν om CT 4 πομφόλυγγος M 6 τοῦ ante δημιουργοῦ om CT 7 ἐπιγεννηματικῶς alterum v erasum C προσγινομένης M 12 τε om CT 13 ἑκα-τέρα M: ἑκάτερα CT v 21 τούτων T 29 διαβαλὼν M

αὐτὸν παρ' ἡμῶν ἁπλοῦν εἶναι κατασκευάζεσθαι ὡς μεταλαμβάνοντα τῶν νοημάτων τῶν δι' ἑκάστης προσηγορίας σημαινομένων καὶ διὰ τῆς ἐκείνων μετουσίας συμπληροῦντα ἑαυτῷ τὴν κατὰ τὸ εἶναι τελείωσιν. ταῦτα διὰ τῆς ἐμαυτοῦ λέξεως γράφω συντέμνων αὐτοῦ τὴν μακρὰν ἀδολεσχίαν.
500 ἀλλὰ πρὸς τὴν ματαίαν ταύτην οἶμαι καὶ ἄτονον περιττολογίαν οὐδὲ τὴν ἀντίρρησιν ἄν τινα τῶν εὖ φρονούντων ἔξω τῆς κατὰ τὴν ἄνοιαν κατηγορίας ποιήσασθαι. εἰ μὲν γάρ τι τοιοῦτον ἐν τοῖς παρ' ἡμῶν εἰρημένοις ἦν, ἔδει πάντως ἡμᾶς ἢ ἀνατίθεσθαι τὰ κακῶς εἰρημένα ἢ τὸ ἀμφίβολον τῆς διανοίας πρὸς τὸ ἀνεύθυνον τῆς ἑρμηνείας ἄγειν. ἐπεὶ δὲ οὔτε εἴρηται παρ' ἡμῶν τοιοῦτον οὐδὲν οὔτε ἡ τῶν εἰρημένων ἀκολουθία πρὸς τὴν τοιαύτην ἀνάγκην ἐξωθεῖ τὴν διάνοιαν, τί δεῖ τοῖς ὁμολογουμένοις ἐνδιατρίβοντα ἀπο-
501 κναίειν τοὺς ἐντυγχάνοντας τῇ παρατάσει τοῦ λόγου; τίς γὰρ οὕτως ἔξω διανοίας ἐστίν, ὡς ἀκούσας διὰ πολλῶν ἡμῖν νοημάτων τὰς εὐσεβεῖς περὶ θεοῦ ὑπολήψεις ἀθροίζεσθαι σύνθετον ἐκ διαφόρων τὸ θεῖον οἴεσθαι ἢ ἐκ μεταλήψεώς τινων ἑαυτῷ συναγείρειν τὴν τελειότητα; εὕρατό τις καθ' ὑπόθεσιν γεωμετρίαν, ὁ δὲ αὐτὸς οὗτος ὑπειλήφθω καὶ ἀστρονομίας εὑρετὴς εἶναι ἰατρικῆς τε πάλιν καὶ γραμματικῆς καὶ γεωμετρίας καὶ ἄλλων τοιούτων ἐπιτηδευμάτων τινῶν· ἆρ' ἐπειδὴ πολλὰ καὶ διάφορα τὰ ὀνόματα τῶν ἐπιτηδευμάτων περὶ τὴν μίαν θεωρεῖται ψυχήν,
502 σύνθετος διὰ τοῦτο ἡ ψυχὴ νομισθήσεται; καίτοιγε πλεῖστον διαφέρει τὸ κατὰ τὴν ἰατρικὴν σημαινόμενον τῆς ἀστρονομικῆς ἐπιστήμης καὶ ἡ γραμματικὴ πρὸς τὴν γεωμετρίαν οὐδεμίαν κατὰ τὸ σημαινόμενον τὴν κοινωνίαν ἔχει, οὐδ' αὖ πάλιν ἡ ναυτιλία καὶ ἡ γεωπονία· ἀλλὰ μὴν περὶ τὴν μίαν ψυχὴν ἑκάστου τούτων τὸν λόγον δυνατόν ἐστιν ἀθροισθῆναι, καὶ οὐ διὰ τοῦτο πολυσύνθετος ἡ ψυχὴ γίνεται οὐδὲ

MCT 6 γράφω om v 17 οὕτως add v, om MCT 18 ἡμῖν om v 23 γεωμετρίας CT: γεωπονίας M γεωργίας v cf 28 et 30 30 γεοπονία v 31 μίαν om v τούτων ἑκάστης v ἐστιν om v

πάντα τὰ ὀνόματα τῶν ἐπιτηδευμάτων πρὸς ἓν σημαινό-
503 μενον ἀνακίρναται. εἰ τοίνυν ὁ ἀνθρώπινος νοῦς διὰ τοσούτων ὀνομάτων τῶν περὶ αὐτὸν λεγομένων οὐδὲν εἰς τὴν ἁπλότητα βλάπτεται, πῶς ἄν τις οἰηθείη τὸν θεόν, εἰ σοφὸς καὶ δίκαιος καὶ ἀγαθὸς καὶ ἀΐδιος καὶ πάντα τὰ θεοπρεπῆ καλοῖτο ὀνόματα, εἰ μὴ μία πᾶσι νομισθείη τοῖς ὀνόμασι σημασία, ἢ πολυμερῆ γίνεσθαι ἢ ἐκ μετουσίας τούτων τὸ τέλειον ἑαυτῷ συναγείρειν τῆς φύσεως;
504 Ἀλλ' ἐξετάσωμεν αὐτοῦ καὶ τὴν σφοδροτέραν καθ' ἡμῶν κατηγορίαν ἔχουσαν οὕτως. εἰ δὲ δεῖ, φησίν, ἐπὶ τὸν ἀποτομώτερον χωρῆσαι λόγον, οὐδὲ τὴν οὐσίαν αὐτὴν ἀνεπίμικτον καὶ καθαρὰν φυλάσσει τῶν χειρόνων καὶ τῶν ἐναντίων. ἡ μὲν οὖν κατηγορία τοσαύτη, ὁ δὲ τῶν ἐγκλημάτων ἔλεγχος
1080 M. τίς; ἴδωμεν τὴν σφοδρὰν αὐτοῦ καὶ ῥητορικὴν καθ' ἡμῶν ἐπιχείρησιν. εἰ κατὰ τὸ ἀτελεύτητον, φησί, τῆς ζωῆς μόνον ἐστὶν ἄφθαρτος καὶ κατὰ τὸ ἄναρχον μόνον ἀγέννητος, καθ' ὃ μή ἐστιν ἄφθαρτος, φθαρτὸς ἔσται, καὶ καθ' ὃ μή ἐστιν
505 ἀγέννητος, γεννητὸς ἔσται. καὶ ἐπαναλαβὼν πάλιν τὸ αὐτό φησιν· ἔσται ἄρα κατὰ μὲν τὸ ἄναρχον ἀγέννητος ὁμοῦ καὶ φθαρτός, κατὰ δὲ τὸ ἀτελεύτητον ἄφθαρτος ὁμοῦ καὶ γεννητός. ὁ μὲν οὖν ἀποτομώτερος αὐτοῦ λόγος οὗτός ἐστιν, ὃν καθ' ἡμῶν προοίσειν ἠπείλησεν εἰς ἔλεγχον τοῦ τὴν οὐσίαν τοῦ θεοῦ λέγειν ἡμᾶς ἐπιμεμίχθαι τοῖς ἐναντίοις τε καὶ τοῖς χείροσιν. ἐγὼ δὲ φανερὸν μὲν ἡγοῦμαι τοῖς ἐρρωμένον ἔχουσιν ἐν ἑαυτοῖς τὸ τῆς ἀληθείας κριτήριον, ὅτι οὐδεμίαν ἐν τοῖς εἰρημένοις δεδωκότος τοῦ διδασκάλου τῷ συκοφάντη λαβήν, παραποιήσας οὗτος πρὸς τὸ δοκοῦν τὰ εἰρημένα τὴν μειρακιώδη ταύτην τοῦ σοφίσματος παιδιὰν συνεπέρανεν.

MCT 2 ἀνακιρνᾶται v 2-3 διὰ τοσούτων περὶ αὐτοῦ (om ὀνομάτων τῶν) v 8 ἑαυτῷ om CT 15 αὐτὴν ante τὴν add v 25 προοίσειν CT v: προήσειν M 28 ἔχουσιν ιν ex εν corr vid T ἐν ante ἑαυτοῖς om MCT 31 συνδιεπέρανεν v

506 πλὴν ὡς ἂν ἐκδηλότερον πᾶσι γένοιτο τοῖς ἐντυγχάνουσιν, ἐκεῖνό τε πάλιν ἐπὶ λέξεως ἀναγνώσομαι καὶ ἀντιπαραθήσω τούτοις τοῦ Εὐνομίου τὰ ῥήματα. ,,ἄφθαρτον, φησὶν ὁ διδάσκαλος, καὶ ἀγέννητον τὸν θεὸν τῶν ὅλων λέγομεν κατὰ διαφόρους ἐπιβολὰς τοῖς ὀνόμασι τούτοις χρώμενοι· ὅταν μὲν γὰρ εἰς τοὺς κατόπιν αἰῶνας ἀποβλέψωμεν, ὑπερεκπίπτουσαν πάσης περιγραφῆς εὑρίσκοντες τὴν ζωὴν τοῦ θεοῦ ἀγέννητον αὐτὸν λέγομεν· ὅταν δὲ τοῖς ἐπερχομένοις αἰῶσι τὸν νοῦν ἐπιβάλωμεν, τὸ ἀόριστον καὶ ἄπειρον καὶ οὐδενὶ
507 τέλει καταληπτὸν προσηγορεύσαμεν ἄφθαρτον. ὡς οὖν τὸ ἀτελεύτητον τῆς ζωῆς ἄφθαρτον, οὕτω καὶ τὸ ἄναρχον αὐτῆς ἀγέννητον ὠνομάσθη, τῇ ἐπινοίᾳ ἐνθεωρούντων ἡμῶν ταῦτα.'' οὗτος τοῦ διδασκάλου ὁ λόγος, τοῦτο παιδεύων ἡμᾶς διὰ τῶν εἰρημένων, ὅτι μία οὖσα τῇ φύσει καὶ συνεχὴς πρὸς ἑαυτὴν ἡ θεία ζωὴ οὔτε ἀπὸ ἀρχῆς τινος ἄρχεται οὔτε πέρατί τινι περιγράφεται, καὶ ὅτι τὰς ἐπιθεωρουμένας τῇ ζωῇ ταύτῃ ἐννοίας ἔξεστι δι' ὀνομάτων τινῶν φανερὰς
508 καταστῆσαι. τό τε γὰρ μὴ ἐξ αἰτίας εἶναί τινος διὰ τῆς τοῦ ἀνάρχου τε καὶ ἀγεννήτου φωνῆς ἐξαγγέλλομεν, καὶ τὸ μηδενὶ περιγράφεσθαι τέλει μηδὲ εἰς φθορὰν διαλύεσθαι, τοῦτο ἡ τοῦ ἀφθάρτου τε καὶ ἀτελευτήτου διασημαίνει λέξις· καὶ τούτῳ διορίζεται τὸ δεῖν ἐπὶ τῆς θείας ζωῆς τὸ μὲν τὴν ἀρχὴν μὴ ἔχειν ἀγεννήτως εἶναι λέγειν, τὸ δὲ ἀτελευτήτως εἶναι ἄφθαρτον κατονομάζειν, ἐπειδὴ πᾶν τὸ τοῦ εἶναι παυσάμενον ἐν ἀφανισμῷ γίνεται πάντως, ἀφανισμὸν δὲ τοῦ ὄντος ἀκούσαντες τὴν τοῦ συνεστῶτος φθορὰν ἐνοήσαμεν. τὸν οὖν μηδέποτε τοῦ εἶναι παυόμενον ἀλλότριόν τε τῆς κατὰ φθορὰν διαλύσεως ὄντα ἄφθαρτον ὀνομάζεσθαι λέγει.

2 ἐπὶ λέξεως] hoc cum grano salis intellegendum est   3-13 Basilius c Eun I p 525 B-C

MCT 1 τοῖς ante πᾶσι add CT   3 τὰ Εὐνομίου ῥήματα CT v (cf p 380,2)   4 τὸν om v   9 ἐπιβάλλωμεν v   11 καὶ om T   12 θεωρούντων v   17 ἐπινοίας CT   18 τῷ τε γὰρ v   19 τῷ μηδενὶ v   22 τούτῳ correxi: τοῦτο libri v   22 τὸ μὲν v: τῷ μὲν MCT   23 τὸ δὲ v: τῷ δὲ MCT

509 Τί οὖν πρὸς ταῦτα ὁ Εὐνόμιος; εἰ κατὰ τὸ ἀτελεύτητον, φησί, τῆς ζωῆς μόνον ἐστὶν ἄφθαρτος καὶ κατὰ τὸ ἄναρχον μόνον ἀγέννητος, καθ' ὃ μή ἐστιν ἄφθαρτος, φθαρτὸς ἔσται, καὶ καθ' ὃ μή ἐστιν ἀγέννητος, γεννητὸς ἔσται. τίς ταῦτά
1081 M. σοι δέδωκεν, ὦ Εὐνόμιε, ὡς μὴ πάσῃ συνθεωρεῖσθαι τῇ ζωῇ τοῦ θεοῦ τὴν ἀφθαρσίαν; τίς διελὼν εἰς δύο τὴν θείαν ζωὴν ἰδιαζούσαις φωναῖς ἐπονομάζει τῶν ἡμιτόμων ἑκάτερον, ὥστε ᾧπερ ἂν τμήματι τοῦτο προσῇ τὸ ὄνομα,
510 μὴ προσεῖναι λέγειν αὐτῷ καὶ τὸ ἕτερον; τῆς σῆς αὕτη διαλεκτικῆς ἡ δριμύτης, τὸ τὴν ἀνάρχως οὖσαν ζωὴν φθαρτὴν εἰπεῖν εἶναι καὶ τῇ ἀφθάρτῳ μὴ συνθεωρεῖσθαι τὸ ἄναρχον· ὅμοιον ὥσπερ ἂν εἴ τις λογικόν τε καὶ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τὸν ἄνθρωπον εἶναι λέγοι, ἑκάτερον ἐφαρμόζων τούτων τῶν ὀνομάτων τῷ ὑποκειμένῳ κατὰ διάφορον ἐπιβολήν τε καὶ ἔννοιαν, ἔπειτα παρά τινος τοιούτου καταχλευάζοιτο διεξιόντος τὰ ὅμοια, ὅτι εἰ δεκτικὸς νοῦ καὶ ἐπιστήμης ὁ ἄνθρωπος, λογικὸς κατὰ τοῦτο εἶναι οὐ δύναται, ἀλλὰ καθ' ὃ δεκτικός ἐστιν ἐπιστήμης, τοῦτο μόνον ἔσται, τὸ δὲ ἕτερον οὐ χωρήσει ἡ φύσις, καὶ πάλιν εἰ λογικὸν ὁρίζοι τὸν ἄνθρωπον, οὐκέτι αὐτῷ τὸ δεκτικὸν τοῦ
511 νοῦ συγχωρήσει. καθ' ὃ γὰρ λογικός ἐστιν, ἀμέτοχος διανοίας ἀναδειχθήσεται. εἰ δὲ πρόδηλον ἐν τούτοις ἐστὶ παντὶ τὸ γελοῖόν τε καὶ ἀνόητον, οὐδὲ ἐπ' ἐκείνου πάντως ἀμφίβολον. ἀναγνοὺς γὰρ τοῦ διδασκάλου τὴν ῥῆσιν σκιὰν εὑρήσεις τὴν παιδιὰν τοῦ σοφίσματος. οὔτε γὰρ ἐν τῷ κατὰ τὸν ἄνθρωπον ὑποδείγματι τὸ δεκτικὸν τῆς ἐπιστήμης ὑπὸ τοῦ λόγου κωλύεται ἢ ὑπὸ τοῦ δεκτικοῦ τῆς διανοίας ὁ λόγος, οὔτε τὸ ἀΐδιον τῆς θείας ζωῆς ἢ τὸ ἄφθαρτον οὐκ ἔχει, ἐὰν ἄναρχον ᾖ, ἢ εἴπερ τὴν ἀφθαρσίαν τις αὐτῇ
512 μαρτυρήσειε, τὸ ἀνάρχως εἶναι ἀφαιρεθήσεται. ἀλλ' ὁ τῇ

MCT 3 verba a καθ' ὃ μή ἐστιν usque ad 4 ἔσται καὶ M: om CT v cf p 380,4-5   7 εἰς: ἐν v   9 προσῆν v   15 ἐφαρμοζόντων CT   21 ὁρίζοι correxi: ὁρίζει M ὁρίζεις T ὁρίζῃ C v   22 συγχωρήσεις v   30 ἢ ἄναρχον CT

τέχνῃ τῆς διαλεκτικῆς ἀγχινοίας ἀναζητῶν τὴν ἀλήθειαν ἐκ τῶν ἰδίων τῷ ἡμετέρῳ λόγῳ παρενθεὶς ἃ ἐβούλετο ἑαυτῷ μάχεται καὶ ἑαυτὸν ἀνατρέπει, τῶν ἡμετέρων οὐ προσαπτόμενος. τὸ γὰρ παρ' ἡμῶν οὐδὲν ἕτερον ἦν ἢ τὸ τὴν ἀνάρχως οὖσαν ζωὴν ἀγέννητον δι' ἐπινοίας ὀνομάζεσθαι λέγειν, ὀνομάζεσθαι, οὐχὶ γίνεσθαι, καὶ τὴν εἰς τὸ ἀόριστον προϊοῦσαν τῇ τοῦ ἀφθάρτου σημαίνειν προσηγορίᾳ, οὐ ποιεῖν
513 ἄφθαρτον, ἀλλὰ σημαίνειν οὖσαν τοιαύτην. ὥστε τὸ μὲν ἀόριστον καθ' ἑκάτερον εἶναι τὴν θείαν ζωὴν τοῦ ὑποκειμένου ἴδιον εἶναι, τὸ δὲ οὕτως ἢ οὕτως τὰ ἐπιθεωρούμενα τῷ ὑποκειμένῳ νοήματα λέγεσθαι περὶ τὴν φωνήν ἐστι μόνον τὴν ἐνδεικτικὴν τοῦ σημαινομένου νοήματος. ἓν νόημα περὶ τὴν θείαν ζωὴν τὸ μὴ ἐξ αἰτίας αὐτὴν εἶναι· τοῦτο ἡ τοῦ ἀγεννήτου λέξις ἐνδείκνυται. ἕτερον νόημα περὶ τὴν θείαν ζωὴν τὸ ἀόριστον αὐτὴν εἶναι καὶ ἀτελεύτητον· τοῦτο ἡ τοῦ ἀφθάρτου προσηγορία παρίστησιν· ὥστε τὸ μὲν ὑποκείμενον εἶναι, ὅπερ ἐστίν, ὑπὲρ πᾶν ὄνομά τε καὶ νόημα, τὸ δὲ μήτε ἐξ αἰτίας αὐτὸ εἶναι μήτε εἰς τὸ ἀνύπαρκτόν ποτε περιΐστασθαι, ταῦτα διὰ τῆς τῶν ὀνομάτων τούτων ἐπινοίας σημαίνεσθαι.

514 Τί τοίνυν ἐκ τῶν ἡμετέρων αὐτὸν πρὸς τὴν ἀνόητον ταύτην παιδιὰν παρεκίνησεν, ὥστε πάλιν ἐπαναλαβόντα τὸ ἴσον εἰπεῖν ἐν τούτοις τοῖς ῥήμασι· *ἔσται ἄρα κατὰ μὲν τὸ ἄναρχον ἀγέννητος ὁμοῦ καὶ φθαρτός, κατὰ δὲ τὸ ἀτελεύτητον ἄφθαρτος ὁμοῦ καὶ γεννητός.* τοῦτο δὲ κἂν μὴ παρ' ἡμῶν διευκρινηθῇ τῷ λόγῳ, παντὶ πρόδηλόν ἐστι τῷ καὶ ὁπωσοῦν διανοίας μετέχοντι
1084 M. ὅπως ἐστὶ καταγέλαστον καὶ ἀνόητον, μᾶλλον δὲ ἀσεβὲς
515 καὶ κατάκριτον. ᾧ γὰρ λόγῳ κατασκευάζει τὴν τοῦ φθαρτοῦ πρὸς τὸ ἄναρχον συζυγίαν, τῷ αὐτῷ τρόπῳ παντὸς

MCT 4 ἦν ἕτερον v   6 λέγειν, ὀνομάζεσθαι om v   12 μόνην v   13 αὐτὴν om M   15 θείαν CT: αὐτὴν M v   αὐτὴν post ἀόριστον om T   17 εἶναι, ὅπερ ἐστίν: ἄναρχον εἶναι καὶ ἀτελεύτητον ὅπερ ἐστὶν v   19 παρίστασθαι v   20 σημαίνεται v   22 ἐπαναλαμβάνοντα v   23 ἐν om v   ἔσται ἄρα: ἐστὶ γὰρ v   24 φθαρτός: ἄφθαρτος v   28 τε post καταγέλαστον add v   30 φθαρτοῦ: ἀφθάρτου v

εὐσεβοῦς τε καὶ θεοπρεποῦς καταπαίζει ὀνόματος. οὐ γὰρ μόνον τὰ δύο ταῦτα περὶ τὴν θείαν θεωρεῖται ζωήν, τὸ ἀνάρχως τε εἶναι καὶ φθορὰν μὴ προσδέχεσθαι, ἀλλὰ καὶ ἄϋλός τε καὶ ἀόργητος λέγεται ἄτρεπτός τε καὶ ἀσώματος ἀόρατός τε καὶ ἀσχημάτιστος ἀληθής τε καὶ δίκαιος, καὶ ἄλλα μυρία περὶ τὴν θείαν ζωήν ἐστι νοήματα, ὧν ἕκαστον ἐφ' ἑαυτοῦ κατά τινα ἰδιάζουσαν ἔννοιαν ταῖς σημαντικαῖς
516 φωναῖς ἐξαγγέλλεται. παντὶ τοίνυν ὀνόματι, τῷ σημαντικῷ λέγω τῆς θεοπρεποῦς ὑπολήψεως, ἔξεστι συμπλέξαι τὴν ἐπινοηθεῖσαν παρὰ τοῦ Εὐνομίου κατὰ τὸ ἀλλόκοτον συζυγίαν. οἷον τὸ ἄϋλόν τε καὶ τὸ ἀόργητον ἀμφότερα λέγεται περὶ τὴν θείαν ζωήν, ἀλλ' οὐ κατὰ τῆς αὐτῆς διανοίας ἑκάτερον· τὸ μὲν γὰρ καθαρεύειν ὑλικῆς ἐπιμιξίας τὸ θεῖον διὰ τῆς τοῦ ἀΰλου φωνῆς ἐνοήσαμεν, ἐν δὲ τῷ ἀοργήτῳ ἡ
517 ἀλλοτρίωσις τοῦ κατὰ τὴν ὀργὴν πάθους σημαίνεται. ἐπιδραμεῖται τοίνυν καὶ τούτοις κατὰ τὸ εἰκὸς ὁ Εὐνόμιος καὶ τὸ ἴσον ἐν τοῖς εἰρημένοις ὀρχήσεται. λέξει γὰρ κατὰ τὸν αὐτὸν εἱρμὸν τὴν ἀτοπίαν συμπλέκων· εἰ καθὸ κεχώρισται τῆς ὑλικῆς ἐπιμιξίας, ἄϋλος λέγεται, κατὰ τοῦτο οὐκ ἔσται ἀόργητος, καὶ εἰ διὰ τὸ μὴ προσίεσθαι τὴν ὀργήν ἐστιν ἀόργητος, οὐκ ἔστι δυνατὸν ἐπ' αὐτοῦ ὁμολογεῖσθαι τὸ ἄϋλον, ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην ἐν μὲν τῷ καθαρεύειν ὕλης ἄϋλος ὁμοῦ καὶ ὀργίλος ἀναδειχθήσεται, ἐν δὲ τῷ τὴν ὀργὴν μὴ προσίεσθαι ἀόργητός τε καὶ ὑλικὸς κατὰ ταὐτὸν εὑρεθήσεται. οὕτως καὶ ἐπὶ τῶν ἄλλων ποιήσει
518 πάντων. καὶ εἰ δοκεῖ, προθῶμεν ἑτέραν συζυγίαν ὀνομάτων τοιαύτην, τὸ ἄτρεπτον λέγω καὶ τὸ ἀσώματον. τῶν γὰρ δύο τούτων ὀνομάτων ἑκατέρου κατὰ τὴν ἰδιάζουσαν ἔμφασιν ἐπὶ τῆς θείας λεγομένων ζωῆς, ὁμοίως καὶ ἐπ' αὐτῶν ἡ τοῦ Εὐνομίου σοφία κατασκευάσει τὴν ἀτοπίαν. εἰ γὰρ τὸ

MCT 3 προσδέχεσθαι: προσίεσθαι v   9 λέγω om v   11 τὸ ante ἀόργητον om M   14 τοῦ om v   φωνῆς: ἐννοίας v   ἡ om M   15 τὴν om M   ἐπισημαίνεται T   20 διὰ τὸ: τῷ T v   23 ὀργίλος: ἀόργητος C   24-25 κατὰ ταὐτὸν v (cf p 378,25): κατ' αὐτὸν (scilicet Eunomium) MCT   25 ποιήσει: εὑρήσεις v   27-28 τῶν γὰρ δύο v: τῶν δύο γὰρ M δύο γὰρ (om τῶν) CT

ἀεὶ ὡσαύτως ἔχον τῇ φωνῇ τοῦ ἀτρέπτου σημαίνεται καὶ τὸ νοερὸν τῆς οὐσίας ἡ τοῦ ἀσωμάτου προσηγορία παρίστησιν, ἐρεῖ πάντως τὰ αὐτὰ καὶ ἐπὶ τούτων ὁ Εὐνόμιος, ὅτι ἀσύμβατά ἐστι καὶ ἀλλότρια καὶ ἀκοινωνήτως ἔχει πρὸς ἄλληλα τὰ τοῖς ὀνόμασιν ἐνθεωρούμενα τούτοις νοήματα.
519 ἐν μὲν γὰρ τῷ πάντοτε ὡσαύτως ἔχειν τὸ θεῖον μόνον ἄτρεπτον ἔσται καὶ οὐκ ἀσώματον, ἐν δὲ τῷ νοερῷ τε καὶ ἀειδεῖ τῆς οὐσίας τὸ μὲν ἀσώματον ἔχει, τοῦ δὲ ἀτρέπτου κεχώρισται· ὥστε συμβαίνειν ὅταν μὲν τὸ ἀναλλοίωτον ἐπὶ τῆς θείας θεωρῆται ζωῆς, μετὰ τοῦ ἀτρέπτου καὶ σῶμα αὐτὴν εἶναι κατασκευάζεσθαι, ὅταν δὲ τὸ νοερὸν ἐξετάζηται, ὁμοῦ τε ἀσώματον αὐτὴν εἶναι καὶ τρεπτὴν διορίζεσθαι.
520 ταῦτα τοῦ Εὐνομίου τὰ σοφὰ κατὰ τῆς ἀληθείας εὑρήματα. τί γὰρ δεῖ πᾶσιν ἐπεξιόντα παρατείνειν ἐν ἀδολεσχίᾳ τὸν λόγον; ἔστι γὰρ ὁμοίως ἐπὶ πάντων τὴν ἀλογίαν ταύτην κατασκευαζομένην θεάσασθαι. καὶ γὰρ καὶ τὸ ἀληθινὸν καὶ τὸ δίκαιον ὁμοίως ἀλλήλοις κατὰ τὴν προλαβοῦσαν
1085 M. πλοκὴν μαχεσθήσεται· ἄλλο γὰρ τῆς ἀληθείας καὶ ἕτερον
521 τοῦ δικαίου τὸ σημαινόμενον. ὥστε εἰπεῖν ἂν ἐκ τοῦ ἀκολούθου καὶ περὶ τούτων Εὐνόμιον τῷ μὲν δικαίῳ τὸ ἀληθὲς μὴ παρεῖναι, τῇ δὲ ἀληθείᾳ λείπειν τὸ δίκαιον, καὶ συμβαίνειν ὅταν τὸ τῆς ἀδικίας ἀλλότριον ἐπὶ θεοῦ τις λογίζηται, δίκαιόν τε καὶ ψευδὲς εἶναι τὸ θεῖον κατὰ ταὐτὸν ἀποφαίνεσθαι, ἐὰν δὲ τὴν πρὸς τὸ ψεῦδος αὐτοῦ ἀλλοτρίωσιν λογιζώμεθα, ἀληθὲς ἅμα καὶ ἄδικον κατασκευάζειν
522 τὸ θεῖον. οὕτως τὸ ἀόρατον, οὕτως τὸ ἀσχημάτιστον. ἐξέσται γὰρ διὰ τῶν * κατὰ τὴν ὁμοιότροπον τοῖς προεκτεθεῖσι σοφίαν μήτε ἐν τῷ ἀσχηματίστῳ τὸ ἀόρατον εἶναι λέγειν μήτε ἐν τῷ ἀοράτῳ τὸ ἀσχημάτιστον, ἀλλὰ τῷ μὲν

8 ἀειδεῖ] cf Plato Phaed 79 B, 80 D al

MCT 3 τὰ αὐτὰ: τὰ τοιαῦτα M 10 θεωρῆται MC: θεωρεῖται T v 10-11 καὶ σῶμα αὐτὴν εἶναι καὶ τρεπτὴν διορίζεσθαι, ὅταν T 13 εὑρέματα MT 22 τοῦ ante θεοῦ add v 23 τε om v 27 διὰ τῶν MCT: διὰ τούτων v aliquid excidit, nisi delendum δ. τ. τοῖς om v 29 λέγειν post τῷ ἀοράτῳ iterat v

ἀοράτῳ συμπλέξει τὸ σχῆμα, ὁρατὸν δὲ διὰ τῆς ἀναστροφῆς κατασκευάσει τὸ ἀσχημάτιστον, τὰ αὐτὰ ἐπὶ τούτων εἰπών, ἃ περὶ τοῦ ἀφθάρτου τε καὶ ἀνάρχου ἐτεχνολόγησεν, ὅτι ὅταν τὸ ἀσύνθετον τῆς θείας ζωῆς λογιζώμεθα, ἀσχημάτιστον μὲν αὐτὴν ὁμολογοῦμεν, οὐ μὴν καὶ ἀόρατον, καὶ ὅταν τὸ μὴ δύνασθαι σωματικοῖς ὀφθαλμοῖς τὸν θεὸν ἰδεῖν ἐννοήσωμεν, τὸ ἀόρατον αὐτῷ συγχωρήσαντες τὸ ἔξω σχή-
523 ματος εἶναι οὐ συνθησόμεθα. εἰ δὲ ταῦτα καταγέλαστα πᾶσιν ὁμοίως δοκεῖ καὶ ἀνόητα, πολὺ μᾶλλον ἐκείνων τὴν ἀτοπίαν ὁ νοῦν ἔχων καταψηφίσεται, ὅθεν ὁρμηθεὶς ὁ λόγος ἐπὶ ταῦτα δι' ἀκολούθου τὴν ἀτοπίαν προήγαγεν.

Ἀλλ' ἐπιλαμβάνεται τῆς τοῦ διδασκάλου φωνῆς, ὡς οὐ δεόντως ἐν τῷ ἀτελευτήτῳ θεωρούσης τὸ ἄφθαρτον καὶ ἐν τῷ ἀφθάρτῳ νοούσης τὸ ἀτελεύτητον. οὐκοῦν τι παραπλήσιον τῇ ἀγχινοίᾳ τοῦ Εὐνομίου καὶ ἡμεῖς γελοιάσωμεν. ἐξετάσωμεν γὰρ τὴν τοιαύτην αὐτοῦ γνώμην περὶ τῶν ὀνο-
524 μάτων τούτων, ἥτις ἐστίν. ἄλλο τι φήσει τῷ σημαινομένῳ τὸ ἀτελεύτητον εἶναι παρὰ τὸ ἄφθαρτον ἢ ἓν τὰ δύο συνθήσεται. ἀλλ' εἰ μὲν ἓν ἀμφότερα λέγοι, τῷ ἡμετέρῳ συναγορεύσει λόγῳ· εἰ δὲ ἄλλο φήσει τοῦ ἀφθάρτου εἶναι καὶ ἕτερον τοῦ ἀτελευτήτου τὸ σημαινόμενον, ἀνάγκη πᾶσα ἐπὶ τῶν ἀλλοτρίως ἐχόντων πρὸς ἄλληλα μὴ τὸ αὐτὸ εἶναι κατὰ τὴν δύναμιν
525 τῷ ἑτέρῳ τὸ ἕτερον. οὐκοῦν εἰ ἄλλη τοῦ ἀφθάρτου ἡ ἔννοια καὶ τοῦ ἀτελευτήτου πάλιν ἑτέρα, καί ἐστι τούτων ἑκάτερον ὅπερ οὐκ ἔστι τὸ ἕτερον, οὔτε τὸ ἄφθαρτον ἀτελεύτητον εἶναι δώσει οὔτε τὸ ἀτελεύτητον ἄφθαρτον, ἀλλὰ φθαρτὸν μὲν ἔσται τὸ ἀτελεύτητον, τελευτητὸν δὲ τὸ ἄφθαρτον. ἀλλὰ παραιτοῦμαι τοὺς ἐντυγχάνοντας μὴ καθ'
526 ἡμῶν τρέψαι τὴν ἐπὶ τῷ γελοίῳ κατάγνωσιν. ταῦτα γὰρ ἡμεῖς πρὸς τὸν γελοιαστὴν ὑπ' ἀνάγκης ἐπαίξαμεν, ἵνα διὰ τῆς ὁμοίας παιδιᾶς τὴν μειρακιώδη τοῦ σοφίσματος αὐτοῦ πλοκὴν διαλύσωμεν. ἀλλ' εἰ μὴ βαρύ τε καὶ ὀχληρὸν τοῖς

MCT 2 τὰ αὐτὰ correxi: ταῦτα καὶ ἐπὶ C v 6 περὶ τοῦ μὴ δύνασθαι v 7 τῶ ἔξω M 14 τι: τὸ v 17 φησί v 26 τὸ ante ἀτελεύτητον om v

ἐντυγχάνουσι φαίνοιτο, οὐκ ἄκαιρον ἂν εἴη πάλιν ἐπὶ λέξεως ἐκθέσθαι τοῦ Εὐνομίου τὰ ῥήματα. εἰ κατὰ τὸ ἀτελεύτητον, φησί, τῆς ζωῆς μόνον ἐστὶν ἄφθαρτος καὶ κατὰ τὸ ἄναρχον μόνον ἀγέννητος, καθ' ὃ μή ἐστιν ἄφθαρτος, φθαρτὸς ἔσται, καὶ καθ' ὃ μή ἐστιν ἀγέννητος, γεννητὸς ἔσται. καὶ ἐπανα-
1088 M. λαβὼν τὸ αὐτὸ πάλιν φησὶν ἔσται ἄρα κατὰ μὲν τὸ ἄναρχον ἀγέννητος ὁμοῦ καὶ φθαρτός, κατὰ δὲ τὸ ἀτελεύτητον ἄφθαρτος ὁμοῦ καὶ γεν-
527 νητός. τὰς γὰρ ἀκαίρους ἐν τῷ μέσῳ τῶν περιττῶν παρενθήκας ὡς οὐδὲν πλέον εἰς τὴν τοῦ λόγου κατασκευὴν συντελούσας παρίημι. ἀλλὰ τὴν μὲν διάνοιαν τῶν ἡμετέρων λόγων, ἀφ' ὧν αὐτὸς οὗτος παρέθετο, παντὶ ῥᾴδιον οἶμαι κατανοῆσαι ὡς οὐδεμίαν ἔχει κοινωνίαν πρὸς τὴν κατασκευασθεῖσαν αὐτῷ καθ' ἡμῶν κατηγορίαν. ἄφθαρτον γὰρ καὶ ἀγέννητον τὸν θεὸν τῶν ὅλων λέγομεν, φησὶν ὁ διδάσκαλος, κατὰ διαφόρους ἐπιβολὰς τοῖς ὀνόμασι τούτοις
528 χρώμενοι. τῷ γὰρ ὑπερεκπίπτειν αὐτόν, φησί, τῆς τῶν αἰώνων περιγραφῆς κατὰ πᾶν διάστημα τῆς χρονικῆς παρατάσεως, εἴτε τὸ ἐξ ἀρχῆς εἴτε τὸ ἐφεξῆς λογιζοίμεθα, τὸ καθ' ἑκατέραν ἔννοιαν τῆς ἀϊδίου ζωῆς ἀόριστόν τε καὶ ἀπερίγραπτον τὸ μὲν τῷ τῆς ἀφθαρσίας ὀνόματι, τὸ δὲ τῷ τῆς ἀγεννησίας διασημαίνομεν. οὑτοσὶ δέ φησι λέγειν ἡμᾶς ὅτι τὸ ἄναρχον οὐσία ἐστὶ καὶ τὸ ἀτελεύτητον οὐσία πάλιν ἐστίν, ὡς δύο τμήματα οὐσιῶν κατὰ τὸ ἐναντίον λεγόμενα παρ' ἡμῶν συμβάλλεσθαι· καὶ οὕτω κατασκευάζει τὸ ἄτοπον, τὰ ἑαυτοῦ τιθεὶς καὶ τοῖς ἑαυτοῦ συμπλεκόμενος, καὶ τὰς παρ' ἑαυτοῦ συντεθείσας διανοίας ἐξωθῶν εἰς τὸ ἄτοπον
529 κατ' οὐδὲν τῶν ἡμετέρων προσάπτεται. τὸ γὰρ κατὰ τὸ ἀτελεύτητον τῆς ζωῆς μόνον τὸν θεὸν ἄφθαρτον εἶναι τούτου ἐστὶ καὶ οὐχ ἡμέτερον. ὡσαύτως καὶ τὸ ἄφθαρτον

15-24 sunt Basilii verba liberius reddita cf p 374,3-13

MCT 14 ἔχει: ἔχουσαν v 18 τὸ γὰρ v 20 λογιζόμεθα v 24 τὸ ante ἀτελεύτητον om v 29 κατ' οὐδὲν δὲ v

ἄναρχον μὴ εἶναι τῆς αὐτῆς ἐστιν ἀγχινοίας [τὸ] εὕρημα τῆς τὸ μὴ προσὸν εἰς τὸν τῆς οὐσίας λόγον κατατασσούσης. ἡμεῖς γὰρ οὐδὲν τῶν μὴ προσόντων οὐσίαν εἶναι διοριζό-
530 μεθα. οὐ πρόσεστι δὲ τῷ θεῷ οὔτε τὸ εἰς φθορὰν τὴν ζωὴν καταλῆξαι οὔτε τὸ ἀπὸ γεννήσεως τοῦ εἶναι ἄρξασθαι· ὅπερ διὰ τῶν δύο τούτων ὀνομάτων, τῆς τε ἀφθαρσίας καὶ τῆς ἀγεννησίας, παρίσταται. ὁ δὲ τὸν ἴδιον λῆρον τοῖς ἡμετέροις δόγμασιν ἐπιθρυλήσας ἑαυτὸν στηλιτεύων διὰ τῆς
531 κατηγορίας τῆς καθ' ἡμῶν οὐ συνίησιν. ὁ γὰρ οὐσίαν τὴν ἀγεννησίαν εἶναι διοριζόμενος εἰς αὐτὴν κατὰ τὸ ἀκόλουθον τὴν ἀτοπίαν ἐκβήσεται ἣν τοῖς ἡμετέροις δόγμασιν ἐπιφέρει. ἄλλο γὰρ τῆς ἀρχῆς καὶ ἄλλο τοῦ τέλους κατὰ τὴν διαστηματικὴν παράτασιν νοουμένων, εἰ μὲν τὴν ἑνὸς τούτων στέρησιν οὐσίαν τις εἶναι δοίη, ἐξ ἡμισείας αὐτοῦ τὴν ζωὴν ὑποστήσει μόνῳ τῷ ἀνάρχῳ ὑφεστῶσαν, πρὸς δὲ τὸ ἀτελεύτητον οὐκέτι διὰ τῆς φύσεως ἐπεκτείνουσαν, εἴπερ
532 φύσις ἡ ἀγεννησία νομίζοιτο· εἰ δὲ ἀμφότερά τις οὐσίαν εἶναι βιάζοιτο, ἀνάγκη πᾶσα κατὰ τὸν ἀποδοθέντα τοῦ Εὐνομίου λόγον ἑκάτερον τῶν ὀνομάτων κατὰ τὴν ἐγκειμένην ἔμφασιν καὶ ἐν τῷ τῆς οὐσίας λόγῳ τὸ εἶναι ἔχειν τοσοῦτον ὑπάρχον μόνον, ὅσον ἡ σημασία τῆς προσηγορίας ἐνδείκνυται· καὶ οὕτως ἰσχυρὸς ὁ τοῦ Εὐνομίου λόγος γενήσεται οὔτε τοῦ ἀνάρχου τὸ ἀτελεύτητον ἔχοντος οὔτε τοῦ ἀτελευτήτου τὸ ἄναρχον, ἐπειδὴ κατὰ τὸν λόγον αὐτοῦ καὶ οὐσία τῶν εἰρημένων ἐστὶν ἑκάτερον καὶ ἀμίκτως τὰ δύο ταῖς ἐννοίαις ἔχει πρὸς ἄλληλα, καὶ οὔτε ἡ ἀρχὴ πρὸς τὸ τέλος τὸν αὐτὸν ἔχει λόγον οὔτε τὰ ἀναιρετικὰ τούτων ὀνόματα πρὸς ἄλληλα ταῖς σημασίαις συμφέρεται.

533 Ὡς δ' ἂν καὶ αὐτὸς ἐπιγνοίη τὸν ἴδιον λῆρον, ἐκ τῶν
1089 M. παρ' ἐκείνου ῥηθέντων ἔσται ὁ ἔλεγχος. λέγει γὰρ τοῖς ἡμετέροις μαχόμενος ὅτι ὁ θεὸς καὶ κατὰ τὸ ἀτελεύτητόν

MCT 1 τῆς αὐτοῦ ἐστιν T τῆς αὐτῆς (om ἐστιν) v τὸ del Wilamowitz 5 τοῦ εἶναι MCT: τὸ εἶναι v 6 διὰ om CT 8 ἐπιθρυλλήσας M τῆς om CT 9 ὁ γάρ: οὐ γὰρ C 10 εἰς τοσαύτην v 13 παράστασιν v 31 καὶ ante κατὰ add v: om MCT

ἐστιν ἀγέννητος καὶ κατὰ τὸ ἀγέννητον ἀτελεύτητος, ὡς μιᾶς ἐν ἑκατέροις τῶν ὀνομάτων ἐμφάσεως οὔσης. εἰ τοίνυν καὶ κατὰ τὸ ἀτελεύτητόν ἐστιν ἀγέννητος καὶ ταὐτόν ἐστι κατὰ τὸ σημαινόμενον τὸ ἀτελεύτητόν τε καὶ ἀγέννητον, ἀτελεύτητον δὲ καὶ τὸν υἱὸν εἶναι συντίθεται, ἀγέννητον ἐκ τῆς ἀκολουθίας ταύτης καὶ τὸν υἱὸν κατ' ἀνάγκην συνθήσεται, εἴπερ ταὐτόν ἐστι, καθὼς εἴρηκε, τῷ ἀνάρχῳ τὸ
534 ἀτελεύτητον. ὡς γὰρ ἐν τῷ ἀγεννήτῳ βλέπει τὸ ἀτελεύτητον, οὕτως ὁμολογεῖ νενοηκέναι καὶ ἐν τῷ ἀτελευτήτῳ τὸ ἄναρχον. οὐ γὰρ ἂν ἐν τῷ ἴσῳ τὴν τῶν ὀνομάτων ἀναστροφὴν ἐποιήσατο. ἀλλὰ φύσει καὶ οὐ παραθέσει τῶν αἰώνων, φησίν, ὁ θεός ἐστιν ἀγέννητος. τίς δὲ ὁ περὶ τούτου μαχόμενος, τὸ μὴ φύσει τὸν θεὸν πᾶν
535 εἶναι ὅ τι καὶ λέγεται; καὶ γὰρ καὶ δίκαιον καὶ δυνατὸν καὶ πατέρα καὶ ἄφθαρτον οὔτε τῇ πρὸς τοὺς αἰῶνας παραθέσει λέγομεν τὸν θεὸν εἶναι οὔτε τῇ πρὸς ἕτερόν τι τῶν ὄντων ἀναφορᾷ, ἀλλὰ περὶ αὐτὸ τὸ ὑποκείμενον, ὅ τι ποτὲ κατὰ τὴν φύσιν ἐστίν, πᾶσαν εὐσεβῆ θεωροῦμεν ὑπόληψιν. ὡς εἴ γε καθ' ὑπόθεσιν μήτε αἰὼν μήτε τι ἄλλο τῶν κατὰ τὴν κτίσιν νοουμένων δεδημιούργητο, οὐδὲν ἧττον ἦν ἂν ὁ θεὸς ὅπερ νῦν εἶναι πεπίστευται, οὐδὲν τῶν αἰώνων εἰς τὸ
536 γενέσθαι ὅ ἐστι προσδεόμενος. ἀλλ' οὐκ ἐπείσακτον, φησίν, οὐδὲ σύνθετον οὐδὲ διάφορον ἔχει ζωήν· αὐτὸς γάρ ἐστιν ἡ ἀΐδιος ζωὴ κατ' αὐτὴν τὴν ζωὴν ἀθάνατος, κατ' αὐτὴν τὴν ἀθανασίαν ἄφθαρτος. ταῦτα καὶ περὶ τοῦ μονογενοῦς μεμαθήκαμεν, καὶ ὁ ἀντιλέγων οὐκ ἔστι, εἰ μή τις ἄρα ταῖς Ἰωάννου φωναῖς ἐκ τοῦ προφανοῦς διαμάχοιτο. οὔτε γὰρ ἐπεισήχθη τῷ υἱῷ ἡ ζωή (Ἐγὼ γάρ εἰμι, φησίν, ἡ ζωή) οὔτε σύνθετος

29 Joh 11,25

MCT 2 μιᾶς τῶν ὀνομάτων ἐν ἑκατέροις οὔσης ἐμφάσεως v 3 καὶ ante κατὰ add M v: om CT ἐστιν M v: om CT 11-12 παραθέσει φησὶ τῶν αἰώνων T 13 τούτων v 13-14 fortasse delenda sunt verba τὸ μὴ—λέγεται 17 τὸ αὐτὸ collocat M 18 τὴν om T 20 νοουμένων in margine add T 29 υἱῷ ζωὴ T

αὐτοῦ ἡ ζωὴ οὔτε διάφορος, ἀλλὰ κατ' αὐτήν ἐστι τὴν ζωὴν ἀθάνατος (<ἐν> τίνι γὰρ ἄν τις ἄλλῳ τὸ ἀθάνατον πλὴν ἐν ζωῇ θεωρήσειε;) καὶ κατ' αὐτὴν τὴν ἀθανασίαν ἄφθαρτος. τὸ γὰρ θανάτου κρεῖττον καὶ φθορᾶς πάντως ἐστὶν ἀνεπίδεκτον.

537 Μέχρι τούτου καὶ ὁ ἡμέτερος ἕπεται λόγος. τὸν δὲ συγγεγραμμένον τοῖς εἰρημένοις γρῖφον ἑρμηνευόντων οἱ τῇ Προυνίκου σοφίᾳ ἐγγυμνασθέντες· ἐξ ἐκείνης γὰρ δοκεῖ μοι τῆς παρασκευῆς τὰ εἰρημένα προενηνοχέναι. τί γάρ φησιν; ἄφθαρτος ὢν ἀνάρχως ἀγέννητός ἐστιν ἀτελευτήτως οὔτε καθ' ἕτερον οὔτε δι' ἕτερον οὔτε πρὸς ἕτερον λεγόμενος. ὁ γὰρ κεκαθαρμένος τὴν ἀκοὴν καὶ διορατικὸς τὴν διάνοιαν οἶδε καὶ πρὸ τῶν ἐμῶν λόγων ὅτι πλὴν τοῦ πατάγου τῶν ὀνομάτων, ἃ τῇ ἀλλοκότῳ αὐτῶν συμπλοκῇ κατεκρότησεν, οὐδὲν ἴχνος ἐπι-
538 στημονικῆς διανοίας ἐν τοῖς εἰρημένοις εὑρίσκεται. εἰ δὲ ἄρα τις καὶ σκιὰ νοήματος τῷ ψόφῳ τῶν ῥημάτων ἐνευ-
1092 M. ρεθείη, ἀσεβὲς τὸ εὑρεθὲν ἔσται πάντως ἢ καταγέλαστον. τί γὰρ νοῶν τοῦτο λέγεις, εἰπέ μοι, ὅτι ἄναρχός ἐστιν ἀτελευτήτως καὶ ἀτελεύτητος ἀνάρχως; ἆρα ταὐτὸν οἴει τὴν ἀρχὴν εἶναι τῷ τέλει καὶ καθ' ἑνὸς κεῖσθαι νοήματος τὰς δύο φωνάς, ὡς Πέτρου καὶ Σίμωνος αἱ προσηγορίαι ἕν τι τὸ ὑποκείμενον δι' ἑαυτῶν δηλοῦσι, καὶ τούτου χάριν ὥσπερ τὴν ἀρχὴν τῷ τέλει ταὐτὸν εἶναι νομίζεις, οὕτως συνάψας πρὸς μίαν σημασίαν τὰς δύο φωνὰς τὰς ἑκατέρου τούτων ἀναιρετικάς, τοῦ τέλους λέγω καὶ τῆς ἀρχῆς, ἐκ τοῦ ἀντιστρόφου νοήσας τῷ ἀνάρχῳ ταὐτὸν εἶναι τὸ ἀτελεύτητον μίαν τὰς δύο φωνὰς συγχέας ἐν ἀλλήλαις ἐποίησας,

MCT 1-2 κατὰ ταύτην τὴν ζωήν ἐστιν v 2 ἐν addidi 7 γρίφον T ἑρμηνευόντες v οἱ: ἡ M 8 Προυνίκου corr v (cf p 39,17): προνίκου M προνείκου CT 9 προσενηνοχέναι T 10 ἄφθαρτος: ἄναρχος v 10-11 ἀτελευτήτως: ἀγεννήτως v inter ἀτελευτήτως et οὔτε verba ἀτελεύτητός ἐστιν ἀτελευτήτως add v (cf 20; p 384,2) 12 λεγόμενον v 14 τῶν ὀνομάτων: τοῦ ὀνομάτων M 18 ἢ ante ἀσεβὲς add v 25 φωνάς: τιμὰς T 28 συγχέας ἐν ἀλλήλαις: συγχύσας ἀλλήλαις v

καὶ τοῦτό σοι βούλεται τῶν ὀνομάτων ἡ μίξις ἐν τῷ λέγειν
ἀγέννητον εἶναι ἀτελευτήτως καὶ ἀτελεύτητον ἀγεννήτως;
539 καὶ πῶς οὐκ εἶδες τὸ ἀσεβὲς ἐν τοῖς λεγομένοις ἅμα καὶ
καταγέλαστον; εἰ γὰρ ἐκ τοῦ ἴσου γίνεται διὰ τῆς καινῆς
ταύτης μίξεως ἡ τῶν ὀνομάτων ἀναστροφή, ὡς τὸ ἀγέν-
νητον ἀτελευτήτως εἶναι ἀγέννητον καὶ τὸ ἀτελεύτητον
ἀγεννήτως εἶναι ἀτελεύτητον, ἀνάγκη πᾶσα πᾶν ἀτελεύτητον
μὴ ἄλλως εἶναι εἰ μὴ ἀγεννήτως εἴη· καὶ οὕτως εὑρίσκεταί
σοι, ὦ φίλτατε, ἡ πολυθρύλητος ἀγεννησία ἡ μόνη κατὰ
σὲ τοῦ πατρὸς τὴν οὐσίαν χαρακτηρίζουσα κοινοποιουμένη
πρὸς πᾶν τὸ ἀθάνατον καὶ πάντα ποιοῦσα τῷ πατρὶ ὁμο-
ούσια, διὰ τὸ πᾶσιν ὁμοίως ἐμφαίνεσθαι, οἷς διὰ τῆς ἀθα-
νασίας πρόεισιν ἡ ζωὴ πρὸς τὸ ἄπειρον, ἀρχαγγέλοις ἀγγέ-
λοις ἀνθρωπίναις ψυχαῖς, τάχα δὲ καὶ αὐτῇ τῇ ἀποστατικῇ
540 δυνάμει, τῷ διαβόλῳ καὶ τοῖς δαίμοσιν. εἰ γὰρ τὸ ἀτελεύ-
τητόν τε καὶ ἄφθαρτον ἀγεννήτως κατὰ τὸν σὸν λόγον
πάντως ἐστί, παντὶ τῷ ἀτελευτήτῳ τε καὶ ἀφθάρτῳ συν-
θεωρεῖσθαι πάντως χρὴ τὸ ἀγέννητον. τούτοις περιπί-
πτουσιν οἱ πρὶν μαθεῖν ἃ προσήκει μαθεῖν, δι' ὧν διδάσκειν
541 ἐπιχειροῦσι τὴν ἑαυτῶν ἀμαθίαν δημοσιεύοντες. εἰ γὰρ εἶχέ
τινα διακριτικὴν ἐπιστήμην, οὐκ ἂν ἠγνόησε τὴν ἰδιαζόντως
ἐγκειμένην τῷ τε ἀνάρχῳ καὶ τῷ ἀτελευτήτῳ διάνοιαν, καὶ
ὅτι τὸ μὲν ἀτελεύτητον κοινὸν πάντων ἐστίν, ὅσα διαρκεῖν
πεπίστευται τῇ ζωῇ πρὸς τὸ ἄπειρον, τὸ δὲ ἄναρχον μόνου
542 ἐστὶ τοῦ ἄνευ αἰτίας ὄντος. πῶς οὖν ἔστι τὸ πάντων κοινὸν
ἰσοδύναμον ἐκείνων νομίσαι, ὃ μόνου τοῦ θεοῦ κατ' ἐξαί-
ρετον εἶναι παρὰ πάντων πεπίστευται, ὥστε διὰ τούτου ἢ
κοινοποιῆσαι πρὸς πάντα τὰ τῆς ἀθανασίας μετέχοντα τὸ
ἀγέννητον ἢ μηδὲν ἀθάνατον συγχωρεῖν εἶναι, εἴπερ μόνου
ἐστὶ τοῦ ἀγεννήτου τὸ ἀτελευτήτως εἶναι, καὶ τὸ ἔμπαλιν
εἰ τοῦ ἀτελευτήτου μόνου ἐστὶ τὸ ἀγεννήτως εἶναι. οὕτω
γὰρ ἂν εἶναι νομισθείη τὰ ἀτελεύτητα πάντα ἀγέννητα.

MCT 7 πᾶν om M v (cf 32) 9 πολυθρύλλητος M 15 δια-βόλῳ τε καὶ v 17 τε post ἀτελευτήτῳ om CT 22 τῷ ante ἀτελευτήτῳ om CT 26 τοῦ θεοῦ v: om MCT 29 μόνον v

543 Ἀλλ' ἐάσθω καὶ ταῦτα καὶ ἡ συνήθης αὐτοῦ λοι-
δορία, ἣν τοῖς εἰρημένοις ἐπήντλησε, μετὰ τούτων σιγάσθω,
πρὸς δὲ τὸ ἀκόλουθον ἔλθωμεν τῆς ἀναγνώσεως. τάχα δέ
μοι δοκεῖ καλῶς ἔχειν καὶ τὰ πλεῖστα τῶν ἐφεξῆς παρα-
δραμεῖν ἀνεξέταστα. ἐν πᾶσι γὰρ ὁ αὐτός ἐστιν οὐ τοῖς
1093 M. παρ' ἡμῶν συμπλεκόμενος, ἀλλ' ἑαυτῷ διδοὺς ὡς ἐκ τοῦ
ἡμετέρου δῆθεν τὰς πρὸς ἀντίρρησιν ἀφορμάς· οἷς τὸ δι'
ἀκριβείας ἐπεξιέναι μάταιον ἄν τις εἴποι τῶν κρίνειν ἐπε-
σκεμμένων, ἑκάστου τῶν μετὰ διανοίας ἐντυγχανόντων αὐτὸν
τῷ συγγράμματι ἐξ αὐτῶν τῶν λεγομένων τὴν συκοφαντίαν
544 καταλαμβάνοντος. πρεσβυτέραν λέγει τοῦ θεοῦ
τὴν ἀξίαν τῆς τοῦ ἡμετέρου καθηγητοῦ ἐπι-
νοίας. οὐδὲ ἡμεῖς ἀντιλέγομεν. ἡ γὰρ τοῦ θεοῦ ἀξία,
ἥντινα χρὴ καὶ ταύτην νομίζειν εἶναι, οὐ τῆς καθ' ἡμῶν
μόνον γενεᾶς προτερεύει, ἀλλὰ καὶ πάσης τῆς κτίσεως καὶ
αὐτῶν ὑπέρκειται τῶν αἰώνων. τί οὖν ἐκ τούτων τῷ λόγῳ
προσγίνεται, εἰ μὴ Βασιλείου μόνον, ἀλλὰ καὶ πάντων τῶν
ὄντων ἀνωτέρα ὁμολογεῖται τοῦ θεοῦ ἡ ἀξία; ναί, φησίν,
545 ἀλλὰ τὸ ὄνομα ἡ ἀξία ἐστίν. καὶ τίς ἀπέδειξε ταὐτὸν
εἶναι τῇ ἀξίᾳ τὴν προσηγορίαν, ἵνα καὶ ἡμεῖς τῷ λεγομένῳ
συνθώμεθα; φύσεως ἡμᾶς, φησί, διδάσκει θε-
σμὸς ἐν τοῖς ὀνομαζομένοις πράγμασιν, οὐκ ἐν
τῇ τῶν ὀνομαζόντων ἐξουσίᾳ κεῖσθαι τὴν τῶν
ὀνομάτων ἀξίαν. τίς οὗτος ὁ τῆς φύσεως νόμος καὶ
πῶς οὐ κατὰ πάντων κεκυρωμένος; εἰ γὰρ <ἡ> φύσις τὸ
τοιοῦτον ἐνομοθέτησε, κατὰ πάντων αὐτὴν ἔδει τὸ κράτος
ἔχειν τῶν κοινωνούντων τῆς φύσεως, ὥσπερ καὶ τὰ ἄλλα
546 πάντα ὅσα ἐστὶ τῆς φύσεως ἴδια. εἰ οὖν ὁ νόμος τῆς φύ-
σεως ἐκ τῶν πραγμάτων ἡμῖν ἀναφύεσθαι τὰς προσηγορίας
ἐποίει ὥσπερ ἐκ τῶν σπερμάτων ἢ τῶν ῥιζῶν τὰ βλαστή-
ματα, καὶ μὴ τῇ προαιρέσει τῶν δηλούντων τὰ πράγματα

MCT 7 λόγου post δῆθεν add T ante δῆθεν add C ἀντίρρησιν: ἀντίθεσιν v 21 συνθησώμεθα prius ut vid T, sed ησ erasum ἡμῶν v 25 ἡ addidi 28 ἐστὶ om v ὁ om v 30 ἐποίει v: ἐμποιεῖ MCT

τὰς σημαντικὰς τῶν ὑποκειμένων ἐπωνυμίας ἐπέτρεπε, πάντες ἂν ἦμεν οἱ ἄνθρωποι πρὸς ἀλλήλους ὁμόγλωσσοι. μὴ γὰρ παρηλλαγμένων τῶν ἐπικειμένων τοῖς πράγμασιν ὀνομάτων, οὐκ ἂν πρὸς ἀλλήλους κατὰ τὸ εἶδος διεφωνοῦμεν τοῦ λόγου. ὅσιόν φησιν εἶναι καὶ τῷ τῆς προνοίας νόμῳ προσφυέστατον ἄνωθεν ἐπικεῖσθαι τοῖς
547 πράγμασι τὰς φωνάς. πῶς οὖν ἠγνόησαν οἱ προφῆται τὸ ὅσιον καὶ τὸν τῆς προνοίας νόμον οὐκ ἐπαιδεύθησαν, οἱ μηδαμοῦ κατὰ τὸν σὸν λόγον τὴν ἀγεννησίαν θεοποιήσαντες; πῶς δὲ καὶ αὐτὸς ὁ θεὸς ἀγνοεῖ τὸ τοιοῦτον εἶδος τῆς ὁσιότητος, ὅς γε οὐκ ἄνωθεν ἐπιτίθησι τοῖς παρ' αὐτοῦ πλασθεῖσι ζῴοις τὰς προσηγορίας, ἀλλὰ τῷ Ἀδὰμ τὴν ἐξουσίαν τῆς ὀνοματοποιΐας χαρίζεται; εἰ γὰρ προσφυὲς τῷ τῆς προνοίας νόμῳ, καθώς φησιν ὁ Εὐνόμιος, καὶ ὅσιόν ἐστι τὸ ἄνωθεν ἐπικεῖσθαι τοῖς πράγμασι τὰς φωνάς, ἀνόσιον πάντως καὶ ἀνάρμοστον παρὰ τῶν κάτω τοῖς οὖσιν ἐφαρμοσθῆναι τὰς κλήσεις.

548 Ἀλλ' ὁ πάντων κηδεμών, φησί, δημιουργίας νόμῳ ταῖς ἡμετέραις ἐγκατασπεῖραι ψυχαῖς ἐδικαίωσε. καὶ εἰ ταῦτα ταῖς τῶν ἀνθρώπων ψυχαῖς κατεσπάρη, πῶς ἀπὸ Ἀδὰμ μέχρι τῆς σῆς παραβάσεως ὁ τῆς ματαιότητος ταύτης καρπὸς οὐκ ἐβλάστησε ταῖς ψυχαῖς, ὡς φῄς, τῶν ἀνθρώπων ἐγκείμενος, ὥστε ὄνομα τῆς τοῦ πατρὸς οὐσίας τὴν ἀγεννησίαν κληθῆναι; εἶπε γὰρ ἂν τοῦτο καὶ ὁ Ἀδὰμ καὶ οἱ καθεξῆς ἀπ' ἐκείνου πάντες, εἴπερ παρὰ τοῦ θεοῦ τῇ φύσει τὸ τοι-
549 οῦτον κατέσπαρτο. ὥσπερ γὰρ τὰ νῦν ἐκ τῆς γῆς φυόμενα ἐκ τῆς σπερματικῆς διαδοχῆς ἀπὸ τῆς πρώτης κτίσεως εἰς
1096 M. ἀεὶ διαμένει καὶ οὐδὲν ἐν τῷ παρόντι σπέρμα καινοτομεῖται παρὰ τῆς φύσεως, οὕτως καὶ ὁ λόγος οὗτος, εἴπερ ἦν, καθὼς σὺ φῄς, θεόθεν κατεσπαρμένος τῇ φύσει, τῇ πρώτῃ ἂν τῶν πρωτοπλάστων φωνῇ συνεβλάστησε καὶ τῇ διαδοχῇ

MCT 4 εἶδος M v: ἴσον CT   5 εἶναι om CT   9 μηδαμῶς v   28 τῆς ante σπερματικῆς om CT   30 παρὰ om CT   καὶ om CT   32 ἂν φωνῇ τῶν πρωτοπλάστων M

τῶν ἐπιγινομένων συνδιεξήρχετο. ἀλλ' ἐπειδὴ τοῦτο παρὰ τὴν πρώτην οὐκ ἦν (οὐδεὶς γὰρ τῶν πρώτων μέχρι τοῦ νῦν ἀνθρώπων πρὸ σοῦ τὸ τοιοῦτον ἐφθέγξατο), δῆλον ὅτι νόθον τι καὶ παρευρημένον ἐκ τῆς ζιζανιώδους ἀνεφύη σπορᾶς, οὐκ ἐκ τῶν καλῶν ἐκείνων σπερμάτων ἃ τῷ ἀγρῷ
550 τῆς φύσεως, εὐαγγελικῶς εἰπεῖν, ὁ θεὸς κατεβάλετο. ὅσα γὰρ ἐν τῇ κοινῇ φύσει πάντως ἐστίν, οὐ νῦν τοῦ εἶναι τὴν ἀρχὴν ἔχει, ἀλλ' ἐκ τῆς πρώτης συστάσεως συνανεφάνη τῇ φύσει, ὡς ἥ τε τῶν αἰσθητηρίων ἐνέργεια καὶ τὸ πρός τι τῶν ἀνθρωπίνων ἐπιθυμητικῶς ἢ ἀλλοτρίως ἔχειν καὶ εἴ τι ἄλλο τοιοῦτον κοινὸν ὁμολογεῖται τῆς φύσεως, ὧν οὐδὲν ἐν τοῖς ἐπιγινομένοις ὁ βίος ἐκαινοτόμησεν, ἀλλ' ἐν τοῖς αὐτοῖς ἰδιώμασι ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐσχάτων συνδιατηρεῖται διὰ παντὸς τὸ ἀνθρώπινον, οὐδὲν τῆς φύσεως οὔτε τῶν ἐξ ἀρχῆς προσόντων ἀποβαλλούσης οὔτε
551 τῶν μὴ προσόντων προσλαμβανούσης. ὥσπερ δὲ τὸ μὲν ὁρᾶν κοινὸν ὁμολογεῖται τῆς φύσεως, τὸ δὲ τεχνικῶς ὁρᾶν ἐξ ἐπιτηδεύσεως τοῖς ἐσπουδακόσι περὶ τὰς ἐπιστήμας προσγίνεται (οὐ γὰρ πάντων ἐστὶν ἡ διὰ τῆς διόπτρας ἐπιστημονικὴ κατανόησις ἢ τῶν γεωμετρικῶν γραμμῶν ἡ ἀποδεικτικὴ θεωρία ἢ εἴ τι τοιοῦτον ἕτερον, ἐφ' ὧν οὐ τὸ βλέπειν, ἀλλὰ τὸ πρός τι κεχρῆσθαι τῷ βλέπειν παρὰ τῆς τέχνης ἐφεύρηται), οὕτω καὶ τὸ λογικὸν μὲν εἶναι κοινὸν ἄν τις εἴποι τῆς ἀνθρωπίνης οὐσίας καὶ ἴδιον ἄνωθεν συγκατουσιωμένον τῇ φύσει, τὸ δὲ τοῖς οὖσι σημαντικάς τινας ἐφευρίσκειν προσηγορίας τῶν ἀνθρώπων εἶναι τῶν τὴν λογικὴν δύναμιν θεόθεν ἐν ἑαυτοῖς κεκτημένων, τῶν ἀεὶ κατὰ τὸ ἀρέσκον αὐτοῖς πρὸς τὴν τῶν δηλουμένων

4 Matth 13,24 sq

MCT 2 μέχρι τῶν v   3 πρὸ σοῦ: πρὸς οὓς v πρὸ τούτου Oehler   6 κατεβάλλετο M   10 τῶν ἀνθρωπίνων: τὸν ἄνθρωπον v   11 τοιοῦτον in marg add T   ὁμολογεῖται κοινὸν v cf 17   14 συνδιατηρεῖται διὰ παντὸς C: συνδιατηρεῖται παντὸς T συντηρεῖται διὰ παντὸς v συνδιατηρεῖσθαι διὰ παντὸς M   21 ἐφ' ὧν: ἀφ' ὧν v   26 τινας: φωνὰς v   καὶ ante προσηγορίας add v   27 ἐν add v: om MCT

σαφήνειαν λέξεις τινὰς τῶν πραγμάτων ἐμφαντικὰς ἐφευ-
552 ρισκόντων. ἀλλ' ἐὰν ταῦτα κρατῇ, δυοῖν φησι
κατασκευάζεσθαι θάτερον, ἢ τῶν ἐπινοούντων
τὴν ἐπίνοιαν πρεσβυτέραν ἢ τὰς τῷ θεῷ κατὰ
φύσιν προσηκούσας προσηγορίας καὶ πάντων
προϋπαρχούσας τῆς τῶν ἀνθρώπων γενέσεως
ὑστέρας. ἆρα καὶ πρὸς τὰ τοιαῦτα διαμάχεσθαι χρὴ
καὶ πρὸς τὴν οὕτως ἔκδηλον ἄνοιαν διὰ τοῦ λόγου συμ-
πλέκεσθαι; καὶ τίς οὕτως εὐτελής, ὡς διὰ τῶν τοιούτων
βλαβῆναι καὶ νομίσαι, εἰ τῆς λογικῆς δυνάμεως εἶναι πι-
στευθείη τὰ ῥήματα, ἢ πρεσβυτέρας τῶν λαλούντων ὁμο-
λογεῖν εἶναι τὰς τῶν ῥημάτων φωνὰς ἢ πλημμελεῖν εἰς
τὸ θεῖον οἴεσθαι, τῶν ἀνθρώπων, καθὼς χωροῦσι μετὰ τὸ
553 γενέσθαι ἄνθρωποι, τὸ θεῖον ὀνομαζόντων; τὸ γὰρ μὴ
δεῖσθαι τὴν ὑπερέχουσαν φύσιν ῥημάτων διὰ φωνῆς καὶ
γλώττης ἐκτυπουμένων ἤδη τε εἴρηται καὶ περιττὸν ἂν εἴη
διὰ τῶν αὐτῶν ὄχλον ἐντιθέναι τῷ λόγῳ. τὸ γὰρ ἀπροσ-
δεὲς τῇ φύσει καὶ τέλειον καὶ ἀπέριττον οὔτε τι τῶν δεόν-
των οὐκ ἔχει οὔτε τῶν μὴ δεόντων τι ἔχει. ἐπεὶ οὖν τὸ
μὴ δεῖν αὐτῷ τῆς ὀνοματικῆς κλήσεως ἐκ τῶν φθασάντων
ἀποδέδεικται λόγων καὶ ἐκ τῆς κοινῆς τῶν νοῦν ἐχόντων
1097 M. συγκαταθέσεως ὁμολογεῖται, οὐδεὶς ἂν ἀντείποι τῆς
ἐσχάτης ἀσεβείας εἶναι τὸ προσμαρτυρεῖν τῷ θεῷ τὰ μὴ
δέοντα.

554 Ἀλλ' οὐδὲν οἶμαι χρῆναι τούτοις καὶ τοῖς τοιούτοις
ἐνδιατρίβειν οὐδὲ τὰ καθεξῆς εἰρημένα δι' ἀκριβείας ἐλέγ-
χειν· ἱκανῶς γὰρ τοῖς ἐπιστατικωτέροις αὐτὸς ὁ τῷ ἀντι-
δίκῳ πονηθεὶς λόγος συνήγορος τῶν τῆς εὐσεβείας δογμά-
των ἀναφανήσεται. φησὶ γὰρ τὴν οὐσίαν αὐτὴν
555 ἀφθαρσίαν εἶναι καὶ ἀθανασίαν ὡσαύτως. ἐγὼ
δὲ εἴτε πρόσεστι ταῦτα τῇ θείᾳ φύσει εἴτε αὐτὰ ταῦτα

MCT 1 ἐκφαντικὰς M 6 ὑπαρχούσας CT 7 ἆρα καὶ: ἄρα γε v 11 ἢ ante πρεσβυτέρας: καὶ v 16 ἐκτυπουμένων: ἐκπτυομένων M v 19 τι ante ἔχει v: om MCT 20 ὀνομαστικῆς v 25 τούτοις χρῆναι v

κατὰ τὸ σημαινόμενον ἡ οὐσία ἐστίν, οὐδὲν οἶμαι χρῆναι
πρὸς αὐτὸν διαμάχεσθαι· ὅ τι γὰρ ἂν νικήσῃ τῶν εἰρη-
μένων, τὸν ἡμέτερον πάντως συστήσει λόγον. εἰ μὲν γὰρ
προσείη τῇ οὐσίᾳ τὸ μὴ φθείρεσθαι, πρόσεστιν αὐτῇ πάν-
τως καὶ τὸ μὴ διὰ γεννήσεως εἶναι, καὶ οὕτως ὁ τῆς ἀγεν-
νησίας λόγος ἔξω τῆς κατὰ τὴν οὐσίαν σημασίας ἀπ-
556 ωσθήσεται. εἰ δὲ ὅτι οὐ φθείρεται ὁ θεός, ἀφθαρσίαν τις
λέγοι τὴν οὐσίαν εἶναι, καὶ ὅτι θανάτου κρείττων ἐστί, διὰ
τοῦτο αὐτὴν τὴν φύσιν ἀθανασίαν εἶναι ὁρίζοιτο, ἄφθαρτος
δὲ ὁ υἱὸς καὶ ἀθάνατος, ἀφθαρσία ἂν εἴη καὶ ἀθανασία
καὶ τοῦ μονογενοῦς ἡ οὐσία. εἰ οὖν ἀφθαρσία μὲν ὁ πατήρ,
ἀφθαρσία δὲ ὁ υἱός, οὐσία δὲ τούτων ἑκάτερον, οὐδεμία
δὲ κατὰ τὴν τῆς ἀφθαρσίας ἔννοιαν ἐπινοεῖται διαφορά,
κατ' οὐδὲν πάντως ἡ οὐσία τῆς οὐσίας διενεχθήσεται,
εἴπερ ἐπίσης ἐπ' ἀμφοτέρων ἡ φύσις τῆς φθορᾶς ἠλλο-
557 τρίωται. κἂν τὰ αὐτὰ πάλιν ἐπαναλαμβάνων ταῖς ἀφύ-
κτοις ἡμᾶς, ὡς οἴεται, τῶν διλημμάτων ἀνάγκαις καταδῇ,
λέγων εἰ μὲν διορίζοιτο παρ' ἡμῶν τὸ προσὸν τοῦ ὄντος,
σύνθετον τὸ θεῖον κατασκευάζεσθαι, εἰ δὲ ἡ ἁπλότης ὁμο-
λογοῖτο, αὐτῆς τῆς οὐσίας σημαντικὴν τὴν ἀφθαρσίαν καὶ
τὴν ἀγεννησίαν πάντως ἀναφανήσεσθαι, πάλιν αὐτὸν σύμ-
558 μαχον τῶν ἡμετέρων ἀποδείξομεν λόγων. εἰ γὰρ πάντη
σύνθετον ποιεῖ τὴν θείαν οὐσίαν τῷ προσεῖναί τι λέγειν
αὐτῇ, οὐδὲ τὴν πατρότητα πάντως ἐκτὸς τῆς οὐσίας ἀπο-
ποιήσεται, ἀλλὰ φύσει πατέρα ὁμολογήσει ὡς ἄφθαρτόν τε
καὶ ἀθάνατον, καὶ οὕτως καὶ μὴ βουλόμενος εἰς τὴν τῆς
φύσεως οἰκειότητα τὸν υἱὸν καταδέξεται. οὐ γὰρ ἔσται
δυνατὸν ἐκείνου φύσει πατρὸς ὄντος τῆς φυσικῆς πρὸς
559 αὐτὸν σχέσεως τὸν υἱὸν ἀφορίζεσθαι. εἰ δὲ ἔξω τῆς φύ-
σεως προσεῖναι λέγοι τῷ θεῷ τὴν πατρότητα, καὶ ἡμῖν
δώσει πάντως κατ' ἐξουσίαν προσεῖναί τι λέγειν τῷ πατρί,

MCT 4 προσέσται v 8 λέγει T v 15 ἐπ' om CT τῆς φθορᾶς om v 17 καταδῇ v: καταδεῖ MCT 19-20 ὁμολογεῖ τὸ τῆς οὐσίας v (om αὐτῆς) 23 τῷ: τὸ M 26 καὶ ante μὴ om v 27 ἔσται: ἐστι C 30 λέγει v verba a τῷ θεῷ usque ad 31 λέγειν om v

ὡς οὐδὲν τῆς ἁπλότητος ἀθετουμένης, εἰ ἔξω τῆς οὐσίας
τὸ κατὰ τὴν ἀγεννησίαν σημαίνοιτο. εἰ δὲ αὐτῆς φησι τῆς
οὐσίας σημαντικὸν τὸ ἄφθαρτον καὶ τὸ ἀγέννητον καὶ
ἰσοδυναμεῖν ἀλλήλοις ἑκάτερα τῶν ὀνομάτων διϊσχυρίζοιτο,
ὡς μηδεμίαν ἐπ' αὐτῶν εἶναι διαφορὰν τῷ ταὐτὸν ἑκατέροις
ἐγκεῖσθαι τὸ σημαινόμενον, καὶ μίαν λέγοι τοῦ ἀφθάρτου
καὶ τοῦ ἀγεννήτου τὴν ἔννοιαν, ὁ τὸ ἓν τούτων ὢν καὶ τὸ
560 ἕτερον πάντως ἐστίν. ἀλλὰ μὴν ἄφθαρτος ὁ υἱὸς εἶναι καὶ
παρὰ τούτων οὐκ ἀμφιβάλλεται· ἀγέννητος ἄρα κατὰ τὸν
Εὐνομίου λόγον καὶ οὗτός ἐστιν, εἴπερ ταὐτὸν σημαίνει τῇ
ἀγεννησίᾳ τὸ ἄφθαρτον. ὥστε δυοῖν θάτερον, ἢ ἄλλο τι
παρὰ τὴν ἀφθαρσίαν τὸ ἀγέννητον σημαίνειν συνθήσεται
ἢ ἐπιμένων τοῖς δεδογμένοις πολλαχῶς περὶ τὸν μονογενῆ
θεὸν βλασφημήσει, ἤτοι φθαρτὸν αὐτὸν ποιῶν ἵνα μὴ ἀγέν-
1100 M. νητον λέγῃ, ἢ ἀγέννητον εἶναι κατασκευάζων ἵνα μὴ φθαρ-
τὸν ἀποδείξῃ.

561 Ἀλλ' οὐκ οἶδ' ὅ τι προσήκει πράττειν, εἴτε δι' ἀκολου-
θίας ἐπεξιέναι πᾶσι τοῖς προκειμένοις εἴτε καὶ τούτοις
περιορίσαι τὴν πρὸς τὰ μάταια μάχην. καθάπερ γὰρ ἐπὶ
τῶν τὰ δηλητήρια πωλούντων ἡ ἐν ὀλίγῳ πεῖρα παντὸς
τοῦ φαρμάκου τὴν πρὸς τὸν ὄλεθρον δύναμιν τοῖς ὠνου-
μένοις κατεγγυᾶται, καὶ οὐδεὶς ἀμφιβάλλει τὴν ἐκ τοῦ
μέρους διαφθορὰν διά τινος πείρας καταμαθὼν μὴ ὅλον
εἶναι τὸ πωλούμενον ὀλέθρου φάρμακον, οὕτως οἶμαι δεῖν
καὶ τὴν δηλητηριώδη ταύτην φαρμακείαν τοῦ λόγου διὰ
τῶν ἐξητασμένων ἐπιδειχθεῖσαν μηκέτι ἀμφίβολον εἶναι τοῖς
γε νοῦν ἔχουσι τὸ διὰ παντὸς εἶναι τοιαύτην οἵα διὰ τῶν
φθασάντων ἐλήλεγκται, καὶ τούτου χάριν τὸ μὴ προάγειν
εἰς μῆκος τοῦ τοῖς ματαίοις ἐμφιλοχωρεῖν αἱρετώτερον εἶναι
562 λογίζομαι. ἀλλ' ἐπειδὴ πολλαχόθεν τὸ πιθανὸν ἑαυτοῖς οἱ
προστάται τῆς ἀπάτης εὑρίσκουσι καὶ δέος μὴ τὸ παρο-
φθῆναί τι τῶν πεπονημένων αὐτοῖς εὐπρόσωπος καθ' ἡμῶν
γένηται διαβολῆς ἀφορμή, ὡς τὸ ἰσχυρότερον ἐλλελοιπότων,

MCT 10 τοῦ ante Εὐνομίου add v   οὗτός M v: αὐτός CT   33 ἐκ-λελοιπότων T

τούτου χάριν παρῃτησάμην τοὺς καθομιλοῦντας ἡμῶν τῇ
σπουδῇ μηδεμίαν καταγνόντας ἀδολεσχίαν ἕπεσθαι προθύ-
μως τῷ λόγῳ πανταχοῦ κατ' ἀνάγκην πρὸς τὰς τοῦ ψεύ-
563 δους ἐπιχειρήσεις ἑαυτὸν ἀντεξάγοντι. ἐπειδὴ τοίνυν μόγις
ποτὲ τὸν περὶ τῆς ἐπινοίας ὄνειρον ἐν βαθεῖ τῷ ὕπνῳ δια-
πλάσσων ἐπαύσατο, τοῖς ἀτόνοις ἐκείνοις καὶ ἀδιανοήτοις
τῶν ἐπιχειρημάτων ἑαυτὸν καθοπλίζων μετάγει τὸν λόγον
ἐπὶ ἕτερον ὄνειρον πολὺ τῆς προλαβούσης φαντασίας ἀνοη-
τότερον. ἔξεστι δὲ γνῶναι τοῦ πόνου τὸ μάταιον τὴν
περὶ τῆς στερήσεως αὐτοῦ τεχνολογίαν κατανοή-
564 σαντας. ἀλλὰ τὸ μὲν πάσῃ τῇ φλυαρίᾳ συμπλέκεσθαι
αὐτοῦ ἂν εἴη τοῦ Εὐνομίου καὶ τῶν κατ' αὐτὸν τῶν μηδε-
μίαν πρὸς τὰ σπουδαιότερα τῶν πραγμάτων ἀναδεδεγμένων
φροντίδα. ἡμεῖς δὲ διὰ συντομίας ἐπὶ κεφαλαίῳ τοῖς εἰρη-
μένοις ἐπιδραμούμεθα, ὡς ἂν μήτε τι τῶν ὑπαιτίων παρα-
λειφθείη μήτε τι τῶν ματαίων εἰς ἀνόνητον μῆκος προαγάγοι
τὸν λόγον.

565 Μέλλων γὰρ προσθήσειν τὴν περὶ τῶν στερητικῶν
ὀνομάτων τεχνολογίαν ἐπήγγελται δείξειν τῶν ἡμετέ-
ρων δογμάτων ἀτοπίαν, ὡς αὐτός φησιν, ἀνήκε-
στον καὶ εὐλάβειάν τινα προσποίητον καὶ ἐπί-
ληπτον. ἡ μὲν οὖν ὑπόσχεσις αὕτη· ὁ δὲ τῶν ἐγκλη-
μάτων ἔλεγχος τίς; εἰπόντων, φησί, τινῶν στερήσει
γεννήσεως εἶναι τὸν θεὸν ἀγέννητον, ἡμεῖς ἐπ'
ἐλέγχῳ τούτων μηδαμῶς ἁρμόζειν τῷ θεῷ
μήτε τὴν φωνὴν ταύτην μήτε τὴν ἔννοιαν εἴπο-
566 μεν. δειξάτω τὸν προστάτην τοῦ λόγου εἴ τις τῶν ἀφ' οὗ
γεγόνασιν ἄνθρωποι μέχρι τοῦ νῦν εἴτε παρὰ βαρβάροις
εἴτε παρ' Ἕλλησι τὸ τοιοῦτον παραφθεγξάμενος δείκνυται,
καὶ ἡμεῖς σιωπήσομεν. ἀλλ' οὐκ ἂν ἐλεγχθείη τῶν ἐν
παντὶ χρόνῳ γεγενημένων ἀνθρώπων οὐδεὶς τὸ τοιοῦτον
εἰπὼν πλὴν εἴ τις μαίνοιτο. τίς γὰρ οὕτως ἐκ μέθης

MCT 6 ἀτόποις v   9 μάταιον τῷ τὴν v   10-11 κατανοήσαντι v   11 μὲν om v   13 ἀναδεδεγμένων om v   14 διὰ συντομίαν v   ἐπὶ κεφαλαίων v   16 ἀνόνητον v: ἀνόητον MCT   22-23 ἐγκλη-μάτων τούτων v   26-27 εἴπωμεν v

1101 M. παράφορος, τίς οὕτως ὑπὸ μανίας ἢ φρενίτιδος ἐξεστηκὼς
τὴν διάνοιαν, ὡς τοῦτον εἰπεῖν τὸν λόγον, ὅτι τῷ ἀγεννήτῳ
θεῷ κατὰ φύσιν μὲν ἐστὶν ἡ γέννησις, στερηθεὶς δὲ τοῦ
κατὰ φύσιν ἐκ γεννητοῦ τοῦ πρόσθεν γέγονε μετὰ ταῦτα
567 ἀγέννητος; ἀλλὰ ταῦτα τῆς ῥητορικῆς τὰ τεχνάσματα, τὸ
ἐν οἷς ἐλέγχονται προσώπων τινῶν ὑποβολαῖς τὴν ἐκ τῶν
ἐλέγχων αἰσχύνην διαδιδράσκειν. οὕτω καὶ περὶ τῆς ἀπο-
λογίας ἐκείνης ἀπολελόγηται, δικασταῖς καὶ κατηγόροις
ἀνατιθεὶς τῆς ἐπιγραφῆς τὴν αἰτίαν, οὐ κατηγόρους, οὐ
κρίσιν, οὐ δικαστήριον ἐπιδεῖξαι δυνάμενος. καὶ νῦν ὡς
ἀλλοτρίαν μωρίαν ἐπανορθούμενος εἰς ἀνάγκην φησὶ
568 τοῦ οὕτως εἰπεῖν ἐληλυθέναι. οὗτος ὁ ἔλεγ-
χος τῆς ἀνηκέστου ἡμῶν ἀτοπίας καὶ τῆς προσ-
ποιήτου καὶ ἐπιλήπτου εὐλαβείας. ἀλλ' ἀπο-
ροῦντας ἡμᾶς φησιν οὐκ ἔχειν ὅ τι χρησόμεθα
τοῖς παροῦσι καὶ τὴν ἀπορίαν ἐπικρυπτομένους
ἐκεῖνον μὲν ἐκ τῶν ῥημάτων εἰς τὴν τοῦ κόσμου
διαβάλλειν σοφίαν, αὐτοὺς δὲ τὴν τοῦ ἁγίου
569 πνεύματος οἰκειοῦσθαι διδασκαλίαν. ἄλλος ὄνει-
ρος οὗτος, τοσοῦτον ἑαυτῷ προσεῖναι τῆς ἔξω σοφίας
οἴεσθαι, ὡς φοβερὸν Βασιλείῳ διὰ τοῦτο δοκεῖν. οὕτω τινὲς
καὶ βασιλεῦσιν ὁμόθρονοι καὶ τῆς ὑψηλοτέρας ἀξίας εἶναι
πολλάκις ἑαυτοὺς ἐφαντάσθησαν, τῆς ἠπατημένης τῶν ἐνυ-
πνίων ὄψεως ἐκ τῆς καθ' ὕπαρ ἐπιθυμίας τὴν περὶ τούτου
570 δόκησιν ἐντιθείσης. οὐκ ἔχοντά φησιν Βασίλειον, ὅ τι τοῖς
εἰρημένοις χρήσεται, διαβάλλειν αὐτὸν ἐπὶ τῇ τοῦ κόσμου
σοφίᾳ. πολλοῦ μέντοι τὴν τοιαύτην ἂν διαβολὴν ἐτιμήσατο,
τὸ φοβερὸς νομισθῆναι τῇ περιουσίᾳ τῶν λόγων καὶ τῶν
ἐπιτυχόντων τινί, μή τί γε Βασιλείῳ καί τινι τῶν κατ'

8 cf lib I § 65 sq et Basilius c Eunom lib I 2. sub calce paginae codices scholium add: καθά φησι καὶ (ὁ μέγας) Βασίλειος (ἐν τῇ?) ἀρχῇ τῶν κατὰ Εὐνομίου

MCT 8 ad ἀπολελόγηται schol marg adscriptum καθά φησι καὶ βασίλειος (ὁ μέγας βασίλειος C) ἀρχῇ τῶν κατ' εὐνομίου CT 17 ἐκεί-νου v 21 φοβερὸς C

571 αὐτόν, εἴπερ τις ὅλως ἐστὶ κατ' αὐτὸν ἢ ἐγένετο. ἀλλὰ
τὸν μὲν διὰ μέσου λόγον, εἴπερ λόγος ἐστὶν ἡ ἀνδραποδώδης
αὐτοῦ λοιδορία καὶ τὰ ἄμουσα σκώμματα δι' ὧν κατα-
τρέχειν τῶν ἡμετέρων οἴεται, πάντα παρήσω, βδελυκτόν τε
καὶ ἀηδὲς ποιούμενος τοσούτοις μολύσμασι τὸν ἡμέτερον
ἐμφορύνεσθαι λόγον, ὥσπερ οἱ τὰ ὀχθώδη τε καὶ ὀδωδότα
τῶν ἑλκῶν μυσαττόμενοι καὶ δυσανασχετοῦντες τὴν θέαν τῶν
ἀπὸ πληθωρικῆς τινος βαρυχυμίας δι' ἀκροχορδόνων καὶ ἥλων
ἀλλοιωθέντων τὴν ἐπιφάνειαν. τὸν δὲ νοῦν αὐτοῦ δι' ὀλίγων
ἐκθέμενος τὴν πολλὴν τῶν εἰρημένων παραδραμοῦμαι δυσω-
δίαν. ἔσται δέ μοι τέως κατ' ἐλευθερίαν ὁ λόγος διεξα-
γόμενος, οὐδὲν πρὸς τὸ ἐπηρεαστικῶς σπαράσσειν τι τῶν
λεγομένων ἐπιστρεφόμενος.
572 Πᾶς λόγος ὅ γε ἀληθῶς λόγος σημαντική τίς ἐστι
τῶν κατ' ἔννοιαν κινημάτων φωνή. πᾶσα δὲ τῆς ὑγιοῦς
διανοίας ἐνέργειά τε καὶ κίνησις πρὸς τὴν τῶν ὄντων γνῶσίν
τε καὶ θεωρίαν, ὡς ἂν οἷόν τε ᾖ, βλέπει. διχῇ δὲ μεμέ-
ρισται τῶν ὄντων ἡ φύσις εἴς τε τὸ νοητὸν καὶ τὸ αἰσθητὸν
διαιρουμένη· ἀλλὰ τῶν μὲν κατ' αἴσθησιν φαινομένων διὰ
τὸ πρόχειρον τῆς κατανοήσεως κοινὴ πρόκειται πᾶσιν ἡ
γνῶσις, οὐδεμίαν περὶ τὸ ὑποκείμενον ἀμφιβολίαν ἐμποιούσης
573 τῆς αἰσθητικῆς ἐπικρίσεως. τάς τε γὰρ τῶν χρωμάτων
καὶ τῶν λοιπῶν ποιοτήτων διαφοράς, ὅσα δι' ἀκοῆς ἢ
ὀσφρήσεως ἢ τῆς κατὰ τὴν ἁφὴν ἢ τὴν γεῦσιν αἰσθήσεως
ἐπικρίνομεν, ὁμοφώνως πάντες οἱ τῆς αὐτῆς κοινωνοῦντες
1104 M. φύσεως γινώσκομέν τε καὶ ὀνομάζομεν, καὶ ὅσα τῶν λοιπῶν
τὴν κατάληψιν ἐπιπολαιοτέραν ἔχειν δοκεῖ τῶν κατὰ τὸν
βίον ἀναστρεφομένων πραγμάτων, ἃ πρός τε τὸν πολιτικὸν
574 καὶ τὸν ἠθικὸν τοῦ βίου σκοπὸν καταγίνεται. ἐν δὲ τῇ
θεωρίᾳ τῆς νοερᾶς φύσεως διὰ τὸ ὑπερκεῖσθαι αὐτὴν τῆς
αἰσθητικῆς καταλήψεως στοχαστικῶς τῆς διανοίας ἐπορε-

MCT 4 πάντως T 6 ἐμφορύνεσθαι: ἐμφύρεσθαι T ἀχθώδη C 10 παραδραμοῦμεν v 12 πρὸς τὸ v: πρὸς τοὺς MCT 19 διαι-ρούμενος C sed expunxit ος 23 ὅσας v ante δι' ἀκοῆς verba διὰ τῆς ὄψεως καὶ add v 27 τῶν ante κατὰ om v

γομένης τῶν ἐκφευγόντων τὴν αἴσθησιν ἄλλοι ἄλλως κινούμεθά τε περὶ τὸ ζητούμενον καὶ κατὰ τὴν ἐγγινομένην ἑκάστῳ περὶ τὸ ὑποκείμενον διάνοιαν, ὅπως ἂν οἷόν τε ᾖ, τὸ νοηθὲν ἐξαγγέλλομεν, ἐγγίζοντες ὡς ἔνι μάλιστα τῇ δυνάμει τῶν νοηθέντων διὰ τῆς τῶν ῥημάτων ἐμφάσεως.
575 ἐν δὲ τούτοις ἔστι μὲν πολλάκις καὶ δι' ἀμφοτέρων κατορθωθῆναι τὸ σπουδαζόμενον, τῆς τε διανοίας οὐχ ἁμαρτούσης τοῦ ζητουμένου καὶ τῆς φωνῆς εὐθυβόλως τὸ νοηθὲν διὰ τῆς προσφυοῦς ἑρμηνείας ἐξαγγελλούσης· ἔστι δὲ τυχὸν καὶ ἀμφοτέρων ἢ τοῦ ἑτέρου γε τούτων ἀποτυχεῖν, ἢ τῆς καταληπτικῆς διανοίας ἢ τῆς ἑρμηνευτικῆς δυνάμεως τοῦ
576 προσήκοντος παρενεχθείσης. δύο τοίνυν ὄντων δι' ὧν ἅπας εὐθύνεται λόγος, τῆς τε κατὰ τὸν νοῦν ἀσφαλείας καὶ τῆς ἐν ῥήμασι προφορᾶς, κρεῖττον μὲν ἂν εἴη τὸ δι' ἀμφοτέρων εὐδόκιμον, οὐχ ἧττον δὲ ἀγαθὸν τῆς προσηκούσης μὴ διαμαρτεῖν ὑπολήψεως, κἂν ὁ λόγος ἐλάττων τῆς διανοίας τύχῃ. ὅταν τοίνυν περὶ τῶν ὑψηλῶν καὶ ἀθεάτων ἡ διάνοια τὴν σπουδὴν ἔχῃ, ὧν οὐκ ἐφικνεῖται ἡ αἴσθησις (λέγω δὲ περὶ τῆς θείας καὶ ἀφράστου φύσεως, ἐν οἷς τολμηρὸν μὲν καὶ τὸ προχείρως τι τῇ διανοίᾳ λαβεῖν, τολμηρότερον δὲ τὸ ταῖς ἐπιτυχούσαις ἐπιτρέπειν φωναῖς τὴν τῆς ἐγγινομένης ἡμῖν ὑπολήψεως ἑρμηνείαν) τότε χαίρειν ἐάσαντες τὸν ἐν τοῖς ῥήμασιν ἦχον, οὕτως ἢ ἑτέρως κατὰ τὴν δύναμιν τῶν φθεγγομένων ἐξαγγελλόμενον, μόνην ἐξετάζομεν τὴν διάνοιαν τὴν ἐμφαινομένην τοῖς ῥήμασιν, εἴτε ὑγιῶς εἴτε ἄλλως ἔχει, τὰς ῥηματικὰς ταύτας ἢ ὀνοματικὰς ἀκρι-
577 βολογίας γραμματιστῶν τέχναις παραχωρήσαντες. ἐπειδὴ τοίνυν μόνα τὰ γινωσκόμενα διὰ τῆς ὀνοματικῆς σημειούμεθα κλήσεως, τὰ δὲ ὑπὲρ τὴν γνῶσιν ὄντα σημειωτικαῖς τισι προσηγορίαις διαλαμβάνειν οὐχ οἷόν τε (πῶς γὰρ ἄν τις τὸ ἀγνοούμενον σημειώσαιτο;) διὰ τοῦτο οὐδεμιᾶς ἐπ' αὐτῶν προσφυοῦς εὑρισκομένης προσηγορίας, ἢ τὸ ὑποκεί-

MCT 1 ἄλλος ἄλλως T 3 ἂν om v 17 τυγχάνῃ v 18 ἔχει v 20 μὲν: ἣν v 21 τὸ om v 26 εἴτε καὶ ἄλλως v ὀνομαστικὰς v

μενον ἱκανῶς παραστήσει, πολλοῖς καὶ διαφόροις ὀνόμασιν, ὅπως ἂν ᾖ δυνατόν, ἀνακαλύψαι βιαζόμεθα τὴν ἐγγενομένην
578 ἡμῖν περὶ τοῦ θείου ὑπόνοιαν. ἀλλὰ μὴν τὰ ὑπὸ κατάληψιν ἡμετέραν ἐρχόμενα τοιαῦτά ἐστιν, ὥστε πάντως ἢ ἐν διαστηματικῇ τινι παρατάσει θεωρεῖσθαι τὰ ὄντα ἢ τοπικοῦ χωρήματος παρέχειν τὴν ἔννοιαν, ἐν ᾧ τὰ καθ' ἕκαστον εἶναι καταλαμβάνεται, ἢ τῇ κατὰ τὴν ἀρχὴν καὶ τὸ τέλος περιγραφῇ ἐντὸς γίνεται τῆς ἡμετέρας ἐπόψεως, ἐπίσης καθ' ἑκάτερον πέρας τῷ μὴ ὄντι περιγραφόμενα (πᾶν γὰρ τὸ ἀρχήν τε καὶ τελευτὴν ἔχον τοῦ εἶναι ἐκ τοῦ μὴ ὄντος ἄρχεται καὶ εἰς τὸ μὴ ὂν καταλήγει), ἢ τὸ πάντων ἔσχατον διὰ τῆς σωματικῆς τῶν ποιοτήτων συνθήκης καταλαμβάνομεν τὸ φαινόμενον, ᾗ φθορὰ καὶ πάθος καὶ τροπὴ καὶ
579 ἀλλοίωσις καὶ τὰ τοιαῦτα συνέζευκται. διὰ τοῦτο ὡς ἂν μηδεμίαν οἰκειότητα πρὸς τὰ κάτω πράγματα ἡ ὑπερκειμένη φύσις ἔχειν δοκοίη, τοῖς ἀποχωριστικοῖς τῶν τοιούτων νοήμασί τε καὶ ῥήμασιν ἐπὶ τῆς θείας κεχρήμεθα φύσεως, τὸ ὑπεράνω τῶν αἰώνων προαιώνιον λέγοντες καὶ τὸ ὑπὲρ ἀρχὴν ἄναρχον καὶ τὸ μὴ τελειούμενον ἀτελεύτητον ἀσώματόν τε τὸ χωρὶς σώματος τὴν ὑπόστασιν ἔχον καὶ τὸ μὴ φθειρόμενον ἄφθαρτον καὶ τὸ τροπῆς ἢ πάθους ἢ ἀλλοιώσεως ἀνεπίδεκτον ἀπαθὲς καὶ ἄτρεπτον καὶ ἀναλ-
580 λοίωτον. τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων τεχνολογούντων μὲν ὡς ἂν ᾖ φίλον αὐτοῖς οἱ βουλόμενοι καὶ ὀνόματα ἄλλα τοῖς ὀνόμασι τούτοις ἐφαρμοζόντων, στερητικὰ ἢ ἀφαιρετικὰ ἢ ὅ τι φίλον αὐτοῖς ὀνομάζοντες, ἡμεῖς δὲ τοῦ διδάσκειν ἢ μανθάνειν τὰ τοιαῦτα τοῖς φιλοτίμοις παραχωρήσαντες μόνον τὸν νοῦν ἐξετάσωμεν, εἰ τῆς εὐσεβοῦς τε καὶ θεοπρεποῦς ὑπολήψεως ἐντός ἐστιν ἢ κεχώρισται.
581 Εἰ μὲν οὖν ἢ οὐκ ἦν πρότερον ὁ θεὸς ἢ οὐκ ἔσται ποτέ, οὐκ ἂν κυρίως οὔτε ἀτελεύτητος οὔτε ἄναρχος λέγοιτο· ὡσαύτως δὲ οὔτε ἀναλλοίωτος οὔτε ἀσώματος οὔτε

MCT 5-6 ἢ τοπικοῦ: ἢ τοπικοῦ M 6 παρέχει MC 13 φθορᾷ T 24 ὡς ἂν ᾖ: ὅπως ἂν ᾖ v αὐτῶν v 25 στερητικὰ cf p 391,10 Eunomium respicit 28 τε om M

ἄφθαρτος, εἴπερ ὑπονοοῖτο περὶ αὐτὸν ἢ σῶμα ἢ φθορὰ ἢ
ἀλλοίωσις ἤ τι τοιοῦτον. εἰ δὲ τούτων εὐαγές ἐστιν οὐδὲν
περὶ αὐτὸν ἐννοεῖν, εὐσεβὲς ἂν εἴη πάντως τοῖς χωριστικοῖς
τῶν ἀπεμφαινόντων ῥήμασιν ἐπ' αὐτοῦ κεχρῆσθαι καὶ λέ-
γειν ταῦτα ἃ ἤδη πολλάκις εἰρήκαμεν, ἄφθαρτόν τε καὶ
ἀτελεύτητον καὶ ἀγέννητον καὶ ὅσα τοῦ τοιούτου εἴδους
ἐστί, τῆς ἐγκειμένης ἑκάστῳ τούτων τῶν ὀνομάτων ἐμφά-
σεως μόνον τὸν χωρισμὸν τῶν ἡμῖν προχείρων εἰς κατα-
νόησιν διδασκούσης, οὐκ αὐτὴν τὴν φύσιν τὴν τῶν ἀπεμφαι-
582 νόντων κεχωρισμένην ἑρμηνευούσης. τί γὰρ οὐκ ἔστι τὸ
θεῖον τῆς τῶν ὀνομάτων τούτων σημασίας προδεικνυούσης,
τί ἐστιν ἐκεῖνο κατὰ τὴν φύσιν ὃ ταῦτα οὐκ ἔστιν ἐν ἀδήλῳ
μένει. ἀλλὰ καὶ τὰ λοιπὰ τῶν ὀνομάτων, ὧν ἡ σημασία
θέσεώς τινός ἐστιν ἐνδεικτικὴ καὶ ὑπάρξεως, οὐκ αὐτῆς
τῆς θείας φύσεως, ἀλλὰ τῶν περὶ αὐτὴν εὐσεβῶς θεωρου-
583 μένων τὴν ἔνδειξιν ἔχει. νοήσαντες γὰρ ὅτι οὐδὲν τῶν
ὄντων τῶν τε φαινομένων καὶ τῶν νοουμένων αὐτόματόν τινα
καὶ τυχαίαν ἔχει τὴν σύστασιν, ἀλλὰ πᾶν, ὅτιπερ ἐν τοῖς
οὖσι καταλαμβάνεται, τῆς πάντων τῶν ὄντων ὑπερκειμένης
φύσεως ἐξῆπται κἀκεῖθεν τὴν αἰτίαν τῆς ὑπάρξεως ἔχει,
τό τε κάλλος καὶ τὸ μέγεθος τῶν ἐν τῇ κτίσει θαυμάτων
κατανοήσαντες, ἐκ πάντων τούτων καὶ τῶν τοιούτων ἄλλα
νοήματα περὶ τὸ θεῖον λαμβάνοντες ἰδίοις ὀνόμασιν ἕκαστον
τῶν ἐγγινομένων ἡμῖν νοημάτων διερμηνεύομεν, ἀκολου-
θοῦντες τῇ συμβουλῇ τῆς σοφίας, ἥ φησιν ἐκ μεγέθους καὶ
καλλονῆς κτισμάτων ἀναλόγως δεῖν τὸν τῶν πάντων γενε-
584 σιουργὸν θεωρεῖσθαι. δημιουργὸν μὲν τὸν ποιητὴν τῶν
θνητῶν προσαγορεύομεν, δυνατὸν δὲ τὸν τῆς τοσαύτης περι-
κρατήσαντα κτίσεως, ᾧ ἐξήρκεσεν ἡ δύναμις οὐσίαν ποιῆσαι
τὴν βούλησιν. τό τε τῆς ζωῆς ἡμῶν ἀγαθὸν ἐννοήσαντες

25 Sap Sal 13,5

MCT 3 εὐσεβὲς: ἀσεβὲς v   12 τὴν om MT   18 πᾶν om v   26 τὸν τῶν πάντων scripsi: τὸν πάντων MCT τῶν πάντων v   26-27 γενεσιουργὸν: δημιουργὸν T

1108 M. ἀκολούθως τὸν ταύτης καθηγησάμενον τῇ τοῦ ἀγαθοῦ
προσηγορίᾳ κατονομάζομεν, τῆς τε μελλούσης κρίσεως τὸ
ἀδέκαστον παρὰ τῆς θείας παιδευθέντες γραφῆς κριτὴν
αὐτὸν καὶ δίκαιον διὰ τούτων προσαγορεύομεν· καὶ πάντα
συνελόντι φάναι, τὰ περὶ τῆς θείας φύσεως ἐγγινόμενα ἡμῖν
νοήματα εἰς ὀνομάτων τύπον μεταλαμβάνομεν, ὡς μηδεμίαν
κλῆσιν δίχα τινὸς ἰδιαζούσης ἐννοίας ἐπὶ τῆς θείας λέγεσθαι
585 φύσεως. ἀλλὰ καὶ τὴν θεὸς φωνὴν ἐκ τῆς ἐποπτικῆς ἐν-
εργείας κεκρατηκέναι κατελαβόμεθα. πᾶσι γὰρ παρεῖναι
τὸ θεῖον καὶ πάντα θεᾶσθαι καὶ διὰ πάντων ἥκειν πεπι-
στευκότες τὴν τοιαύτην διάνοιαν τῷ ὀνόματι τούτῳ δια-
σημαίνομεν, πρὸς τοῦτο παρὰ τῆς ἁγίας ὁδηγηθέντες φωνῆς.
ὁ γὰρ εἰπὼν ὅτι Ὁ θεός μου πρόσσχες μοι καὶ Ἴδε ὁ θεός
καὶ τὸ Ὁ θεὸς γινώσκει τὰ κρύφια τῆς καρδίας, σαφῶς τὴν
ἐγκειμένην τῇ φωνῇ ταύτῃ διάνοιαν ἑρμηνεύει, ὅτι ἐκ τοῦ
586 θεᾶσθαι θεὸς ὀνομάζεται. διαφέρει γὰρ οὐδὲν Πρόσσχες
εἰπεῖν καὶ Ἴδε καὶ Θέασαι. ἐπεὶ οὖν τὸ θεατὸν ὁ θεώ-
μενος βλέπει, θεὸς εἰκότως τοῦ ὁρωμένου ὁ θεώμενος λέ-
γεται. ὥστε καὶ διὰ τούτου μερικήν τινα τῆς θείας φύ-
σεως ἐνέργειαν διδαχθέντες τῆς οὐσίας αὐτῆς ἐν περινοίᾳ
διὰ τῆς φωνῆς ταύτης οὐκ ἐγενόμεθα· οὐ μὴν ἐπειδὴ ὀνό-
ματος προσφυοῦς ἀποροῦμεν, ζημιοῦσθαί τι τὸ θεῖον εἰς
587 δόξαν ὑπολαμβάνομεν. ἡ γὰρ ἀδυναμία τῆς τῶν ἀνεκφω-
νήτων ἐξαγορεύσεως κατηγοροῦσα τῆς κατὰ τὴν φύσιν ἡμῶν
πτωχείας μείζονα τῆς τοῦ θεοῦ δόξης τὴν ἀπόδειξιν ἔχει
διδάσκουσα ἡμᾶς, καθώς φησιν ὁ ἀπόστολος, ὅτι μόνον
ἐστὶ θεοῦ προσφυὲς ὄνομα τὸ ὑπὲρ πᾶν αὐτὸν εἶναι πι-
στεύειν ὄνομα. τὸ γὰρ ὑπερβαίνειν αὐτὸν πᾶσαν διανοίας
κίνησιν καὶ ἐξώτερον εὑρίσκεσθαι τῆς ὀνοματικῆς περι-
λήψεως τεκμήριον τῆς ἀφράστου μεγαλειότητος τοῖς ἀν-
θρώποις καθίσταται.

13 Ps 54,3   ἴδε] saepius   14 Ps 43,21   26-27 Phil 2,9

MCT 6 καταλαμβάνομεν T   13 ὅτι post εἰπὼν om T   πρόσσχες MCT (sed C sscr σ): πρόσχες v   17 τὸ θεατὸν: καὶ θεατὸν v   27 αὐτὸν: αὐτὸ T   29 ὀνομαστικῆς v   29-30 προλήψεως T

588 Περὶ μὲν δὴ τῶν ὀνομάτων τῶν ἐπὶ θεοῦ καθ' ὃν δή-
ποτε τύπον ἐκφωνουμένων ταῦτα γινώσκομεν· ὧν τὴν ἔκ-
θεσιν ἀκατάσκευόν τε καὶ ἁπλῆν τοῖς εὐγνωμονεστέροις τῶν
ἀκροατῶν παρεθέμεθα, πρὸς τὰς ἀτόνους τοῦ Εὐνομίου
περὶ τούτων μάχας αἰσχρὸν ἅμα καὶ ἀπρεπὲς ἡμῖν αὐτοῖς
κρίναντες ἐκθύμως ἀντικαθίστασθαι. τί γὰρ ἄν τις εἴποι
τῷ λέγοντι τὸν τύπον τῶν ὀνομάτων κυριώτερον
ἡμᾶς ποιεῖσθαι τῆς τῶν ὀνομαζομένων ἀξίας,
τοῖς ὀνόμασι τὴν κατὰ τῶν πραγμάτων δω-
ρουμένους προνομίαν καὶ τοῖς ἀνίσοις ἰσο-
589 τιμίαν; ταῦτα οὕτως εἴρηται παρὰ τῆς ἐκείνου φωνῆς.
κρινέτω δὲ ὁ κρίνειν ἐπεσκεμμένος, εἴ τι καίριον ἡ σφοδρὰ
τοῦ συκοφάντου κατηγορία καθ' ἡμῶν ἔχει, ἐφ' ᾧ καὶ
ἀπολογήσασθαι ἄξιον, ὅτι δωρούμεθα τοῖς ὀνόμασι
τὴν κατὰ τῶν πραγμάτων προνομίαν, πᾶσιν ὄντος
προδήλου, ὅτι οὐδὲν τῶν ὀνομάτων οὐσιώδη καθ' ἑαυτὸ τὴν
ὑπόστασιν ἔχει, ἀλλὰ γνώρισμά τι καὶ σημεῖον οὐσίας τινὸς
καὶ διανοίας γίνεται πᾶν ὄνομα, αὐτὸ ἐφ' ἑαυτοῦ μήτε
590 ὑπάρχον μήτε νοούμενον. τῷ δὲ μὴ ὑφεστηκότι πῶς ἔστι
1109 M. νέμειν τὰς δωρεάς, διδασκέτω τοὺς μαθητὰς τῆς ἀπάτης ὁ
προσφυῶς κεχρῆσθαι τοῖς ὀνόμασιν ἀξιῶν καὶ τοῖς ῥήμασιν.
τούτων δὲ οὐδ' ἂν ἐπεμνήσθην ὅλως, εἰ μὴ δι' αὐτῶν ἔδει
τὴν ἀπόδειξιν τῆς κατὰ τὸν νοῦν τε καὶ τὴν λέξιν ἀτονίας
τοῦ λογογράφου ποιήσασθαι. καὶ ὅσα τῆς θεοπνεύστου
γραφῆς ἀναρμόστως καὶ οὐ κατὰ σκοπὸν ἐπισύρεται, δια-
φορὰν ἀθανασίας ἀγγέλων τε καὶ ἀνθρώπων τεχνολογῶν,
οὐκ οἶδα πρὸς ὅ τι βλέπων καὶ τί διὰ τούτου κατασκευάζων,
καὶ ταῦτα παρήσω (τὸ γὰρ ἀθάνατον, ἕως ἀθάνατον ᾖ,
591 τὸ μᾶλλον καὶ τὸ ἧττον συγκριτικῶς οὐ προσδέχεται· εἰ
γὰρ ὑποστολήν τινα κατὰ σύγκρισιν τὸ ἕτερον τῶν παρα-
τεθειμένων μέρος ἐν τῷ τῆς ἀθανασίας ἔχοι λόγῳ, ἀνάγκη

29 τὸ μᾶλλον καὶ τὸ ἧττον . . οὐ προσδέχεται] cf Arist Categ 3b 33 δοκεῖ δὲ ἡ οὐσία μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον

MCT 16 τὴν om v 27 τούτου M v: τούτων CT 29 τὸ ante ἧττον om v 30-31 παρατιθεμένων v 31 μέρος om CT

πᾶσα μηδὲ ἀθάνατον τὸ τοιοῦτον κατονομάζεσθαι· πῶς
γὰρ ἂν ἔτι κυρίως λέγοιτο ἀθάνατον οὗ τὸ θνητὸν ἢ διὰ
συγκρίσεως ἀντιπαράθεσις κατηγόρησε;) καὶ τὴν λεπτὴν
ἐκείνην ἀκρίβειαν, τὸ μὴ κελεύειν ἀδιάφορον εἶναι
καὶ μέσην τὴν τῆς στερήσεως ἔννοιαν, ἀλλὰ τὸν
μὲν τῶν κρειττόνων χωρισμὸν στέρησιν λέγειν,
τὴν δὲ τῶν χειρόνων ἀπόστασιν μὴ δεῖν τῷ ὀνό-
ματι τούτῳ διασημαίνειν, ὡς, εἰ ταῦτα κρατήσειε,
μηκέτι κατ' αὐτὸν τῆς ἀποστολικῆς ἀληθευούσης φωνῆς, ἥ
φησι μόνον αὐτὸν ἔχειν ἀθανασίαν καὶ τοῖς ἄλλοις παρέ-
592 χειν. τί γὰρ ἔχει κοινὸν ἡ ἐπαχθεῖσα ῥῆσις αὐτῷ πρὸς
τὸν προάγοντα λόγον, οὔτε ἡμῖν οὔτε ἄλλοις τισὶν τῶν νοῦν
ἐχόντων δυνατὸν ἐννοῆσαι. καὶ ἐπειδὴ τὰ σοφὰ ταῦτα καὶ
λεπτὰ κατιδεῖν οὐκ ἰσχύσαμεν, ἀνεπιστήμονας ὀνομάζει
καὶ τῆς τῶν πραγμάτων κρίσεως καὶ τῆς τῶν
593 ὀνομάτων χρήσεως, οὑτωσὶ τοῖς ῥήμασι γράφων. καὶ
πάντα τὰ τοιαῦτα ὡς οὐδεμίαν ἔχοντα κατὰ τῆς ἀληθείας
ἰσχὺν παραδραμοῦμαι ἀνεξετάστως, καὶ τὸ διαβάλλειν αὐτὸν
τὴν ἐκτεθεῖσαν παρ' ἡμῶν τοῦ ἀφθάρτου τε καὶ ἀσωμάτου
διάνοιαν, ὡς ἑκατέρας τῶν προσηγοριῶν τούτων τῆς μὲν τὸ
ἀδιάστατον, ᾧ ἡ τριμερὴς τῶν σωμάτων οὐκ ἐνθεωρεῖται
διάστασις, τῆς δὲ τὸ φθορᾶς ἀνεπίδεκτον σημαινούσης, καὶ
τὸ λέγειν αὐτὸν οὑτωσὶ τοῖς ῥήμασι, ὅτι οὐ δικαιοῦμεν
τὸν τῶν ὀνομάτων τύπον εἰς ἀναρμόστους ἐκ-
πεσεῖν ἐννοίας, καὶ <τὸ μὴ> τοῦ μὴ εἶναι ἢ μὴ προσ-
εῖναι σημαντικὸν ὑπολαμβάνειν τούτων ἕκαστον, ἀλλ' αὐτοῦ
τοῦ εἶναι, καὶ ταῦτα σιγῆς ἄξια καὶ βαθείας λήθης εἶναι
κρίνας παρήσω τοῖς ἐντυγχάνουσιν ἐφ' ἑαυτῶν φωρᾶσαι

10 I Tim 6,16

MCT 1 μηδὲ M v: μὴ CT 3 συγκρίσεως M v: κρίσεως CT 4 ἀδιάφθορον v 21 τῶν σωμάτων: τοῦ σώματος C sed τῶν σωμάτων corr ead man 25 τὸ μὴ supplevi, nam a καὶ τοῦ μὴ rursus incipiunt ipsius Gregorii verba; Eunomius reprehenditur quod existimet (ὑπολαμβάνειν) *non* τοῦ μὴ εἶναι (vel potius τοῦ μὴ προσεῖναι) indicationem esse verbum ἀγεννησίας vel ἀγεννήτου, sed essentiae ipsius signum 28 ἐφ' v: ἀφ' MCT φωρᾶσθαι v

τὴν μεμιγμένην μετὰ τῆς ἀνοίας ἀσέβειαν· ὃς ἀξιοῖ μὴ
ἀντιδιαστέλλεσθαι τὸ φθαρτὸν τῷ ἀφθάρτῳ μηδὲ ἀπόστασιν
σημαίνειν τοῦ χείρονος τὴν ἀφαιρετικὴν σημασίαν, ἀλλ'
594 αὐτὸ τὸ εἶναι διὰ τοῦ ὑποκειμένου σημαίνεσθαι. εἰ τοίνυν
οὐκ ἀφαιρετικὴ φθορᾶς ἡ τοῦ ἀφθάρτου σημασία παρὰ
τοῦ κενῶς ταῦτα τεχνολογοῦντος νομίζεται, τοὐναντίον πάν-
τως κατὰ πᾶσαν ἀνάγκην ὁ τοιοῦτος ἐνδείξεται τοῦ ὀνό-
ματος τύπος. εἰ γὰρ οὐκ ἔστι φθορᾶς ἀλλοτρίωσις ἡ
ἀφθαρσία, συγκατάθεσίς ἐστι πάντως τοῦ ἀπεμφαίνοντος·
1112 M. αὕτη γὰρ τῶν ἀντιθέτων ἡ φύσις, ὡς τῇ τοῦ ἑνὸς ἀφαι-
595 ρέσει τὴν τοῦ ἀντικειμένου θέσιν ἀντεισιέναι. ἀλλὰ καὶ
τὴν δριμεῖαν ἐκείνην κατασκευὴν τοῦ φύσει τὸν θεὸν ἀν-
επίδεκτον εἶναι θανάτου, ὥσπερ ὄντος τοῦ τὴν ἐναντίαν
περὶ τούτων ἔχοντος δόξαν, χαίρειν ἐάσωμεν· ἡμεῖς γὰρ ἐν
τοῖς ἀντιθέτοις οὐδὲν διαφέρειν ἡγούμεθα ἢ τόδε λέγειν τι
εἶναι ἢ τὸ ἐναντίον μὴ εἶναι· οἷον δὴ καὶ ἐπὶ τοῦ παρόντος
λόγου ζωὴν εἰπόντες τὸν θεὸν εἶναι ἀπαγορεύομεν τῇ δυ-
νάμει διὰ τῆς ὁμολογίας ταύτης τὸ θάνατον περὶ αὐτὸν
ἐννοεῖν, κἂν μὴ διὰ τῆς φωνῆς ἐξαγγέλλωμεν· καὶ ὅταν
ἀνεπίδεκτον αὐτὸν θανάτου ὁμολογήσωμεν, τῷ αὐτῷ λόγῳ
τὸ ζωὴν αὐτὸν εἶναι κατεσκευάσαμεν.
596 Ἀλλ' οὐχ ὁρῶ, φησί, πῶς ἂν ἐκ τῶν μὴ προσ-
όντων ὑπερέχοι τῶν αὐτοῦ ποιημάτων ὁ θεός.
καὶ ἐπὶ τῷ σοφῷ τούτῳ ἐπιχειρήματι μετὰ ἀσεβείας
ἠλίθιον ὀνομάζει τὸν μέγαν Βασίλειον τὸν τοῖς τοιού-
τοις ἐπιτολμήσαντα λόγοις· πρὸς ὃν εἴποιμι ἂν μὴ λίαν
ἀφειδῶς κατὰ τῶν ταῦτα λεγόντων κεχρῆσθαι ταῖς ὕβρεσι,
μή πῃ καὶ ἑαυτὸν λάθῃ τοῖς αὐτοῖς καθυβρίζων. τάχα γὰρ
οὐδ' ἂν αὐτὸς ἀντείποι ἐν τούτῳ τὸ μεγαλεῖον τῆς θείας
γνωρίζεσθαι φύσεως, ἐν τῷ μηδεμίαν ἔχειν πρὸς ταῦτα
597 κοινωνίαν, ὧν ἡ κάτω φύσις μετέχουσα δείκνυται. εἰ γὰρ
ἔν τινι τούτων εἴη, οὐδ' ἂν τὸ πλέον ἔχοι, ἀλλὰ ταὐτὸν ἂν
εἴη πάντως ἑκάστῳ τῶν ἐπικοινωνούντων τοῦ ἰδιώματος. εἰ

MCT 9 ἔσται v (cf p 389,4) 10 αὕτη μὲν γὰρ v 15 τὸ δὲ v 18 τὸ θάνατον: τὸν θάνατον v 23 ὑπερέχῃ v αὐτῶν v 28 μή πῃ: μή που T 32 ἔν τινι: ἔν τι v

δὲ ὑπὲρ ταῦτά ἐστι, τῷ μὴ ἔχειν δηλαδὴ ταῦτα τῶν ἐχόν-
των ὑπερανέστηκε, καθάπερ φαμὲν κρείττονα τῶν ἐν ἁμαρ-
τίαις ὄντων εἶναι τὸν ἀναμάρτητον· τὸ γὰρ τοῦ κακοῦ κε-
χωρίσθαι τοῦ πλουτεῖν ἐν τοῖς ἀρίστοις ἀπόδειξις γίνεται.
ἀλλ' ὁ μὲν ὑβριστὴς κεχρήσθω τῇ φύσει· ἡμεῖς δὲ μικρόν
τι παρασημηνάμενοι τῶν ἐν τῷ μέρει τούτῳ ῥηθέντων πρὸς
598 τὰ προκείμενα τὸν λόγον μετάξομεν. ὁμοίως φησὶν αὐτὸν
ὑπερέχειν τῶν μὲν θνητῶν ὡς ἀθάνατον, τῶν δὲ
φθαρτῶν ὡς ἄφθαρτον, τῶν δὲ γεννητῶν ὡς
ἀγέννητον. ἆρα πᾶσίν ἐστι πρόδηλος ἡ τοῦ θεομάχου
τῆς ἀσεβείας κατασκευή, ἢ λόγῳ προσήκει διανακαλύψαι
τὴν πονηρίαν; τίς οὐκ οἶδεν ὅτι τὰ τῷ αὐτῷ μέτρῳ ὑπερ-
εχόμενα ἴσα πάντως ἀλλήλοις ἐστίν; εἰ οὖν ὁμοίως
ὑπερέχεται παρὰ τοῦ θεοῦ τὸ φθαρτὸν καὶ γεννητόν,
γεννητὸς δὲ καὶ ὁ κύριος, Εὐνόμιος συμπερανάτω τὸ ἐκ
599 τῶν τεθέντων ἀνακύπτον ἀσέβημα. δῆλον γὰρ ὅτι ταὐτὸν
ἡγεῖται τῇ φθορᾷ καὶ τῷ θανάτῳ τὴν γέννησιν, ὡς ταὐτὸν
ἐν τοῖς πρὸ τούτου λόγοις [ἐν] τῷ ἀφθάρτῳ τὸ ἀγέννητον
ἀπεφήνατο. εἰ οὖν ἐν ἴσῳ βλέπει τὴν φθορὰν καὶ τὴν
γέννησιν καὶ ὁμοίως λέγει τὸν θεὸν ἀφεστάναι τῶν δύο,
γεννητὸς δὲ ὁ κύριος, μηδεὶς παρ' ἡμῶν ἀπαιτείτω προσ-
τεθῆναι τὸ ἐκ τοῦ λόγου ἀκόλουθον, ἀλλ' ἀφ' ἑαυτοῦ
συλλογισάσθω τὸ πέρας, εἴπερ ἐπίσης καὶ κατὰ τὸν αὐτὸν
λόγον τοῦ γεννητοῦ καὶ τοῦ φθαρτοῦ ἡ τοῦ θεοῦ φύσις
ἀφέστηκεν. ἀλλ' οὐκ ἔστι, φησίν, ἀπουσίᾳ θανά-
του καὶ φθορᾶς λέγειν ἄφθαρτον αὐτὸν καὶ
600 ἀθάνατον. πειθέσθωσαν τοῖς εἰρημένοις οἱ τῶν ῥινῶν
ἑλκόμενοι καὶ πρὸς τὸ δοκοῦν ἑκάστῳ περιαγόμενοι καὶ
λεγέτωσαν παρεῖναι τῷ θεῷ τὴν φθορὰν καὶ τὸν θάνατον,
1113 M. ἵνα ἀθάνατός τε καὶ ἄφθαρτος λέγηται. εἰ γὰρ οὐχὶ τὴν
ἀπουσίαν τοῦ θανάτου καὶ τῆς φθορᾶς, καθώς φησιν

MCT 1 τὸ μὴ ἔχειν CT 3 εἶναι om M τὸν: τὸ M 7 μετάξωμεν CT 8-9 τῶν δὲ φθαρτῶν ὡς ἄφθαρτον om T 11 τῆς ἀσεβείας om T 14 καὶ τὸ γεννητὸν malim 18 ἐν delevi (cf 390,2 sq) 25 ἀλλ' om M

ὁ Εὐνόμιος, αἱ ἀφαιρετικαὶ τούτων προσηγορίαι σημαίνουσι, πάντως τὸ παρεῖναι αὐτῷ τὰ ἐναντία τε καὶ ἀλ-
601 λότρια διὰ τῆς τεχνολογίας ταύτης κατασκευάζεται. ἕκαστον γὰρ τῶν νοουμένων ἢ ἄπεστι πάντως τινὸς ἢ οὐκ ἄπεστιν, οἷον φῶς σκότος ζωὴ θάνατος ὑγεία νόσος καὶ ὅσα τοιαῦτα· ἐφ' ὧν εἰ τὸ ἕτερόν τις τῶν νοουμένων ἀπεῖναι λέγοι, τὴν τοῦ ἑτέρου πάντως παρουσίαν κατασκευάσει. εἰ οὖν φησὶ μὴ τοῦ θανάτου ἀπουσίᾳ τὸν θεὸν ἀθάνατον λέγεσθαι, δῆλος ἂν εἴη παρουσίαν αὐτῷ θανάτου κατασκευάζων καὶ διὰ τούτου τὴν
602 ἀθανασίαν ἐπὶ τοῦ θεοῦ τῶν ὅλων ἀρνούμενος. πῶς γὰρ ἂν ἔτι ἀθάνατος ἀληθῶς εἴη καὶ ἄφθαρτος, οὗ μὴ ἀπεῖναι λέγει τὴν φθορὰν καὶ τὸν θάνατον; ἀλλ' ἴσως ἐρεῖ τις ἡμᾶς ἐπηρεαστικώτερον τῷ λόγῳ προσφύεσθαι· μὴ γὰρ ἂν οὕτω μανῆναί τινα ὡς κατασκευάσαι τὸν θεὸν μὴ εἶναι ἀθάνατον. ἀλλὰ τῶν μὲν ἐν τῷ κρυπτῷ τισι νοουμένων οὐδεὶς ἀνθρώπων τὴν γνῶσιν ἔχει, διὰ δὲ τῶν λεγομένων
603 ὁ στοχασμὸς ἡμῖν τῶν κεκρυμμένων ἐγγίνεται. οὐκοῦν πάλιν τὸ ῥηθὲν ἀναλάβωμεν. οὐκ ἀπουσίᾳ θανάτου, φησίν, ὁ θεὸς ἀθάνατος λέγεται. πῶς δεξόμεθα τὸ λεγόμενον, ὅτι οὐκ ἄπεστι τοῦ θεοῦ ὁ θάνατος, κἂν ἀθάνατος λέγηται; οὐκοῦν εἰ τοῦτο κελεύει νοεῖν, θνητὸς ἔσται πάντως ὁ τοῦ Εὐνομίου θεὸς καὶ φθορᾷ ὑποκείμενος. οὗ γὰρ οὐκ ἄπεστι θάνατος, ἀθάνατος εἶναι φύσιν οὐκ ἔχει. ἀλλὰ μὴν εἰ μήτε θανάτου μήτε φθορᾶς ἀπουσίαν αἱ προσηγορίαι σημαίνουσιν, ἢ μάτην ἐπιλέγονται τῷ ἐπὶ πάντων
604 θεῷ ἢ ἕτερόν τινα νοῦν ἐν αὐταῖς περιέχουσι. τίς οὖν οὗτος, ἑρμηνευσάτω ὁ τεχνολόγος. ἀλλ' ἡμεῖς οἱ, καθώς φησιν ὁ Εὐνόμιος, ἀνεπιστήμονες καὶ τῆς τῶν πραγμάτων κρίσεως καὶ τῆς τῶν ὀνομάτων χρήσεως, ἄνοσον λέγειν ἐμάθομεν οὐχ οὗ τὸ κράτος, ἀλλ' οὗ ἡ νόσος κεχώρισται, καὶ ἄπηρον οὐ τὸν ἔξω τῶν

MCT 12 post ἀληθῶς iterat ἂν CT 17 διὰ δέ: ἄλλως δὲ M 19 ἀναλάβομεν CT 23 τοῦ om CT v 27 αὐταῖς M: αὑταῖς CT v 29 ὁ om CT 31 χρήσεως: κρίσεως T μεμαθήκαμεν v

συμποσίων ὄντα, ἀλλὰ τὸν μηδεμίαν ἐν ἑαυτῷ πήρωσιν ἔχοντα· καὶ τὰ ἄλλα πάντα ὡσαύτως ἢ ἐκ τοῦ παρόντος ἢ ἐκ τοῦ μὴ παρόντος κατονομάζομεν ἀνδρεῖον ἄνανδρον, ὑπνώδη ἄϋπνον καὶ ὅσα τῆς συνηθείας ἔχεται ταύτης.
605 Ἀλλ' οὐκ οἶδα τί φέρει κέρδος τὸ τὰς φλυαρίας ταύτας ἀξιοῦν ἐξετάσεως. ἀνδρὶ γὰρ ἐν πολιᾷ ζῶντι καὶ πρὸς ἀλήθειαν βλέποντι οὐ μικρὰ πρὸς κατάκρισιν αἰτία τὸ τὰ γελοῖά τε καὶ ἄσπουδα τῆς τοῦ ἀντιπάλου φιλονεικίας διὰ στόματος φέρειν. διὸ παρήσω κἀκεῖνα καὶ τὰ ἐφεξῆς ἐκείνοις προσκείμενα· ἔστι δὲ ταῦτα· μηδεμίαν, φησί, τῆς ἀληθείας μήτε τῷ θεῷ συμφυΐαν προσμαρ-
606 τυρούσης· εἰ γὰρ μὴ εἴρητο τοῦτο, τίς ἦν ὁ διφυᾶ τὸν θεὸν εἶναι λέγων πλὴν σοῦ τοῦ πᾶσαν ὀνόματος ἔννοιαν τῇ τοῦ πατρὸς οὐσίᾳ συμφύοντος καὶ μηδὲν ἔξωθεν προσεῖναι λέγοντος, ἀλλ' ἕκαστον τῶν περὶ τὸ θεῖον ὀνομάτων τῇ οὐσίᾳ τοῦ θεοῦ ἐγκεντρίζοντος; εἶτά φησι μήτε μὴν ἔξωθεν καὶ παρ' ἡμῶν πλαττομένην τοιαύτην ἔννοιαν εὐσεβείας νόμοις ἐγγραφούσης. ἀλλὰ παραιτήσομαι πάλιν περὶ τῶν εἰρημένων, ὡς οὐχὶ
1116 M. γελωτοποιῶν τοῖς ἐντυγχάνουσι τὰς ἐπιγελάστους ταύτας ἐξεθέμην φωνάς, ἀλλ' ὡς ἂν πείσαιμι τὸν ἀκροατήν, ἀφ' οἵας οὗτος παρασκευῆς τῶν λόγων ὁρμώμενος ὁ τὸν ἡμέτερον ἰδιωτισμὸν διαπλύνων ἔπειτα τῆς ἀληθείας καταθρα-
607 σύνεται. τίς ὢν κατὰ τὸν λόγον καὶ οἷα φθεγγόμενος ὁ τοῖς παχυδέρμοις τῶν ἀκροατῶν ἐντρυφῶν τε καὶ ἐμπομπεύων, οἳ τὰς στομφώδεις αὐτὸν ταύτας ξηροστομίας κακοσυνθέτως διαπεραίνοντα ὡς κεκρατηκότα τῶν πάντων τῇ δυνάμει τῶν λόγων ἀνακηρύσσουσιν; ἀλλ' αὐτὴν εἶναί φησι τὴν οὐσίαν ἀθανασίαν. τὴν δὲ τοῦ μονογενοῦς οὐσίαν τί φῄς, πρὸς αὐτὸν εἴποιμι ἄν, ἀθανασίαν ἢ οὐχί; ἐπειδὴ καὶ ἐπὶ ταύτης ἡ ἁπλότης οὐδεμίαν, καθὼς φῄς, συμ-

MCT 8 τε om T 9 ἐξῆς v 10 οὐδεμίαν M cf p 31 12 μὴ γὰρ collocat T εἴρητο v: ἤρητο MCT 14 ἔξω v 18 εὐσεβείας v: ἀσεβείας MCT 26 αὐτὸν correxi: αὐτοῦ libri v 27 διαπεραίνοντες v 28 ἀνακηρύττου- σιν M

608 φυΐαν προσίεται. εἰ μὲν οὖν ἀρνεῖται τὸ ἀθανασίαν
εἶναι τοῦ υἱοῦ τὴν οὐσίαν, δῆλον εἰς ὅ τι βλέπει. τὸ γὰρ
ἀντιδιαστελλόμενον τῷ ἀθανάτῳ οὐ λίαν ἐστὶ λεπτῆς κατα-
νοῆσαι φρενός. ὡς γὰρ τὸ μὴ ἄφθαρτον φθαρτὸν ἡ ἀκο-
λουθία τῆς ἀντιδιαιρέσεως δείκνυσι καὶ τρεπτὸν τὸ μὴ
ἄτρεπτον, οὕτω καὶ θνητὸν πάντως τὸ μὴ ἀθάνατον. τί
οὖν ὁ τῶν καινῶν δογμάτων ἐξηγητής, τί περὶ τῆς τοῦ
609 μονογενοῦς ἡμῖν οὐσίας κυριολογήσει; πάλιν γὰρ τὴν αὐτὴν
προσοίσω τῷ λογογράφῳ ἐρώτησιν. δώσει καὶ ταύτην ἀθα-
νασίαν εἶναι ἢ οὐ συνθήσεται; εἰ μὲν οὖν μὴ δέχοιτο τοῦ
υἱοῦ τὴν οὐσίαν ἀθανασίαν εἶναι, ἀναγκαίως τῷ ἐναντίῳ
συνθήσεται, διὰ τῆς τοῦ κρείττονος ἀφαιρέσεως θάνατον
610 αὐτὴν εἶναι κατασκευάζων. εἰ δὲ φεύγων τὸ ἄτοπον ἀθα-
νασίαν καὶ τοῦ μονογενοῦς τὴν οὐσίαν κατονομάζοι, οὐδε-
μίαν ἐξ ἀνάγκης διὰ τοῦτο κατὰ τὴν οὐσίαν διαφορὰν εἶναι
συνθήσεται. εἰ γὰρ ἐπίσης ἥ τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
φύσις ἀθανασία ἐστὶν, ἀθανασία δὲ πρὸς ἑαυτὴν οὐδενὶ
λόγῳ διαφορᾶς διασχίζεται, ἄρα καὶ παρ' αὐτῶν τῶν ἐχ-
θρῶν ὁμολογεῖται τὸ μηδένα διαφορᾶς λόγον ἐπὶ τοῦ πατρὸς
καὶ τοῦ υἱοῦ κατὰ τὴν οὐσίαν εὑρίσκεσθαι.
611 Ἀλλὰ καιρὸς ἂν εἴη τὴν χαλεπὴν αὐτοῦ καθ' ἡμῶν
προθεῖναι κατηγορίαν, ἣν ἐπὶ τέλει τοῦ λόγου πεποίη-
ται, λέγων ἡμᾶς ἐκ τοῦ πάντη μὴ ὄντος τὸν
πατέρα λέγειν. κλέψας τινὰ λέξιν ἐκ τῆς συμφράσεως
καὶ ψιλὴν αὐτὴν καὶ ἀσύντακτον ἐκ τοῦ λοιποῦ σώματος
ἀφελκύσας κνίζειν ἐπιχειρεῖ τοῖς ἀπλήκτοις ὀδοῦσι κατα-
σπαράσσων, μᾶλλον δὲ κατασιελίζων τὸν λόγον. λέξω δὲ
πρῶτον μὲν τὴν διάνοιαν τῶν παρὰ τοῦ διδασκάλου περὶ
τούτου διευκρινηθέντων ἡμῖν, εἶθ' οὕτω τὸν λόγον αὐτὸν
ἐπὶ λέξεως παραθήσομαι, ὡς ἂν πᾶσι γένοιτο φανερὸς ὁ
ἐπὶ λύμῃ τῆς ἀληθείας ταῖς τῶν εὐσεβούντων σπουδαῖς
612 εἰσφθειρόμενος. προσάγων γὰρ ἡμᾶς τῇ τοῦ ἀγεννήτου

MCT 8 οὐσίας ἡμῖν v 13 εἶναι om CT 19 τὸ om CT 25 ἀσύν-τακτον: ἀσύνθετον M 26 ἐπιχειρεῖν T ἀπλήκτοις M et cod Ambros: ἀδήκτοις CT ἐκπλήκτοις v 28-29 περὶ τούτου om T 32 γὰρ om CT

σημασίᾳ διὰ τῶν καθ' ἑαυτὸν λόγων ὁ διδάσκαλος ἡμῶν
τοιαύτην ἡμῖν ἔφοδον πρὸς τὴν τοῦ ζητουμένου γνῶσιν ὑπέ-
θετο, δεικνὺς πόρρω τῆς κατὰ τὴν οὐσίαν ἐννοίας ὂν τοῦ
ἀγεννήτου τὸ σημαινόμενον. τοῦ εὐαγγελιστοῦ, φησί, τῆς
κατὰ σάρκα τοῦ κυρίου γενεαλογίας ἐκ τοῦ Ἰωσὴφ τὴν
ἀρχὴν ποιησαμένου, εἶτα προϊόντος ἐπὶ τὸν ἀεὶ χρόνῳ πρε-
σβύτερον καὶ ἐν τῷ Ἀδὰμ τὸ πέρας τῆς γενεαλογίας ὁρί-
1117 M. σαντος καὶ διὰ τὸ μὴ ὑπερκεῖσθαι τοῦ πρωτοπλάστου σω-
ματικὸν πατέρα τοῦ θεοῦ φήσαντος, πρόχειρον εἶναί φησι
τῇ ἑκάστου διανοίᾳ περὶ τοῦ θεοῦ τοῦτο λαβεῖν ὅτι ὁ θεός,
ἐξ οὗ ὁ Ἀδάμ, οὐ καθ' ὁμοιότητα τῶν ἀνθρωπικῶς γε-
νεαλογηθέντων καὶ αὐτὸς ἐξ ἑτέρου τὴν ὑπόστασιν ἔχει.
613 ἐπειδὰν γὰρ πάντα διεξελθόντες τὸν θεὸν μετὰ πάντα τῷ
νῷ λάβωμεν, τὴν πάντων ἀρχὴν ἐνοήσαμεν. ἀρχὴ δὲ πᾶσα
εἴπερ ἑτέρου τινὸς ἐξημμένη τύχοι, ἀρχὴ οὐκ ἔστιν. οὐκοῦν
εἰ ἀρχὴ τοῦ παντὸς ὁ θεός, οὐδ' ὁτιοῦν ἔσται τῆς τῶν
πάντων ἀρχῆς ὑπερκείμενον. αὕτη τοῦ διδασκάλου περὶ
τῆς τοῦ ἀγεννήτου σημασίας ἡ ἔκθεσις. καὶ ὅτι οὐδὲν
ἔξω τῆς ἀληθείας αὐτῷ παρ' ἡμῶν μεμαρτύρηται, αὐτὴν
ἐπὶ ῥημάτων τὴν περὶ τούτου ῥῆσιν ἐκθήσομαι.
614 ,,Ὁ εὐαγγελιστής, φησί, Λουκᾶς τὴν κατὰ σάρκα γε-
νεαλογίαν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκ-
τιθέμενος καὶ ἀπὸ τῶν τελευταίων ἐπὶ τοὺς πρώτους ἀνα-
ποδίζων ἤρξατο μὲν ἀπὸ τοῦ Ἰωσήφ, εἰπὼν δὲ τοῦτον τοῦ
Ἠλεί, τὸν δὲ τοῦ Ματτὰθ καὶ οὕτω κατὰ ἀνάβασιν πρὸς
τὸν Ἀδὰμ τὴν ἐξήγησιν ἐπαναγαγών, εἶτα ἐλθὼν ἐπὶ τοὺς
ἄνω καὶ εἰπὼν ὅτι ὁ Σὴθ ἐκ τοῦ Ἀδάμ, ὁ δὲ Ἀδὰμ ἐκ
τοῦ θεοῦ, ἐνταῦθα τῆς ἀναβάσεως ἔληξεν. ὥσπερ οὖν
ἐκεῖνος εἶπεν ὅτι ὁ Ἀδὰμ ἐκ τοῦ θεοῦ, ἡμεῖς ἑαυτοὺς
615 ἐρωτήσωμεν ὁ δὲ θεὸς ἐκ τίνος; ἆρ' οὐχὶ πρόχειρόν ἐστι

4 sq ~ 21 sq ex Basilio c Eun I p 545 B-548 A (cf Luc 3,23)

MCT 7 ἐν om CT 11 ὁ ante Ἀδάμ om v 16 εἰ om CT οὐδ' ὁτιοῦν scripsi: οὔθ' ὁτιοῦν MCT v 26 ἐπαγαγὼν v 29-30 αὐτὸν ἐρωτήσομεν v

τῇ ἑκάστου διανοίᾳ ὅτι ἐξ οὐδενός; τὸ δὲ ἐξ οὐδενὸς τὸ ἄναρχόν ἐστι δηλονότι, τὸ δὲ ἄναρχον τὸ ἀγέννητον. ὡς οὖν ἐπὶ τῶν ἀνθρώπων οὐκ ἦν οὐσία τὸ ἔκ τινος, οὕτως οὐδὲ ἐπὶ τοῦ θεοῦ τῶν ὅλων οὐσίαν ἔστιν εἰπεῖν τὸ ἀγέννητον.'' τίσιν ὀφθαλμοῖς ἔτι πρὸς τὸν ὁδηγὸν ὑμῶν ἀποβλέπετε; πρὸς ὑμᾶς λέγω τὴν τῶν ἀπολλυμένων ἀγέλην. πῶς ἔτι τὴν ἀκοὴν ὑποκλίνετε τῷ τοιαύτην στήλην τῆς ἰδίας ἀναιδείας διὰ τῶν λόγων στήσαντι; οὐκ αἰσχύνεσθε νῦν γοῦν, εἰ καὶ μὴ πρότερον, τοιούτῳ χειραγωγῷ πρὸς τὴν
616 ἀλήθειαν χρώμενοι; οὐ σημείῳ χρήσεσθε τούτῳ τῆς περὶ τῶν δογμάτων αὐτοῦ μανίας, τῷ οὕτω πρὸς τὴν ἀλήθειαν αὐτὸν τῶν γεγραμμένων ἀναισχύντως ἀντικαθίστασθαι; οὕτως ὑμῖν καὶ τὰς θείας ἑρμηνεύει φωνάς, οὕτω τῆς τῶν δογμάτων ἀληθείας προΐσταται, ὡς ἀπελέγχειν Βασίλειον ἐκ τοῦ πάντη μὴ ὄντος γενεαλογοῦντα τὸν ἐπὶ πάντων
617 θεόν; εἴπω τὴν παρ' αὐτοῦ ῥῆσιν, ἔκθωμαι τῆς ἀναισχυντίας τὰ ῥήματα; παρίημι τὰς ὕβρεις, οὐ μέμφομαι ταῖς λοιδορίαις· οὐ γὰρ αἰτιῶμαι τὸν ὀδωδότα τῷ στόματι ὅτι ὄδωδεν, οὐδὲ τὸν τῷ σώματι λελωβημένον ὅτι λελώβηται. τὰ γὰρ τοιαῦτα φύσεώς ἐστιν ἀτυχήματα τὴν παρὰ τῶν νοῦν ἐχόντων μέμψιν ἐκφεύγοντα. οὐκοῦν ἡ τοῦ ὑβρίζειν σπουδὴ λογισμῶν ἐστιν ἀρρωστία καὶ δυσκληρία ψυχῆς τὸν ὑγιαίνοντα λογισμὸν λελωβημένης. οὐδεὶς οὖν μοι λόγος ὧν λελοιδόρηται, ἀλλὰ τὴν σφοδρὰν ἐκείνην καὶ ἄμαχον τοῦ συλλογισμοῦ πλοκήν, δι' ἧς τὴν καθ' ἡμῶν κατηγορίαν πρὸς τὸν σκοπὸν ἑαυτοῦ συνεπέρανε, διαρρήδην γράψω κατ' αὐτὰ τὰ ῥήματα.

618 "Ινα γάρ, φησί, μὴ κωλυθῇ τὸν υἱὸν ἐκ μετουσίας εἰπεῖν τοῦ ὄντος, λέληθεν ἑαυτὸν τὸν ἐπὶ πάντων θεὸν ἐκ τοῦ πάντη μὴ ὄντος εἰπών. εἰ γὰρ τὸ ,,μηδὲν'' τῷ πάντη μὴ ὄντι ταὐτὸν

MCT 3 οὐκ ἦν om v   6 πρὸς ante ὑμᾶς delendum vid   11 τῷ T v: τὸ MC   13 ἡμῖν v   14 ad προΐσταται scholion marginale MCT ὡς ἔοικεν ἔτι ἔζη ὁ ἀσεβὴς (δυσσεβὴς CT) εὐνόμιος   16 παρ' αὐτῶν v

1120 M. κατὰ τὴν ἔννοιαν, τῶν δὲ ἰσοδυναμούντων ἀκώλυτος ἡ μετάληψις, ὁ λέγων ἐξ οὐδενὸς εἶναι τὸν θεὸν ἐκ τοῦ πάντη μὴ ὄντος εἶναι λέγει τὸν θεόν. πρὸς τί τῶν εἰρημένων πρότερον ἴδωμεν, ὅτι ἐκ μετουσίας τοῦ θεοῦ τὸν υἱὸν οἴεται καὶ τοῖς μὴ τοῦτο δεχομένοις ἐπισκεδάζει τοῦ στόματος ἑαυτοῦ τὴν δυσωδίαν, ἢ τὴν ψυχρὰν καὶ ὀνειρώδη τοῦ σοφίσματος συνθήκην διεξετάσωμεν; ἀλλ' ὅτι μὲν τὸ ἐκ μετουσίας τῇ θείᾳ φύσει προσάπτειν υἱοὺς ποιητῶν μόνων καὶ μυθοπλαστῶν ἐστιν, οὐκ ἂν ἀγνοοίη τις τῶν καὶ ὁπωσοῦν μετεχόντων φρονή-
619 σεως. οὕτω γὰρ οἱ τοῖς μέτροις τοὺς μύθους ἐνείροντες Διονύσους τινὰς καὶ Ἡρακλέας καὶ Μίνωας καὶ ἄλλους τοιούτους ἐκ δαιμονίας εἰς ἀνθρώπινα σώματα συμπλοκῆς διαπλάσσουσι καὶ ὑπεραίρουσι τῶν λοιπῶν ἀνθρώπων τοὺς τοιούτους τῷ λόγῳ ὡς τῇ μετουσίᾳ τῆς κρείττονος φύσεως τὸ πλέον ἔχοντας. οὐκοῦν τοῦτον μὲν τὸν λόγον ὡς οἴκοθεν τὸν τῆς ἀνοίας ἅμα καὶ ἀσεβείας ἔλεγχον ἔχοντα σιωπῆσαι προσήκει, προθεῖναι δὲ μᾶλλον τὸν ἄμαχον ἐκεῖνον συλλογισμόν, ὡς ἂν μάθοιεν οἱ καθ' ἡμᾶς ἰδιῶται οἵων καὶ ὅσων οἱ τὰς τεχνικὰς ἐφόδους μὴ παιδευθέντες ἐζημιώ-
620 θησαν. εἰ γὰρ τὸ ,,μηδέν,'' φησί, τῷ πάντη μὴ ὄντι ταὐτὸν κατὰ τὴν ἔννοιαν, τῶν δὲ ἰσοδυναμούντων ἀκώλυτος ἡ μετάληψις, ὁ λέγων ἐξ οὐδενὸς εἶναι τὸν θεὸν ἐκ τοῦ πάντη μὴ ὄντος εἶναι λέγει τὸν θεόν. τίς ἔδωκε τῷ τὴν Ἀριστοτελικὴν ἡμῖν αἰχμὴν ἐπισείοντι, ὅτι τὸ λέγειν τινὰ πατέρα μὴ ἔχειν ταὐτόν ἐστι τῷ ἐκ τοῦ πάντη μὴ ὄντος αὐτὸν γεγενῆσθαι λέγειν; ὁ γὰρ τοὺς γενεαλογουμένους παρὰ τοῦ λόγου καθεξῆς ἀριθμήσας ἀεὶ τοῦ μνημονευθέντος ὑπερκείμενον
621 πατέρα δηλονότι νοεῖ. τί γὰρ ἦν ὁ Ἠλεὶ τοῦ Ἰωσήφ; τί δὲ ὁ Ματτὰθ τοῦ Ἠλεί; τί δὲ ὁ Ἀδὰμ τοῦ Σήθ; ἆρ'

MCT 4 πρός τι v   7-8 διεξετάσωμεν C sed sscr o ead man: διεξετάσομεν MT v   10 καὶ ante ὁπωσοῦν om T v   11 καὶ οὕτω γὰρ v   18 προσθεῖναι v   25-26 αἰχμὴν ἡμῖν T   27 γεγεννῆσθαι CT   28 λέγειν om v   29 ὑποκείμενον T   31 ματθὰ T

οὐχὶ πρόδηλον καὶ τοῖς ἄγαν νηπίοις ὅτι πατέρων ἐστὶν ἀπαρίθμησις ὁ τῶν μνημονευθέντων τούτων ὀνομάτων κατάλογος; εἰ γὰρ ὁ Σὴθ τοῦ Ἀδὰμ υἱός, πατὴρ τοῦ ἐξ αὐτοῦ γεγεννημένου πάντως Ἀδάμ. οὕτως εἰπέ μοι καὶ τοῦ ἐπὶ πάντων θεοῦ πατὴρ τίς; εἰπὲ τῷ ἐρωτῶντι, ῥῆξον φωνήν, ἀπόκριναι, πᾶσαν τὴν λογικήν σου τέχνην πρὸς τὴν πεῦσιν ταύτην συγκίνησον· ἆρ' εὑρήσεις τινὰ λόγον τὴν
622 τοῦ σοφίσματός σου λαβὴν διαφεύγοντα; τίς ὁ τοῦ ἀγεννήτου πατήρ; ἔχεις εἰπεῖν ὅστις; οὐκοῦν οὐκ ἀγέννητος; ἀλλὰ συνθλιβόμενος ἐρεῖς πάντως, ὃ δὴ καὶ εἰπεῖν ἐστιν ἐπάναγκες ὅτι „οὐδείς". τί οὖν, ὦ φίλτατε, ἆρά σοι οὔπω λέλυται ἡ μαλθακὴ τοῦ σοφίσματος αὕτη διαπλοκή; ἆρα συνῆκας τοῖς ἰδίοις κόλποις ἐνσιελίσας; τί φησιν ὁ μέγας Βασίλειος; ὅτι ὁ ἀγέννητος ἐξ οὐδενός ἐστι πατρός. ἐκ γὰρ τῶν προγενεαλογηθέντων πατέρων ἡ ἀκολουθία κατὰ τὸ σιωπώμενον συνομολο-
623 γεῖσθαι δίδωσι τοῦ πατρὸς τὴν προσθήκην. σὺ τὸ ἐξ οὐδενὸς πατρὸς τὸ μηδὲν ἐποίησας, καὶ πάλιν τὸ μηδὲν εἰς τὸ πάντη μὴ ὂν μεταλαβὼν τὸν λελυμένον ἐκεῖνον συλλογισμὸν συνεπέρανας. οὐκοῦν τὰ σοφά σου ταῦτα τῆς τεχνικῆς ἀγχινοίας πρὸς σὲ μεταχθήσεται. τίς τοῦ ἀγεννήτου πατήρ, ἐρωτῶ; οὐδείς, ἐρεῖς κατὰ πᾶσαν ἀνάγκην. ὁ γὰρ ἀγέννητος πατέρα πάντως οὐκ
624 ἔχει. εἰ τοίνυν οὐδεὶς τοῦ ἀγεννήτου πατήρ, τὸ δὲ οὐ-
1121 M. δεὶς παρὰ σοῦ πρὸς τὸ μηδὲν μετελήφθη, τὸ δὲ μηδὲν κατὰ τὸν σὸν λόγον τῷ πάντη μὴ ὄντι ταὐτόν ἐστι κατὰ τὴν ἔννοιαν, ἀκώλυτος δὲ τῶν ἰσοδυναμούντων, καθὼς φῄς, ἡ μετάληψις, ὁ εἰπὼν ὅτι οὐδείς ἐστι τοῦ ἀγεννήτου πατὴρ ἐκ τοῦ πάντη μὴ ὄντος εἶναι λέγει τὸν ἐπὶ πάντων θεόν.

625 Τοιοῦτον, ὡς ἔοικεν, ἐστίν, ὦ Εὐνόμιε, κακόν (τοῖς σοῖς γὰρ χρήσομαι λόγοις) οὐ τὸ δοκεῖν εἶναι

MCT 2 τούτων om CT 14 ὁ ante ἀγέννητος om M 19 μεταλαβὼν CT: μεταβαλὼν M καταλαβὼν v 20 σου om v 28 ὁ εἰπὼν: καὶ εἰπὼν v 30 εἶναι om M v

σοφὸν πρὸ τοῦ εἶναι τετιμηκέναι (μικρὸν γὰρ ἴσως τὸ τοιοῦτον εἰς δυστυχίαν), ἀλλὰ τὸ ἑαυτὸν ἀγνοεῖν καὶ μὴ γινώσκειν, ὅσον ἐστὶ τὸ διάφορον τοῦ ὑψιπετοῦς Βασιλείου
626 καὶ τοῦ χερσαίου θηρίου. εἰ γὰρ ἐφεώρα τὸν βίον ἡμῶν τὸ ὀξὺ καὶ θεῖον ὄμμα ἐκεῖνο, εἰ περιεπόλει τὴν ἀνθρωπίνην ζωὴν τῷ τῆς σοφίας πτερῷ, ἔδειξεν ἂν καταπτὰς ἐπὶ σὲ τῷ ῥοίζῳ τῶν λόγων, οἵῳ τῷ ὀστράκῳ τῆς ἀνοίας συμπεφυκὼς πρὸς τίνα δι' ἀπάτης σεαυτὸν ἀντεπήγειρας, ὕβρεσι ταῖς κατ' αὐτοῦ καὶ λοιδορίαις τὸ δοκεῖν τις εἶναι παρὰ
627 τοῖς γραϊδίοις καὶ τοῖς ἐκτομίαις θηρώμενος. πλὴν ἀλλ' οὐκ ἀπελπιστέον σοι καὶ τῶν ὀνύχων ἐκείνου. τὸ γὰρ ἡμέτερον ὡς μὲν πρὸς ἐκεῖνον ὄνυχος μοῖρα κρινόμενον πολλοῦ ἂν εἴη, πρὸς δὲ σὲ τοσοῦτόν ἐστιν, ὅσον ἱκανὸν εἶναί σοι περιρρῆξαι τῆς ἀπάτης τὸ ἔλυτρον καὶ δεῖξαι τὴν ἐγκεκρυμμένην τῷ ὀστράκῳ ἀσχημοσύνην.

MCT 1 γὰρ om v 10 τοῖς ante ἐκτομίαις om M 13 πολλοῦ: πολὺ v